
Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος ἀρχὰς τῶν ὄντων τὰς ὁμοιομερείας ἀπεφήνατο.

τροφὴν γοῦν προσφερόμεθα μονοειδῆ, ἄρτον καὶ ὕδωρ, καὶ ἐκ ταύτης τρέφεται φλὲψ ἀρτηρία σὰρξ νεῦρα ὀστᾶ καὶ τὰ λοιπὰ μόρια. τούτων οὖν γιγνομένων ὁμολογητέον, ὅτι ἐν τῇ τροφῇ τῇ προσφερομένῃ πάντα ἐστὶ τὰ ὄντα, καὶ ἐκ τῶν ὄντων πάντα αὔξεται. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . ἐν τούτῳ οὖν
ἐστι λόγῳ θεωρητὰ μόρια . . . . .
τὰ μέρη εἶναι ἐν τῇ τροφῇ τοῖς γενωμένοις, ὁμοιομερείας αὐτὰ ἐκάλεσε καὶ ἀρχὰς τῶν ὄντων· καὶ τὰς μὲν

1 ὁ ante Κλαζομένιος om. Heeren

11 καὶ ἐν ἐκείνῃ — κατασκευάζει in A interciderunt

18 dubium num τούτῳ recte tradatur. sed possunt omissa aliam habuisse formam

21 αὐτὰς Heeren

καὶ τὰς μὲν ὁμοιομερείας ὕλην, τὸ δὲ ποιοῦν αἴτιον τὸν νοῦν τὸν τὰ πάντα διαταξάμενον. ἄρχεται δὲ οὕτως· ‘ὁμοῦ πάντα χρήματα ἦν, νοῦς δὲ αὐτὰ † διῆρε καὶ διεκόσμησε’ [χρήματα λέγων τὰ πράγματα.] ἀποδεκτέος οὖν ἐστιν, ὅτι τῇ ὕλῃ τὸν τεχνίτην προσέζευξεν.

ὁμοιομερείας ὕλην, τὸ δὲ ποιοῦν αἴτιον νοῦν τὸν πάντα διαταξάμενον.

Ἀρχέλαος Ἀπολλοδώρου Ἀθηναῖος ἀέρα ἄπειρον, καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν. τούτων δὲ τὸ μὲν εἶναι πῦρ τὸ δὲ ὕδωρ.

6 Ἀρχέλαος ἀέρα ἄπειρον, καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν. τούτων δὲ τὸ μὲν εἶναι πῦρ τὸ δ’ ὕδωρ.

Οὗτοι μὲν οὖν ἐφεξῆς ἀλλήλοις ταῖς διαδοχαῖς γενόμενοι τὴν λεχθεῖσαν Ἰωνικὴν συμπληροῦσι φιλοσοφίαν ἀπὸ Θάλητος.

7 Οὗτοι μὲν οὖν ἐφεξῆς ἀλλήλοις ταῖς διαδοχαῖς γενόμενοι τὴν Ἰωνικὴν ἐκπληροῦσι φιλοσοφίαν, οὕτω προσαγορευθεῖσαν διότι Μιλήσιος αὐτῆς κατῆρξεν ἀνὴρ ὁ Θαλῆς ἀπὸ τῆς τῶν Ἰώνων μητροπόλεως.

Πάλιν δὲ ἀπὸ ἄλλης ἀρχῆς Πυθαγόρας Μνησάρχου Σάμιος ὁ πρῶ-

8 Πυθαγόρας Μνησάρχου Σάμιος πρῶτος φιλοσοφίαν τούτῳ τῷ ῥήματι

3 cf. Prol. p. 166 || 4 τὰ πάντα B || 5 Ionica διήρεε καὶ διεκόσμεε mutata credidit Valckenarius, διῆρει Wyttenbach. cf. Schaubach An. fr. p. 67, 2. putarem διέκρινε cf. Aristot. Phys. VIII 1 p. 250b 26, Theophr. Phys. opin. fr. 4 alii, nisi conlato conspectu Prol. p. 137 διεκόσμησε unum verum, διῆρε quidquid latet glossema videretur || χρήματα — πράγματα induxi cf. Tzetz. infra || 9 de § 6 cf. Prol. p. 139 || δὲ ὁ ἀπολλοδώρου B || 13 de § 7 dixi Prol. p. 62 || 18 ὁ σάμιος B

TESTIMONIA PLUTARCHI

3 5 **Io. Tzetz.** in Iliad. p. 67, 28 H. φησὶ γὰρ ἐν ἀρχῇ τῶν αὐτοῦ Ἀναξαγόρας· ὁμοῦ πάντα χρήματα [superscr. ἀντὶ τοῦ πράγματα] ἦν. νοῦς δὲ αὐτὰ διῆρε καὶ διεκόσμησεν.

6 **[Iustin.]** l. c. Ἀρχέλαος ὁ Ἀπολλοδώρου Ἀθηναῖος ἀέρα ἄπειρον καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν ἀρχὴν ἁπάντων εἶναι λέγει.

7 **[Iustin.]** l. c. οὗτοι πάντες ἀπὸ Θαλοῦ τὰς διαδοχὰς ἐσχηκότες τὴν φυσικὴν ὑπ’ αὐτῶν καλουμένην μετῆλθον φιλοσοφίαν cf. Prol. p. 17.

8 **[Iustin.]** c. 4 εἶθ’ ἑξῆς ἀφ’ ἑτέρας ἀρχῆς Πυθαγόρας Μνησάρχου Σάμιος ἀρχὰς τοὺς ἀρι-

PLUTARCHI EPIT. I 3

τος φιλοσοφίαν τούτῳ τῷ ῥήματι προσαγορεύσας, ἀρχὰς τοὺς ἀριθμοὺς καὶ τὰς συμμετρίας τὰς ἐν τούτοις, ἃς καὶ ἁρμονίας καλεῖ, τὰ δὲ ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα, καλούμενα δὲ γεωμετρικά. πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς· σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ εἰδικόν, ὅπερ ἐστὶ νοῦς ὁ θεὸς, ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος. εἶναι δὲ τὴν φύσιν τοῦ ἀριθμοῦ δεκάδα· μέχρι γὰρ τῶν δέκα πάντες Ἕλληνες, πάντες βάρβαροι ἀριθμοῦσιν, ἐφ' ἃ ἐλθόντες πάλιν ἀναποδοῦσιν ἐπὶ τὴν μονάδα. καὶ τῶν δέκα πάλιν, φησίν, ἡ δύναμίς ἐστιν ἐν τοῖς τέσσαρσι καὶ τῇ τετράδι. τὸ δὲ αἴτιον· εἴ τις ἀπὸ τῆς μονάδος †ἀναποδῶν κατὰ πρόσθεσιν τιθείη τοὺς ἀριθμούς, ἄχρι τῶν τεσσάρων προελθὼν ἐκπληρώσει τὸν δέκα ἀριθμόν· ἐὰν δὲ ὑπερβάληται τὸν τῆς τετράδος, καὶ τῶν δέκα ὑπερεκπεσεῖται. οἷον εἴ

STOBAEI ECL. I 10 12

προσαγορεύσας, ἀρχὰς τοὺς ἀριθμοὺς καὶ τὰς συμμετρίας τὰς ἐν τούτοις, ἃς τινας ἁρμονίας καλεῖ, τὰ ⟨δ'⟩ ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα. πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς. σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ ἀίδιον, ὅπερ ἐστὶ νοῦς ὁ θεός· ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος. εἶναι δὲ τὴν φύσιν ⟨τοῦ ἀριθμοῦ⟩ δεκάδα· μέχρι γὰρ τῶν δέκα πάντες ἀριθμοῦσιν, ἐφ' ἃ ἐλθόντες πάλιν ἀναποδοῦσιν ἐπὶ τὴν μονάδα. καὶ τῶν δέκα πάλιν, φησίν, ἡ δύναμίς ἐστιν ἐν τοῖς τέταρσιν. ἐκ γὰρ τῆς τετράδος καὶ τῶν αὐτῆς μερῶν ἀναπληροῦται· ἐὰν δ' ὑπερβάλῃ τὸν τῆς τετράδος, καὶ τῶν δέκα ὑπερεκπεσεῖται.

10 νοῦς καὶ θεὸς B || 14 Ἕλληνες πάντες βάρβαροι cf. Speusipp. ap. [Iambl.] Theolog. p. 61. Arist. probl. 910 b 23. Fabric. ad Sext. adv. log. II 187 || 16 ἀναποδοῦσιν cf. Prol. p. 51. 59 || 20 ἀναποδῶν corruptum. ἀ μονάδος nunc proponit Usener, μονάδων latere conicio ex Hippol. ref. p. 264, 23 Gott. || 23 ὑπερβάλῃ melius scribetur || 24 τῶν δέκα B: τὸν [ὸ in ras. ex ῶ] δέκα C: τὸν δέκα A || ἐκπεσεῖται B

3 δ' addidit Heeren
8 ἴδιον A: corr. Heeren
9 ὑλικόν Heeren: ἴδιον A
11 τοῦ ἀριθμοῦ add. Heeren
15 φασίν A: corr. Heeren
18 ὑπερβάλλῃ F || τὴν τῆς A: τις τῆς coni. Heeren || τῶν δέκα C: τοῖς δέκα F

TESTIMONIA PLUTARCHI

θμοὺς καὶ τὰς συμμετρίας καὶ τὰς ἐν αὐτοῖς ἁρμονίας καλεῖ τά τ' ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα· ἔτι μέντοι μονάδα καὶ τὴν ἀόριστον δυάδα. **Philo** l. c. *Pythagoras Mnesarchi filius numeros commensurationes et harmonias.* **Mohammedis Fihrist** ed. Fluegel p. 245,16 vert. A. Mueller [die gr. Phil. d. arab. Ueberl. Halle 1873 p. 5]: *Plutarchos aber sagt dass Pythagoras der erste war, welcher die philosophie mit diesem namen bezeichnete.*

τις θείη ἓν καὶ δύο προσθείη καὶ τρία καὶ τούτοις τέσσαρα, τὸν τῶν δέκα πληρώσει ἀριθμόν· ὥστε ὁ ἀριθμὸς κατὰ μὲν μονάδα ἐν τοῖς δέκα, κατὰ δὲ δύναμιν ἐν τοῖς τέσσαρσι. διὸ καὶ ἐφθέγγοντο οἱ Πυθαγόρειοι ὡς μεγίστου ὅρκου ὄντος τῆς τετράδος·

οὐ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
παγὰν ἀενάου φύσεως ῥίζωμά τ' ἔχουσαν.

καὶ ἡ ἡμετέρα ψυχή, φησίν, ἐκ τετράδος σύγκειται· εἶναι γὰρ νοῦν ἐπιστήμην δόξαν αἴσθησιν ἐξ ὧν πᾶσα τέχνη καὶ ἐπιστήμη καὶ αὐτοὶ λογικοί ἐσμεν. νοῦς μὲν οὖν ἡ μονάς ἐστιν· ὁ γὰρ νοῦς κατὰ μονάδα θεωρεῖ. οἷον πολλῶν ὄντων ἀνθρώπων οἱ μὲν ἐπὶ μέρους εἰσὶν ἀναίσθητοι ἀπερίληπτοι καὶ ἄπειροι, ἀλλ' αὐτὸ τοῦτο ἄνθρωπον ἕνα μόνον νοοῦμεν, ᾧ οὐδεὶς ἔτυχεν ὅμοιος· καὶ ἵππον ἕνα νοοῦμεν, οἱ δὲ ἐπὶ μέρους εἰσὶν ἄπειροι. τὰ γὰρ εἴδη ταῦτα πάντα καὶ γένη κατὰ μονάδας εἰσί. διὸ καὶ ἐπὶ ἑνὸς ἑκάστου αὐτῶν τοῦτον τὸν ὅρον ἀποδιδόντες λέγουσι ζῷον λογικὸν ἢ ζῷον χρεμετιστικὸν [ῥητέον]. διὰ τοῦτο οὖν νοῦς ἡ μονάς, ᾧ ταῦτα νοοῦμεν. καὶ ἡ δυὰς δὲ ἡ ἀόριστος ἐπιστήμη· εἰκότως, πᾶσα γὰρ ἀπόδειξις καὶ πᾶσα πίστις ἐπι-

διὸ καὶ ἐπεφθέγγοντο οἱ Πυθαγόρειοι ὡς μεγίστου ⟨ὅρκου⟩ ὄντος τῆς τετράδος·

οὐ μὰ τὸν ἁμετέρᾳ κεφαλῇ παραδόντα τετρακτύν,
παγὰν ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν.

---

3 πληρώσει C: πληρώσειεν BA: fort. ἐκπληρώσει ut p. 281a 22 || 6 πυθαγόρειοι ABC: πυθαγορικοὶ vulgo || 7 ὄντος ὅρκου C || 8 ἡμετέρᾳ B || 10 ἀεννάου ABC || ῥίζωμά τ' (AB): ῥιζώματ' C || φύσιος [ex Paris. 1734 apographo cod. B cf. Prol. p. 35] Duebner || 17 θεωρεῖται libri: corr. Usener || 20 καὶ om. B || 21 ᾧ ὁ τὶς ci. Xylander frustra cf. Prol. p. 181 || οὐδεὶς AB: οὐθεὶς C || 22 ἕνα μόνον vulgo: μόνον om. AB: ἕνα superscripto m. pr. μόνον C cf. Prol. p. 38[1] || 26 τοῦτον τὸν B: om. τὸν AC || 28 ῥητέον delevit Beck || 30 ἡ ἐπιστήμη vulgo: ἡ om. ABC

1 ἐπιφθέγγοντο A. ἐπεφθέγγοντο Stobaei Plutarchea lectione praestat cf. Syrian. in metaph. p. 209a 21

2 ὅρκου om. A: add. Heeren

3 πα δόντα C: ἐπιθέντα F

5 παγὰν C: πᾶσαν F || ἀεννάου F ut p. 288b 16 || φύσεως C: σοφίαν F: φύσιος Heeren

στήμης, πρὸς δὲ καὶ πᾶς συλλογισμὸς ἔκ τινων ὁμολογουμένων τὸ ἀμφισβητούμενον συνάγει καὶ ῥᾳδίως ἀποδείκνυται ἕτερον· ὧν ἡ ἐπιστήμη κατάληψίς ἐστιν, διὸ εἴη ἂν δυάς. ἡ δὲ δόξα τριὰς ἐκ καταλήψεώς ἐστιν· εὐλόγως, ὅτι πολλῶν ἐστιν ἡ δόξα· ἡ δὲ τριὰς πλῆθος, ὡς 'τρισμάκαρες Δαναοί'. διὰ τοῦτο οὖν ἐγκρίνει τὴν τριάδα.

* * *

Ἡ δὲ τούτων αἵρεσις Ἰταλικὴ προσηγορεύθη διὰ τὸ τὸν Πυθαγόραν ἐν Ἰταλίᾳ σχολάσαι· μετέστη γὰρ ἀπὸ Σάμου τῆς πατρίδος τῇ Πολυκράτους τυραννίδι δυσαρεστήσας. 9

10 Φιλόλαος ὁ Πυθαγόρειος τὸ πέρας καὶ τὸ ἄπειρον.

E XIV 14 4

Ἡράκλειτος καὶ Ἵππασος ὁ Μεταποντῖνος ἀρχὴν τῶν πάντων τὸ πῦρ· 11

Ἡράκλειτος καὶ Ἵππασος ἀρχὴν τῶν ἁπάντων τὸ πῦρ. ἐκ πυρὸς γὰρ

3 ἀνάγει B || 4 κατάληψις et v. 6 ἐκ καταλήψεως Wyttenbachio suspecta. ἐκ καταλήψεως, quod altero loco ineptum est, emendatam lectionem prioris κατάληψις putabam. sed in scriptore ab artis proprietate alieno [cf. Sext. adv. math. VII 150 sqq.] iudicium difficile. ὧν videtur priora generaliter comprehendere || 9 οὖν ἐγκρίνει C: οὐκ ἐγκρίνει (A): οὐκ ἐκκρίνει B || 10 post τριάδα intercidit disputatio de sensu p. 282a 14 promissa, quam expleveris ex Ioanne Philop. in Ar. de anima f. C″r 45 τὴν δὲ τετράδα τὴν αἴσθησιν. ἐπειδὴ ἡ μὲν τετρὰς ἐν τοῖς αἰσθητοῖς τὸ σῶμα ἐδήλου κτλ. eadem turba factum est, ut § 9 ἡ δὲ — δυσαρεστήσας ad capitis finem deferretur in codd. || 17 de § 11 cf. Prol. p. 180. 221 || 18 πάντων E Iustin: ὅλων (A)BC

3 Ἵππαλος F: ἱππάλους C. cf. Photius p. 114b 3 B.

4 ἐκ — τελευτᾷ tamquam versus poeticis eclogis [I 10 7 p. 282 H.] addito lemmate Ἡρακλείτου inserta sunt. cf. Prol. p. 221

TESTIMONIA PLUTARCHI

3 11 **[Iustin.]** c. 3 Ἡράκλειτος ὁ Μεταπόντιος ἀρχὴν τῶν πάντων τὸ πῦρ εἶναι λέγει [H. καὶ Ἵππασος ὁ M.— λέγουσι coni. Maranus]. ἐκ τοῦ πυρὸς γὰρ τὰ πάντα γίνεσθαι καὶ εἰς τὸ πῦρ τὰ πάντα τελευτᾶν. **Philo** l. c. *Heraclitus et Hippasus Metapontius ignem.* **Schahrastanius** vert. Harbruecker II 109 respexit § 11 cf. Prol. p. 28.

PLUTARCHI EPIT. I 3

ἐκ πυρὸς γὰρ τὰ πάντα γίνεσθαι καὶ εἰς πῦρ πάντα τελευτᾶν λέγουσι. τούτου δὲ κατασβεννυμένου κοσμοποιεῖσθαι τὰ πάντα· πρῶτον μὲν γὰρ τὸ παχυμερέστατον αὐτοῦ εἰς αὐτὸ συστελλόμενον γῆ γίγνεται, ἔπειτα ἀναχαλωμένην τὴν γῆν ὑπὸ τοῦ πυρὸς φύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίνεσθαι, πάλιν δὲ τὸν κόσμον καὶ πάντα τὰ σώματα ὑπὸ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει· [ἀρχὴ οὖν τὸ πῦρ ὅτι ἐκ τούτου τὰ πάντα, τέλος δὲ ὅτι καὶ εἰς τοῦτο ἀναλύεται τὰ πάντα.]

12 Ξενοφάνης ἀρχὴν τῶν πάντων εἶναι τὴν γῆν. γράφει γὰρ ἐν τῷ Περὶ φύσεως·

ἐκ γῆς γὰρ τὰ πάντα καὶ εἰς γῆν τὰ πάντα τελευτᾷ.

13

STOBAEI ECL. I 10 11. 12

τὰ πάντα καὶ εἰς πῦρ πάντα τελευτᾷ.

πρῶτον μὲν γὰρ τὸ παχυμερέστερον αὐτοῦ εἰς αὐτὸ συστελλόμενον γίγνεται γῆ, ἔπειτα ἀναχαλωμένην τὴν γῆν ὑπὸ τοῦ πυρὸς φύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίγνεσθαι. πάλιν δὲ τὸν κόσμον καὶ τὰ σώματα πάντα ὑπὸ τοῦ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει.

---

1 ἐκ τοῦ E Iustin: τοῦ om. (A)BC || τὰ τὰ πάντα C || 4 παχυμερέστατον E(A)C: παχυμερέστερον B cf. Stob. || 6 γῆ γίγνεται E: γῆ γίνεται ABC: γῆν γίνεσθαι ex deter. codd. vulgo || 10 τὰ om. B || ἐν τῇ om. E || 11 ἀρχὴ EABC: ἀρχὴν vulgo. notavi Plutarchi additamentum ex initio repetitum Prol. p. 65 || 12 καθότι εἰς om. καὶ E

3 εἰς αὐτὸ A: corr. Meineke || γίγνεται γὰρ C: γίγνεται om. γῆ F: corr. Cant. marg.

10 de § 12 cf. Prol. p. 140

13 ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ Meineke ex Sexto adv. math. X 313 cf. Prol. p. 92. sed cf. infra Theodoretus

ALIORUM EX AETIO EXCERPTA

3 12 **Theodoret.** gr. aff. cur. IV 5 Ξενοφάνης μὲν οὖν ὁ Ὀρθομένους ὁ Κολοφώνιος ὁ τῆς Ἐλεατικῆς αἱρέσεως ἡγησάμενος ἓν εἶναι τὸ πᾶν ἔφησε σφαιροειδὲς καὶ πεπερασμένον, οὐ γενητὸν ἀλλ' ἀίδιον καὶ πάμπαν ἀκίνητον. πάλιν δὲ αὖ τῶνδε τῶν λόγων ἐπιλαθόμενος ἐκ τῆς γῆς φῦναι ἅπαντα εἴρηκεν. αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος ἐστίν 'ἐκ γῆς γὰρ τάδε πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.' cf. Prol. p. 140

13 **Idem** IV 7 καὶ Παρμενίδης δὲ ὁ Πύρρητος ὁ Ἐλεάτης Ξενοφάνους ἑταῖρος γενόμενος κατὰ μὲν τὸν πρῶτον λόγον ξύμφωνα τῷ διδασκάλῳ ξυγγέγραφεν· αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος εἶναί φασι 'οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον.' αἰτίαν δὲ τῶν ὅλων οὐ τὴν γῆν μόνον καθάπερ ἐκεῖνος ἀλλὰ καὶ τὸ πῦρ εἴρηκεν οὗτος. cf. Prol. p. 141

14

15 Λεύκιππος Μιλήσιος ἀρχὰς καὶ στοιχεῖα τὸ πλῆρες καὶ τὸ κενόν.

16 Δημόκριτος τὰ ναστὰ καὶ κενά.

17 Μητρόδωρος Θεοκρίτου Χῖος τὰ ἀδιαίρετα καὶ τὸ κενόν.

E XIV 14 5

Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος κατὰ Δημόκριτον φιλοσοφήσας ἔφη τὰς ἀρχὰς τῶν ὄντων σώματα λόγῳ θεωρητά, ἀμέτοχα κενοῦ, ἀγένητα, ἀδιάφθαρτα, οὔτε θραυσθῆναι δυνάμενα οὔτε διάπλασιν ἐκ τῶν μερῶν λαβεῖν οὔτε ἀλλοιωθῆναι· εἶναι δὲ αὐτὰ λόγῳ θεωρητά· ταῦτα μέντοι κινεῖσθαι ἐν τῷ κενῷ καὶ διὰ τοῦ κενοῦ· εἶναι δὲ καὶ αὐτὸ τὸ κενὸν ἄπειρον καὶ τὰ σώματα ἄπειρα· συμβεβηκέναι δὲ τοῖς σώμασι τρία ταῦτα, σχῆμα μέγεθος βάρος. Δημόκριτος μὲν γὰρ ἔλεγε δύο, μέγεθός τε καὶ σχῆμα, ὁ δὲ Ἐπίκουρος τούτοις καὶ

18 Ἐπίκουρος ἀρχὰς εἶναι τῶν ὄντων σώματα λόγῳ θεωρητά, ἀμέτοχα κενοῦ, ἀγένητα, ἀδιάφθαρτα, [τὰ] οὔτε θραυσθῆναι δυνάμενα οὔτε ἀλλοιωθῆναι.

1 Δημόκριτος ᾧ μετὰ πλεῖστον Ἐπίκουρος ἡκολούθησεν ἀρχὰς τῶν ὄντων σώματα ἄτομα λόγῳ κτλ. E cf. Prol. p. 8 || 5 ἀΐδια, ἄφθαρτα (A)BC: ἀδιάφθαρτα om. ἀΐδια E cf. Iustin. || 6 διάπλασιν Iustin: διπλάσιον EB: διαπλασμὸν AC || 7 de 7—286a 10 cf. Prol. p. 61. 219. || 10 καὶ ante αὐτὸ om. C || 13 σχήματα E || ἀλλ' ὁ μὲν Δημόκριτος ἔλεγε E || δύο om. E[BRPθ]

2 de § 15 cf. Prol. p. 142

4 καὶ τὸ κενὸν Aëtius scripsit cf. Theodoretus et Prol. p. 143.

9 ἀγέννητα A ut Plutarchi libri || τὰ A: inclusit Heeren

10 τρωθῆναι C: στρωθῆναι F: corr. Heeren

TESTIMONIA PLUTARCHI

18 **[Iust.]** c. 4 Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος ἀρχὰς τῶν ὄντων σώματα λόγῳ θεωρητὰ εἶναι λέγει ἀμέτοχα κενοῦ ἀγένητα ἄφθαρτα οὔτε θραυσθῆναι δυνάμενα οὔτε διάπλασιν ἐκ τῶν μερῶν λαβεῖν οὔτ' ἀλλοιωθῆναι. διὰ τοῦτο καὶ λόγῳ θεωρητά. **Schahrastanius** II 109 de *Epicuro* et *Democrito* loquens huc respicit. **Achill.** isag. p. 125*x* Pet. fortasse huc referendus: Ἐπίκουρος δὲ ὁ Ἀθηναῖος ἐκ σωμάτων νοητῶν σμικροτάτων τὰς ἀρχὰς τῶν ὅλων εἶναί φησι· καλεῖ δὲ αὐτὰς ἀτόμους ἢ διὰ σμικρότητα ἀκαριαίας τινὰς οὔσας ἢ διὰ τὸ ἀφθάρτους αὐτὰς εἶναι καὶ μὴ τέμνεσθαι.

ALIORUM EX AETIO EXCERPTA

14 **Theodoret.** IV 8 Μέλισσος δὲ ὁ Ἰθαγένους ὁ Μιλήσιος τούτου μὲν ἑταῖρος ἐγένετο, τὴν δὲ παραδοθεῖσαν διδασκαλίαν ἀκήρατον οὐκ ἐτήρησεν. ἄπειρον γὰρ οὗτος ἔφη τὸν κόσμον ἐκείνων φάντων πεπερασμένον.

16 **Idem** IV 9 Δημόκριτος δὲ ὁ Ἀβδηρίτης ὁ Δαμασίππου τὴν τοῦ κενοῦ καὶ τῶν ναστῶν πρῶτος ἐπεισήγαγε δόξαν.

17 **Idem** ibid. ταῦτα δὲ Μητρόδωρος ὁ Χῖος ἀδιαίρετα καὶ κενὸν προσηγόρευσεν,

18 **Idem** ibid. ὥσπερ αὖ πάλιν Ἐπίκουρος ὁ Νεοκλέους ὁ Ἀθηναῖος πέμπτῃ γενεᾷ μετὰ Δημόκριτον γεγονὼς τὰ ὑπ' ἐκείνων ναστὰ καὶ ἀδιαίρετα δὴ κληθέντα ἄτομα

τρίτον βάρος προσέθηκεν· ἀνάγκη γάρ, φησί, κινεῖσθαι τὰ σώματα τῇ τοῦ βάρους πληγῇ· ἐπεὶ οὐ κινηθήσεται. εἶναι δὲ τὰ σχήματα τῶν ἀτόμων ἀπερίληπτα, οὐκ ἄπειρα. μὴ γὰρ εἶναι μήτ' ἀγκιστροειδεῖς μήτε τριαινοειδεῖς μήτε κριοειδεῖς· ταῦτα γὰρ τὰ σχήματα εὔθραυστά ἐστιν, αἱ δὲ ἄτομοι ἀπαθεῖς ἄθραυστοι. ἴδια δὲ ἔχειν σχήματα λόγῳ θεωρητά. καὶ εἴρηται ἄτομος οὐχ ὅτι ἐστὶν ἐλαχίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ· [ὥστε ἐὰν εἴπῃ ἄτομον, ἄθραυστον λέγει καὶ ἀπαθῆ ἀμέτοχον κενοῦ. ὅτι δέ ἐστιν ἄτομος, σαφές· καὶ γάρ ἐστι στοιχεῖα ἀεὶ ὄντα καὶ ζῷα κενὰ καὶ ἡ μονάς.]

εἴρηται δὲ ἄτομος οὐχ ὅτι ἐστὶν ἐλαχίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα καὶ ἀμέτοχος κενοῦ.

19 Ἔκφαντος Συρακούσιος εἷς τῶν Πυθαγορείων πάντων τὰ ἀδιαίρετα σώματα καὶ τὸ κενόν. τὰς γὰρ Πυθαγορικὰς μονάδας οὗτος πρῶτος ἀπεφήνατο σωματικάς.

E XIV 14 6

Ἐμπεδοκλῆς Μέτωνος Ἀκραγαν-

---

1 βάρος E: τὸ βάρος (A)BC || προσέθηκεν E [προστέθεικεν cFG]: ἐπέθηκεν (A)BC || 3 ἐπεὶ cf. Viger. ed. H. p. 402[4] || 5 περιληπτά E(A)C: περιληπτικά B: corr. Duebner cf. Laert. X 42 τὰ ἄτομα... ἀπερίληπτά ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων... καὶ καθ' ἑκάστην δὲ σχημάτισιν ἁπλῶς ἄπειροί εἰσιν αἱ ὅμοιαι, ταῖς δὲ διαφοραῖς οὐχ ἁπλῶς ἄπειροι, ἀλλὰ μόνον ἀπερλήπτοι || 16 ἀγκιστροειδεῖς — τριαινοειδεῖς — κριοειδεῖς EAB scil. ἀτόμους cf. Laert. l. c.: ἀγκιστροειδῆ — τριαινοειδῆ — κριοειδῆ ubique nota εἷς rubro superscripta C cf. Prol. p. 38 || 8 ἐστιν εὔθραυστα E || θραυστά B || 13 Plutarchi interpolationem notavi Prol. p. 61. 65 || 14 καὶ ante ἀπαθῆ om. E || 16 ἄτομον B || 17 ἀεὶ ὄντα om. E || difficile dictu quid in his ineptiis lateat. incredibilia varia tentaverunt Gassendus Epic. phil. Lugdun. 1675 I p. 102 et Corsinus p. 13[1] || 19 ante Ἀκραγαντῖνος habet glossema πολιστὴς [l. πόλις τῆς] Σικελίας E

5 συρακούσιος A: Συρακόσιος Meineke

6 πάντων τῶν F: πάντων C: post πάντων addebat ἀρχὰς Heeren, quod utique audiendum est.

10 de Stobaei ecloga p. 286. 288 H. quae § 20 respondere videtur dixi Prol. p. 88 sqq.

TESTIMONIA PLUTARCHI

3 20 [Iustin.] c. 4 Ἐμπεδοκλῆς Μέτω-

ALIORUM EX AETIO EXCERPTA

προσηγόρευσεν. ἀδιαίρετον δὲ καὶ ἄτομον καὶ ναστὸν οἱ μὲν διὰ τὸ ἀπαθὲς ὠνομάσθαι φασίν, οἱ δὲ διὰ τὸ ἄγαν σμικρὸν ἅτε δὴ τομὴν καὶ διαίρεσιν δέξασθαι οὐ δυνάμενον. (καλοῦσι δὲ οὕτω τὰ σμικρότατα ἐκεῖνα καὶ λεπτότατα σώματα ἃ διὰ τῶν φωταγωγῶν εἰσβάλλων ὁ ἥλιος δείκνυσιν ἐν ἑαυτῷ ἄνω καὶ κάτω παλλόμενα) [postrema ab his καλοῦσι δὲ ex Aristot. d. anima I 2 p. 404[a] 1 cf. Prol. p. 45[3]. eadem inde ab οἱ μὲν Suidas s. v. ἄτομα p. 842, 3—8 B celato Theodoreti nomine].

19 **Theodoret.** IV 11 τούτοις δὲ καὶ Ἔκφαντος [ἔκφατος B, διόφαντος vulgo] ὁ Συρακούσιος ὁ Πυθαγόρειος ἠκολούθησε.

PLUTARCHI EPIT. I 3

τῖνος τέτταρα μὲν λέγει στοιχεῖα, πῦρ ἀέρα ὕδωρ γῆν, δύο δὲ ἀρχικὰς δυνάμεις, φιλίαν τε καὶ νεῖκος· ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ διαιρετικόν. φησὶ δὲ οὕτως·

τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεύς,
Νῆστίς θ', ἣ δακρύοις τέγγει, κρούνωμα βρότειον.

Δία μὲν γὰρ λέγει τὴν ζέσιν καὶ τὸν αἰθέρα, Ἥρην δὲ φερέσβιον τὸν ἀέρα, τὴν δὲ γῆν τὸν Ἀιδωνέα· Νῆστιν δὲ καὶ κρούνωμα βρότειον οἱονεὶ τὸ σπέρμα καὶ τὸ ὕδωρ.

Πλάτων Ἀρίστωνος Ἀθηναῖος τρεῖς 21

STOBAEI ECL. I 10 16

Πλάτων Ἀρίστωνος τρεῖς ἀρχάς,

1 μὲν om. B || λέγει om. E || 2 ἀρχικὰς Iustin. (A)BC: ἀρχὰς καὶ E || 5 οὕτως B || 6 τῶν om. B || 8 ἄρης E: αἰθὴρ (A)BC: corr. Beck || 10 interpunxi post τέγγει propter interpretationem v. 15 || 13 Ἥραν E || ἤρην τε (A)BC: corr. Beck || 14 δὲ om. E || 17 §§ 21. 22. 25. om. E || Plutarchi exemplum antiquam interpolationem passum est: Σωκράτης Σωφρονίσκου Ἀθηναῖος καὶ Πλάτων Ἀρίστωνος Ἀθηναῖος, αἱ γὰρ αὐταὶ περὶ παντὸς ἑκατέρου [ἑκατέρων B] δόξαι, τρεῖς. delevi pinguius expressa cl. Stob. et G I 7 31 10 3 cf. Prol. p. 14

TESTIMONIA PLUTARCHI

νος ὁ Ἀκραγαντῖνος τέσσαρα στοιχεῖα πῦρ ἀέρα ὕδωρ γῆν. δύο δὲ ἀρχικὰς δυνάμεις φιλίαν τε καὶ νεῖκος, ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ διαιρετικόν. **Achill.** p. 125 B Ἐμπεδοκλῆς δὲ ἀρχάς φησι τῶν ὅλων τὰ τέσσαρα στοιχεῖα. καὶ τὸ μὲν πῦρ καλεῖ Δία καὶ αἰθέρα, τὴν δὲ γῆν Ἥραν [cf. Prol. p. 22. 90], τὸν δὲ ἀέρα Ἀιδωνέα, τὸ δὲ ὕδωρ νῆστιν, τὰς δὲ τούτων δυνάμεις νεῖκος καὶ φιλίαν, νεῖκος μὲν τὴν διάλυσιν, φιλίαν δὲ τὴν σύνοδον. **Philo** l. c. *Empedocles Agrigentinus ignem aquam aerem terram et duo principia amorem et odium.*

21 **Achill.** p. 125 B Σωκράτης δὲ καὶ Πλάτων ἀρχὰς τῶν ὅλων καλοῦσι θεὸν καὶ ὕλην καὶ τρίτον τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ. ἐκ δὲ τούτων τὰ τέσσαρα στοιχεῖα γε-

ALIORUM EX AETIO EXCERPTA

21 **Theodoret.** IV 11 Πλάτων δὲ ὁ Ἀρίστωνος ἀρχὰς εἶναι τῶν ὅλων τὸν θεὸν καὶ τὴν ὕλην καὶ τὰς ἰδέας φησίν.

ἀρχάς, τὸν θεὸν τὴν ὕλην τὴν ἰδέαν. ὁ δὲ θεὸς νοῦς ἐστι τοῦ κόσμου. ὕλη δὲ τὸ ὑποκείμενον πρῶτον γενέσει καὶ φθορᾷ, ἰδέα δὲ οὐσία ἀσώματος ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ.

τὸν θεὸν τὴν ὕλην τὴν ἰδέαν, ὑφ' οὗ ἐξ οὗ πρὸς ὅ. ὁ δὲ θεὸς νοῦς ἐστι τοῦ κόσμου, ἡ δὲ ὕλη τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ, ἰδέα δὲ οὐσία ἀσώματος ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ.

Ἀριστοτέλης δὲ Νικομάχου Σταγειρίτης ἀρχὰς μὲν ἐντελέχειαν ἤτοι εἶδος ὕλην στέρησιν· στοιχεῖα δὲ τέσσαρα, πέμπτον δέ τι σῶμα αἰθέριον, ἀμετάβλητον.

22 Ἀριστοτέλης Νικομάχου Σταγειρίτης ἀρχὰς μὲν εἶδος ὕλην στέρησιν· στοιχεῖα δὲ τέσσαρα, πέμπτον δέ τι σῶμα τὸ αἰθέριον, ἀμετάβλητον· στοιχεῖα δὲ τῶν γενητῶν κατὰ μὲν τὰς δυνάμεις θερμὸν ψυχρὸν ὑγρὸν ξηρόν, κατὰ δὲ τὰς οὐσίας, ἐν αἷς καὶ περὶ ἃς ὑπάρχουσιν αὗται, τὰ τέσσαρα.

23 Ξενοκράτης συνεστάναι τὸ πᾶν ἐκ τοῦ ἑνὸς καὶ τοῦ ἀενάου, ἀέναον τὴν ὕλην αἰνιττόμενος διὰ τοῦ πλήθους.

24 Στράτων στοιχεῖα ⟨θερμὸν⟩ καὶ ψυχρόν.

1 ὁ δὲ θεὸς νοῦς ἐστι τοῦ κόσμου falso loco post θεοῦ v. 6 in codd. traditur, cum varia lectio ἔστι δὲ ὁ θεὸς ὁ νοῦς eius locum obsederit: correxi cf. Prol. p. 34

2 ὁ μὲν θεὸς Heeren || 3 τοῦ κόσμου ex Plut. vulg. incl. Heeren || 5 ἐν ταῖς A || 10 τὸ A: induxit Heeren, at cf. Theodoretus || 19 θερμὸν om. A: addidit Fabricius. vulgo τὸ θερμὸν καὶ τὸ ψυχρόν ex Heerenii auctoritate.

TESTIMONIA PLUTARCHI

νίσθαι. **Mohammedis** Fihrist p. 245, 26 Fl. vert. Mueller: *Aus dem buche des Plutarchos 'Platon der sohn des Ariston'.* **Schahrastanius** II 113 Harbr. *Plutarch berichtet von ihm* [Socrates] *dass er in betreff der elemente gesagt habe, die wurzeln der dinge seien drei, nemlich die thaetige ursache, der grundstoff und die form, dass also gott der thaetige, der grundstoff das erste substrat für das werden und vergehen und die form eine substanz nicht ein koerper sei.*

3 22 **Achill.** p. 125 A Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης ἀρχὰς λέγει τῶν ὅλων εἶδος καὶ ὕλην καὶ στέρησιν. ἐκ δὲ τούτων τὰ τέσσαρα στοιχεῖα καὶ πέμπτον σῶμα ἀδιάφθαρτον καὶ καθαρόν, ὃ δὴ αἰθέρα λέγουσιν. **Philo** l. c. *Aristoteles Nicomachi filius formam materiam privationem elementa quatuor et quintum aetherem.*

ALIORUM EX AETIO EXCERPTA

22 **Theodoret.** IV 11 Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης ὁ Νικομάχου εἶδος καὶ ὕλην καὶ στέρησιν. στοιχεῖα δὲ οὐ τέσσαρα ἀλλὰ πέντε· ἕτερον γὰρ εἶναι τὸ αἰθέριον εἴρηκεν, ἄτρεπτον καὶ ἀμετάβλητον.

23 **Idem** IV 12 Ξενοκράτης δὲ ὁ Καλχηδόνιος [καρχηδόνιος codd.] ἀέναον τὴν ὕλην, ἐξ ἧς ἅπαντα γέγονε, προσηγόρευσε.

PLUTARCHI EPIT. I 4

Ζήνων Μνασέου Κιτιεὺς ἀρχὰς μὲν τὸν θεὸν καὶ τὴν ὕλην, ὧν ὁ μέν ἐστι τοῦ ποιεῖν αἴτιος, ἡ δὲ τοῦ πάσχειν, στοιχεῖα δὲ τέσσαρα.

STOBAEI ECL. I 10 14. 16

25 Ζήνων Μνασαίου Κιτιεὺς ἀρχὰς τὸν θεὸν καὶ τὴν ὕλην, στοιχεῖα δὲ τέσσαρα.

26 Διογένης δὲ ὁ Ἀπολλωνιάτης ἀέρα ἄπειρον.

27 Διόδωρος ἐπίκλην Κρόνος τὰ ἀμερῆ σώματα ἄπειρα, τὰ δ' αὐτὰ λεγόμενα καὶ ἐλάχιστα, ἄπειρα μὲν κατ' ἀριθμὸν ὡρισμένα δὲ κατὰ μέγεθος.

δ. Πῶς συνέστηκεν ὁ κόσμος. G 33

E XV 32 1—7

Ὁ τοίνυν κόσμος συνέστη περικεκλασμένῳ σχήματι ἐσχηματισμένος τὸν τρόπον τοῦτον. τῶν ἀτόμων σωμάτων ἀπρονόητον καὶ τυχαίαν ἐχόντων τὴν κίνησιν συνεχῶς τε καὶ τάχιστα κινουμένων, εἰς τὸ αὐτὸ πολλὰ σώματα συνηθροίσθη [καὶ] διὰ τοῦτο ποικιλίαν ἔχοντα καὶ σχημάτων καὶ μεγεθῶν. ἀθροιζομένων δ' ἐν ταὐτῷ τούτων, τὰ μὲν ὅσα μείζονα ἦν καὶ βαρύτερα πάντως ὑπεκάθιζεν, ὅσα

3 αἴτιον B || 5 titulum et argumenti nonnihil exc. Psell. d. o. d. c. 115. dixi de c. 4 Prol. p. 58 || συνέστηκεν E [CDFG] (A)BC: συνέστη E [vulg.] || 7 συνέστη (A)BC: συνέστηκε G: om. E || 8 ἐσχημάτισται E cf. Prol. p. 8 || 12 τὰ πολλὰ B || 13 καὶ E(A)BC: del. Usener || 15 τοσούτων E[CDFG] || 17 βαρύτατα E(A)BC: correxi cum Usenero || πάντων E

1 μνασαίου A eodem errore Theodoretus || 4 dubium num hic fuerit Diogenis [Prol. p. 144] locus, sed cf. Theodoretus || 7 ἄπειρα post σώματα delendum videtur || 9 κατὰ ἀριθμὸν A: vulgo ex Augustano κατὰ τὸν ἀριθμόν || κατὰ τὸ μέγεθος C: τὸ om. F

TESTIMONIA PLUTARCHI

3 25 **Achill.** p. 124 E Ζήνων ὁ Κιτιεὺς ἀρχὴν εἶναι λέγει τῶν ὅλων θεὸν καὶ ὕλην. θεὸν μὲν τὸ ποιοῦν, ὕλην δὲ τὸ ποιούμενον ἀφ' ὧν τὰ τέσσαρα στοιχεῖα γεγονέναι. **Schahrastanius** II 132: *Plutarch berichtet dass Zenon gemeint habe die wurzeln seien nur gott und der grundstoff allein: gott sei die thaetige ursache, der grundstoff das passive.* **Philo** l. c. *Zeno Mnaseae filius aerem deum materiam et elementa quatuor.*

ALIORUM EX AETIO EXCERPTA

25 **Theodoret.** IV 12 ib. Ζήνων δὲ ὁ Κιτιεὺς ὁ Μνασαίου ὁ Κράτητος φοιτητὴς ὁ τῆς Στωικῆς ἄρξας αἱρέσεως, τὸν θεὸν καὶ τὴν ὕλην ἀρχὰς ἔφησεν εἶναι. sequitur I 5 5.

26 **Idem** ibid. ὁ δὲ Ἀπολλωνιάτης Διογένης ἐκ τοῦ ἀέρος ἔφη ξυστῆναι τὸ πᾶν.

δὲ μικρὰ καὶ περιφερῆ καὶ λεῖα καὶ εὐόλισθα ταῦτα καὶ ἐξεθλίβετο κατὰ τὴν σύνοδον τῶν σωμάτων εἴς τε τὸ μετέωρον ἀνεφέρετο. ὡς δ' οὖν ἐξέλειπε μὲν ἡ πληκτικὴ δύναμις μετεωρίζουσα, οὐκέτι δὲ ἦγεν ἡ πληγὴ πρὸς τὸ μετέωρον, ἐκωλύετο δὲ ταῦτα κάτω φέρεσθαι, ἐπιέζετο πρὸς τοὺς τόπους τοὺς δυναμένους δέξασθαι. οὗτοι δὲ ἦσαν οἱ πέριξ καὶ πρὸς τούτοις τὸ πλῆθος τῶν σωμάτων περιεκλᾶτο, περιπλεκόμενα δὲ ἀλλήλοις κατὰ τὴν περίκλασιν τὸν οὐρανὸν ἐγέννησεν. τῆς 3
δ' αὐτῆς ἐχόμεναι φύσεως αἱ ἄτομοι ποικίλαι οὖσαι, καθὼς εἴρηται, πρὸς τὸ μετέωρον ἐξωθούμεναι τὴν τῶν ἀστέρων φύσιν ἀπετέλουν· τὸ δὲ πλῆθος τῶν ἀναθυμιωμένων σωμάτων ἐπέπληττε τὸν ἀέρα καὶ τοῦτον ἐξέθλιβε· πνευματούμενος δὲ οὗτος κατὰ τὴν κίνησιν καὶ συμπεριλαμβάνων τὰ ἄστρα συμπεριῆγεν αὐτὰ καὶ τὴν νῦν περιφορὰν αὐτῶν μετέωρον ἐφύλαττε. κἄπειτα ἐκ μὲν τῶν ὑποκαθιζόντων ἐγεννήθη ἡ γῆ, ἐκ δὲ τῶν μετεωριζομένων οὐρανὸς πῦρ ἀήρ. πολλῆς δὲ 4
ὕλης ἔτι περιειλημμένης ἐν τῇ γῇ, πυκνουμένης τε ταύτης κατὰ τὰς ἀπὸ τῶν πνευμάτων πληγὰς καὶ τὰς ἀπὸ τῶν ἀστέρων αὔρας, προσεθλίβετο πᾶς

2 εὐολίσθητα E || καὶ om. E || 3 τὴν σύνοδον τῶν σωματων EA: τὴν om. B: τὴν σωμάτων σύνοδον C || εἰς δὲ E || 4 ὡς οὖν E || ἐξέλιπε (EA)BC: correxi || verborum abundantiam notavit Wyttenbach || 10 τούτους E || 13 ἐγέννησε EAB: ἐγέννησαν C || 14 αἱ E: om. ABC || 17 ἄστρων E || 19 ἐπέπληττε E: ἔπληττε (A)B || 21 περιλαμβάνων E || 22 αὐτά E: ταῦτα (A)BC || συμπεριφορὰν E [DFG] || conicio καὶ οὕτως. nam γῆς origo explicatur p. 289a 17, οὐρανοῦ p. 290a 13, ἀστέρων 17, ἀέρος 19 || 27 ἔτι περιειλημμένης EC: ἐμπεριειλημμένης A: περιειλημμένης om. ἔτι B: περιλελειμένης legit Budaeus || 28 δὲ E || 29 σωμάτων E[DFG] cf. Prol. p. 161 || 30 αὐγὰς E[DFG] cf. Prol. l. c.

PLUTARCHI EPIT. I 6

ὁ μικρομερὴς σχηματισμὸς ταύτης καὶ τὴν ὑγρὰν φύσιν ἐγέννα· ῥευστικῶς δὲ αὕτη διακειμένη κατεφέρετο πρὸς τοὺς κοίλους τόπους καὶ δυναμένους χωρῆσαί τε καὶ στέξαι ἢ καθ' αὑτὸ τὸ ὕδωρ ὑποστὰν ἐκοίλαινε τοὺς ὑποκειμένους τόπους. τὰ μὲν οὖν κυριώτατα μέρη τοῦ κόσμου τὸν τρόπον τοῦτον ἐγεννήθη.

ε. Εἰ ἓν τὸ πᾶν. G 32
E XV 33

Οἱ μὲν οὖν ἀπὸ τῆς Στοᾶς ἕνα κόσμον ἀπεφήναντο, ὃν δὴ καὶ τὸ πᾶν ἔφασαν εἶναι καὶ τὸ σωματικόν.

Ἐμπεδοκλῆς δὲ κόσμον μὲν ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλὰ ὀλίγον τι τοῦ παντὸς μέρος, τὸ δὲ λοιπὸν ἀργὴν ὕλην.

Πλάτων δὲ τεκμαίρεται τὸ δοκοῦν, ὅτι εἷς ὁ κόσμος καὶ ἓν τὸ πᾶν, ἐκ τριῶν· ἐκ τοῦ μὴ ἔσεσθαι τέλειον, ἐὰν μὴ πάντα ἐμπεριέχῃ· ἐκ τοῦ μὴ ἔσεσθαι ὅμοιον τῷ παραδείγματι, ἐὰν μὴ μονογενὴς ᾖ· ἐκ τοῦ μὴ ἔσεσθαι ἄφθαρτον, ἐὰν ᾖ τι ἐξωτέρω αὐτοῦ. πρὸς δὴ τὸν Πλάτωνα ῥητέον, ὅτι οὐ τέλειος ὁ κόσμος· οὐδὲ γὰρ

6 ἐκοίλαινε EC: ἐκοίλανε Psellus (A)BE[VG]|| 7 τὰ – ἐγεννήθη om. E || οὖν BC: om. A || 10 de c. 5 in vetustis Placitis ordine cf. Prol. p. 182[1] || 12 οὖν E: om. G(A)BC || ἕνα τὸν B || 14 τὰ σωματικά E || 15 δὲ om. E[DVG]? || μὲν E[DVG](A)B: om. GCE[vulg.] || 17 μέρους B || 18 ἀργὴν ὕλην EGAB: ἀργὴν εἶναι τὴν ὕλην C || 19 de § 3 dixi Prol. p. 58. 59. 182 || τὸ δοκοῦν (A)BC: τὸ δ' οὖν E || 20 εἷς ὁ EC: ὁ om. G(A)B || 21 ἔσεσθαι E[BC1]: εἶναι (A)BC || 22 ἐμπεριέχῃ E: περιέχῃ G(A)BC || 24 ἔσεσθαι E: ἔσεσθαι αὐτὸν (A)BC || 25 μή τι ἐξωτέρω αὐτοῦ ᾖ E || 26 πρὸς δὲ E || λεκτέον E || 27 οὐδὲ γὰρ E(A)B: οὐ γὰρ C. for-

STOBAEI ECL. I 22 3

Εἰ ἓν τὸ πᾶν.

Οἱ μὲν οὖν ἀπὸ τῆς Στοᾶς ἕνα κόσμον ἀπεφήναντο, ὃν δὴ καὶ τὸ πᾶν ἔφασαν εἶναι τὸ σωματικόν.

Ἐμπεδοκλῆς κόσμον ἕνα. οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλ' ὀλίγον τι τοῦ παντὸς μέρος, τὸ δὲ λοιπὸν ὕλην.

1 § 2 posita est ante § 1
3 εἶναι τὸν A

TESTIMONIA PLUTARCHI

5 2 **Philo** interpolatus de prov. I 22 *Empedocles mundum unum nec tamen universum esse illum, sed minorem istius*

πάντα περιέχει· καὶ γὰρ ὁ ἄνθρωπός ἐστι τέλειος, ἀλλ' οὐ πάντα περιέχει. καὶ πολλὰ παραδείγματά ἐστιν, ὥσπερ ἐπ' ἀνδριάντων καὶ οἰκιῶν καὶ ζωγραφιῶν. πῶς δὲ εἶπεν 'ἔξωθέν τι αὐτοῦ οὐκ ἔστι'; περιδινεῖσθαι γὰρ οὐκ ἠδύνατο. ἄφθαρτος δὲ οὐκ ἔστιν οὐδὲ δύναται εἶναι γενητὸς ὤν.

Μητρόδωρος δὲ φησιν ἄτοπον εἶναι ἐν μεγάλῳ πεδίῳ ἕνα στάχυν γενηθῆναι καὶ ἕνα κόσμον ἐν τῷ ἀπείρῳ. ὅτι δὲ *ἄπειρος* κατὰ τὸ πλῆθος, δῆλον ἐκ τοῦ ἄπειρα τὰ αἴτια εἶναι· εἰ γὰρ ὁ μὲν κόσμος πεπερασμένος, τὰ δὲ αἴτια πάντα ἄπειρα, ἐξ ὧν δὲ ὁ κόσμος γέγονεν, ἀνάγκη ἀπείρους εἶναι. ὅπου γὰρ τὰ *πάντα* αἴτια, ἐκεῖ καὶ •ἀποτελέσματα. αἴτια δὲ ἤτοι αἱ ἄτομοι ἢ τὰ στοιχεῖα.

4 Μητρόδωρος ὁ καθηγητὴς Ἐπικούρου φησὶν ἄτοπον εἶναι ἐν μεγάλῳ πεδίῳ ἕνα στάχυν γενηθῆναι καὶ ἕνα κόσμον ἐν τῷ ἀπείρῳ. ὅτι δὲ *ἄπειρος* κατὰ τὸ πλῆθος, δῆλον ἐκ τοῦ ἄπειρα τὰ αἴτια εἶναι. εἰ γὰρ ὁ κόσμος πεπερασμένος, τὰ δ' αἴτια πάντα ἄπειρα ἐξ ὧν δὲ ὁ κόσμος γέγονεν, ἀνάγκη ἀπείρους εἶναι. ὅπου γὰρ τὰ αἴτια *πάντα*, ἐκεῖ καὶ •ἀποτελέσματα. αἴτια δὲ ἤτοι αἱ ἄτομοι ἢ τὰ στοιχεῖα.

ϛ. Πόθεν ἔννοιαν ἔσχον θεῶν ἄνθρωποι. G 34

Ὁρίζονται δὲ τὴν τοῦ θεοῦ οὐσίαν οἱ Στωικοὶ οὕτως· πνεῦμα νοερὸν καὶ πυρῶδες οὐκ ἔχον μὲν μορφήν, μεταβάλλον δὲ εἰς ὃ βούλεται καὶ συν-

1

---

tasse οὐδὲ γὰρ ⟨ἂν⟩ πάντα περιέχων || 1 τὰ πάντα E[CDFG] || καὶ γὰρ — περιέχει om. EB || 2 ἓνι τέλειος A: ἐν τέλειος C || 5 πῶς δὲ τέλειος εἶπερ ἔξωθέν τι αὐτοῦ περιδινεῖσθαι δύναται (A)BC: restitui ex E || 11 γενηθῆναι pr. AB: γεννηθῆναι (E)C || 13 δῆλον ἐκ τοῦ (A) C: δῆλον ὅτι E: δῆλον ὅτι ἐκ τοῦ B cf. Prol. p. 35 || 14 ἀεὶ γὰρ B || 16 ὅθι AC: om. EB || 17 post πάντα errore γέγονεν iterant AC: om. E[CFGI]B || γὰρ ἄπειρα τὰ αἴτια Reiske cf. Prol. p. 51 || 18 τὰ post καὶ om. E: addunt ABC || 20 θεῶν GAB: θεοῦ Psell. omn. d. c. 18 et C || θεῶν οἱ B || 22 θεοῦ Cyrill. cf. G: θείου (A)BC || 25 μεταβάλλον Cyrill. (A)C: μεταβαλλόμενον GB || εἰς ὃ G Cyrill.: εἰς ἃ (A)BC

3 γενηθῆναι F: γεννηθῆναι C vulgo

4 antiquum vitium Plutarchoque commune corrigebant Meineke ἄπειροι κατὰ τὸ πλῆθος cf. Laert. X 89, Usener ἄπειρον καὶ τὸ πλῆθος conicientes

8 ὧν δὲ A cf. Prol. p. 66

10 πάντα C: om. F antiquitus pro ἄπειρα quod necessario requiritur ex v. 7 repetitum esse dixi Prol. p. 51 || καὶ ἀποτελέσματα A: vulgo καὶ τὰ ἀ. cf. Prol. l. c.

TESTIMONIA PLUTARCHI

universi partem, reliquum vero inertes materiae.

6 1. 2 **Cyrill.** c. Iul. II p. 51 E post lo-

ALIORUM EX AETIO EXCERPTA

5 huc refero **Theodoret.** IV 12 Ἵππασος δὲ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Βλόσωνος ὁ Ἐφέσιος ἓν εἶναι τὸ πᾶν ἀειχίνητον [ἀχίνητον vulgo; corr. Zeller] καὶ πεπερασμένον, ἀρχὴν δὲ τὸ πῦρ ἐσχηκέναι. cf. Prol. p. 45.

εξομοιούμενον πᾶσιν. ἔσχον δὲ ἔννοιαν 2
τούτου πρῶτον μὲν ἀπὸ τοῦ κάλλους
τῶν ἐμφαινομένων προσλαμβάνοντες.
οὐδὲν γὰρ τῶν καλῶν εἰκῇ καὶ ὡς
ἔτυχε γίνεται, ἀλλὰ μετά τινος τέχνης
δημιουγρούσης. καλὸς δὲ ὁ κόσμος·
δῆλον δὲ ἐκ τοῦ σχήματος καὶ τοῦ
χρώματος καὶ τοῦ μεγέθους καὶ τῆς
περὶ τὸν κόσμον τῶν ἀστέρων ποικι-
λίας. σφαιροειδὴς γὰρ ὁ κόσμος, δ 3
πάντων σχημάτων πρωτεύει. μόνον
γὰρ τοῦτο τοῖς ἑαυτοῦ μέρεσιν ὁμοι-
οῦται· περιφερὴς δὲ ὢν ἔχει τὰ μέρη
περιφερῆ· διὰ τοῦτο γὰρ κατὰ τὸν
Πλάτωνα ἐν τῇ κεφαλῇ τὸ ἱερώτα-
τον συνέστηκε νοῦς. καὶ τὸ χρῶμα δὲ 4
καλόν. κυανώδει γὰρ κέχρωσται, δ
πορφύρας μέν ἐστι μελάντερον, στίλ-
βουσαν δὲ ἔχει τὴν ποιότητα· καὶ διὰ
ταύτην τὴν αἰτίαν τῷ τῆς χροιᾶς συν-
τόνῳ διακόπτων τηλικαύτην ἀέρος
ἀπόστασιν ἐκ τοσούτων διαστημάτων
θεωρεῖται. καὶ ἐκ τοῦ μεγέθους καλός. 5
πάντων γὰρ τῶν ὁμογενῶν τὸ περιέ-
χον καλὸν ὡς ζῷον καὶ δένδρον. ἐπι- 6

3 τὴν ἐμφαινομένην B || 10 γὰρ AB: δὲ C || 11 πάντων AB: πάντων τῶν C || 15 Πλάτωνα Tim. p. 44 D sq. || ἱερὸν B || 17 κυανώσει (A)B: corr. Beck || γὰρ om. B || 21 διακόπτων vulgo: διακόπτον ABC || ἀέρος AB: τοῦ ἀέρος C || 22 ἀπόστασιν (A)C: σύστασιν B || 24 τῶν om. B || περιέχον (A) Athenag.: ὑπερέχον B || 25 καὶ ὡς (?) B

TESTIMONIA PLUTARCHI

cum § 8 citatum: καὶ πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ· 'ὁρίζονται δὲ τὴν τοῦ θεοῦ οὐσίαν οὕτως· πνεῦμα νοερὸν καὶ πυρῶδες οὐκ ἔχον μὲν μορφήν, μεταβάλλον δὲ εἰς ὃ βούλεται καὶ συνεξομοιούμενον πᾶσιν. ἔσχον δὲ ἔννοιαν τούτου πρῶτον μὲν ἀπὸ τοῦ κάλλους τῶν ἐμφαινομένων προσλαβόντες [προσβαλόντες Aub.] ὡς οὐδὲν τῶν καλῶν εἰκῇ καὶ ὡς ἔτυχε γίνεται, ἀλλὰ μετά τινος τέχνης δημιουργούσης'.

6 3—6 respexit **Athenagoras** suppl. c. 16 καλὸς μὲν γὰρ ὁ κόσμος καὶ τῷ μεγέθει περι-

τελεῖ τὸ κάλλος τοῦ κόσμου καὶ ταῦτα τὰ φαινόμενα· ὁ μὲν γὰρ λοξὸς κύκλος ἐν οὐρανῷ διαφόροις εἰδώλοις πεποίκιλται. 1

τῷ δ' ἕνι καρκίνος ἐστί, λέων δ' ἐπὶ τῷ, μετὰ δ' αὐτόν
παρθένος ἠδ' ἐπί οἱ χηλαὶ καὶ σκορπίος αὐτός
τοξευτής τε καὶ αἰγόκερως, ἐπὶ δ' αἰγοκερῆι
ὑδροχόος· δύο δ' αὐτὸν ἐπ' ἰχθύες ἀστερόεντες.
τοὺς δὲ μέτα κριός, ταῦρος δ' ἐπὶ τῷ δίδυμοί τε.

μυρία δ' ἄλλα καθ' ὁμοίας τοῦ κόσμου περικλάσεις πεποίηκεν. 7 ὅθεν καὶ Εὐριπίδης φησί·

τό τ' ἀστερωπὸν οὐρανοῦ σέλας
χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ.

ἐλάβομεν δὲ ἐκ τούτου ἔννοιαν θεοῦ· 8

---

1 ταῦτα τὰ B: om. τὰ AC: om. ταῦτα vulgo || 5 τῷ δ' ἑνὶ B: τῷ ἑνὶ (A): τῷ δ' ἔπι C. Arati sunt phaen. 545—549 || 6 μετὰ δ' αὐτόν, sic cod. G Arati 546; ceteri Arati codd. ἐπ' αὐτὸν vel ὑπ' αὐτόν || 7 ἠδ' BC: ἠδ' A: αἱ δ' Arat. 546 || post καὶ inserunt ἐπ' αὐτῷ ABC (explicantes ἐπί οἱ) || 9 τοξευτής B Arat.: τοξότης A: τοξευτήρ C || αἰγικέρως B || 10 αἰγοκερῷ A: αἰγοκέρω B: αἰγοκέρωτι C: αἰγοκερῆι Arat. 547 cf. 284. 538 || 11 ὑδροχόος C: ὑδρηχόος AB || 12 ἀστερόεντες ABC: ἀστερόωνται Arat. 548 || 15 ὁμοίας (AB): ὁμοίους C || τοῦ κόσμου BC: om. A || 17 Εὐριπίδης immo Critias fr. 1 v. 33. 34 p. 598 N. cf. Prol. p. 59[1] || 18 τὸν ἀστερωπὸν (A)BC || δέμας Sext. Empir. p. 404, 9 B. || 19 χρόνον (A)BC: corr. Beck e Sexto

---

TESTIMONIA PLUTARCHI

ἔχων καὶ τῇ διαθέσει τῶν τε ἐν τῷ λοξῷ κύκλῳ καὶ τῶν περὶ τὴν ἄρκτον καὶ τῷ σχήματι σφαιρικῷ ὄντι.

6 8 Cyrill. l. l. p. 51 D (= p. 70 D = Mich. Glyc. Annal. II p. 247, 4—7 B cf. Prol. p. 31) ἔφη γάρ που περὶ αὐτῶν ἰσχνὸς

PLUTARCHI EPIT. I 6

ἀεί τε γὰρ ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων τὴν ὑπόγειον φορὰν ἐνεχθέντα, ὅμοια μὲν ἀνατέλλει τοῖς χρώμασιν, ἴσα δὲ τοῖς μεγέθεσι, καὶ κατὰ τόπους καὶ κατὰ χρόνους τοὺς αὐτούς. διόπερ οἱ τὸν περὶ τῶν θεῶν παραδόντες σεβασμὸν διὰ τριῶν ἐξέθηκαν ἡμῖν εἰδῶν, πρῶτον μὲν τοῦ φυσικοῦ, δεύτερον δὲ τοῦ μυθικοῦ, τρίτον δὲ τοῦ τὴν μαρτυρίαν ἐκ τῶν νόμων εἰληφότος. [διοικεῖσθαι] διδάσκεται δὲ τὸ μὲν φυσικὸν ὑπὸ τῶν φιλοσόφων, τὸ δὲ μυθικὸν ὑπὸ τῶν ποιητῶν, τὸ δὲ νομικὸν ὑφ' ἑκάστης ἀεὶ πόλεως συνίσταται.

Διαιρεῖται δ' ἡ πᾶσα διδαχὴ εἰς εἴδη ἑπτά· καὶ πρῶτον μὲν τὸ ἐκ τῶν φαινομένων καὶ μετεώρων· θεοῦ γὰρ ἔννοιαν ἔσχον ἀπὸ τῶν φαινομένων ἀστέρων ὁρῶντες τούτους μεγάλης συμφωνίας ὄντας αἰτίους, καὶ τεταγμένως ἡμέραν τε καὶ νύκτα χειμῶνά τε καὶ θέρος ἀνατολάς τε καὶ

STOBAEI ECL.

9

10

1 ὁ ἥλιος C cf. G || 2 ἡ σελήνη Duebner cf. G || 2 φορὰν G(A)BC: om. Cyrill. || 6 τῶν AC: om. B || τοὺς θεοὺς coni. Reiske || 8 ἡμῖν post 7 τριῶν C: transposui secundum AB || 11 διοικεῖσθαι deleri iussit Reiske. διοικεῖται olim scriptum et variam lectionem insequentis vocis esse suspicatus est Wyttenbach. immo vocis συνίσταται. lacunam ante διοικεῖσθαι signavit Duebner || 15 δὲ πᾶσα B: δὲ πᾶσα A: μὴν πᾶσα C: correxi || 21 τεταγμένως A: τεταγμένους B et Beck: τεταγμένας C || ἡμέρας τε καὶ νύκτας C || νύκτα καὶ χειμῶνα καὶ θέρος A || 22 ἀνατολάς τε καὶ δυσμὰς vulgo ante ἡμέραν collocant. sed fortasse glossema est, quo addito credo γιγνόμενα excidisse post θέρος

TESTIMONIA PLUTARCHI

ὧν ἄγαν ὁ Πλούταρχος ἐν τῷ πρώτῳ βιβλίῳ φυσικῶν δογμάτων συναγωγῆς· 'ἔλαβον δὲ ἐκ τούτου ἔννοιαν θεοῦ· ἀεί τε γὰρ ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων τὴν ὑπόγειον ἐνεχθέντα ὅμοια μὲν ἀνατέλλει τοῖς χρώμασιν, ἴσα δὲ τοῖς μεγέθεσι, καὶ κατὰ τόπους καὶ κατὰ χρόνους τοὺς αὐτούς'.

δυσμὰς καὶ τὰ ὑπὸ τῆς γῆς ζῳογονούμενα καὶ καρπογονούμενα. διὸ πατὴρ 11
μὲν ἔδοξεν αὐτοῖς οὐρανὸς ὑπάρχειν, μήτηρ δὲ γῆ· τούτων δὲ ὁ μὲν πατὴρ διὰ τὸ τὰς τῶν ὑδάτων ἐχχύσεις σπερμάτων ἔχειν τάξιν, ἡ δὲ [γῆ] μήτηρ διὰ τὸ δέχεσθαι ταῦτα καὶ τίκτειν· βλέποντες δὲ τοὺς ἀστέρας ἀεὶ θέοντας αἰτίους τε τοῦ θεωρεῖν ἡμᾶς ἥλιον καὶ σελήνην θεοὺς προσηγόρευσαν. εἰς δεύτερον δὲ καὶ τρίτον 12
τόπον τοὺς θεοὺς διεῖλον εἴς τε τὸ βλάπτον καὶ τὸ ὠφελοῦν· καὶ τοὺς μὲν ὠφελοῦντας Δία Ἥραν Ἑρμῆν Δήμητραν, τοὺς δὲ βλάπτοντας Ποινὰς Ἐρινύας Ἄρην, τούτους ἀφοσιούμενοι χαλεποὺς ὄντας καὶ βιαίους. τέταρτον 13
καὶ πέμπτον προστεθείκασι τοῖς πράγμασι καὶ τοῖς πάθεσι, παθῶν μὲν Ἔρωτα Ἀφροδίτην Πόθον, πραγμάτων δὲ Ἐλπίδα Δίκην Εὐνομίαν. ἕκτον δὲ τόπον προσέλαβον τὸ ὑπὸ τῶν 14
ποιητῶν πεπλασμένον· Ἡσίοδος γὰρ βουλόμενος τοῖς γενητοῖς θεοὺς πατέρας συστῆσαι εἰσήγαγε τοιούτους αὐτοῖς γεννήτορας

Κοῖόν τε Κρεῖόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε.

διὰ τοῦτο καὶ μυθικὸν κέκλη- 15
ται. ἕβδομον δὲ καὶ ἐπὶ πᾶσι τὸ διὰ τὰς εἰς τὸν κοινὸν βίον εὐερ-

1 τῆς om. B || 3 αὐτοῖς AB: αὐτοῖς ὁ C || 4 γῆ AB: τούτων ἡ γῆ C: ἡ γῆ vulgo || 4 ὁ μὲν πατὴρ B: ὁ ἀὴρ πατὴρ A: ὁ μὲν ἀὴρ πατὴρ C: vulgo ὁ μὲν οὐρανὸς πατὴρ || 6 σπέρματος Beck || γῆ inclusi || 9 ἀεὶ ante 8 τοὺς C: recte AB || 10 ἡμᾶς (A)C: ἡμῖν B || ἥλιον καὶ AB: ἥλιόν τε καὶ C || 13 εἰσί τε B || 14 προσηγόγευσαν desiderat Reiske || 17 τούτοις B || 19 πάθεσι καθάπερ ἔρωτα (AB)C: corr. Usener postquam παθῶν μὲν ante καθάπερ desideravit Reiske || 22 προσέλαβον B: προσέλαβε (A)C cf. v. 18 || 23 πεπλασμένον sc. εἶδος cf. § 10 || Ἡσίοδος Theog. 134 || 24 θεοῖς (A)BC: correxi || 26 αὐτὸς (A)BC: corr. Wyttenbach

γεσίας ἐκτετιμημένον, ἀνθρώπινον δὲ γεννηθέν, ὡς Ἡρακλέα ὡς Διοσκόρους ὡς Διόνυσον. ἀνθρωποειδεῖς δ' αὐτοὺς 16 ἔφασαν εἶναι, διότι τῶν μὲν ἁπάντων τὸ θεῖον κυριώτατον, τῶν δὲ ζῴων ἄνθρωπος κάλλιστον, κεκοσμημένον ἀρετῇ διαφόρως κατὰ τὴν τοῦ νοῦ σύστασιν· [τὸ κράτιστον.] τοῖς οὖν ἀριστεύουσι τὸ κράτιστον ὁμοίως † καὶ καλῶς ἔχειν διενοήθησαν.

ζ. Τίς ἐστιν ὁ θεός. G 35

Περὶ θεοῦ.

E XIV 16 1

Ἔνιοι τῶν φιλοσόφων καθάπερ 1 Διαγόρας ὁ Μήλιος καὶ Θεόδωρος ὁ Κυρηναῖος καὶ Εὐήμερος ὁ Τεγεάτης καθόλου φασὶ μὴ εἶναι θεούς. τὸν δὲ Εὐήμερον καὶ Καλλίμαχος

1 ἀνθρώπινον B: ἀνθρώπινα A; ἀνθρωπίνως C || 2 γεννηθέντα AB: γεννηθέντας C: verum sprevit Beck || ἡρακλῆν B || διοσκόρους AB: διοσκούρους C || 6 ἄνθρωπος vulgo: correxi || κεκοσμημένον BC: καὶ κοσμημένον pr. A: καὶ κεκοσμημένον vulgo || 8 an διαφόρῳ? || τοῦ om. A || τὸ κράτιστον aut dittographia est cf. v. 9 aut varia lectio antecedentis κάλλιστον || 9 καὶ καλῶς corruptum. fortasse κατὰ κάλλος '*principibus viris numen* [cf. τὸ κρεῖττον] *esse formia simile*' || 11 ἐστιν (A): ἐστιν om. BC || 13 de 7 1—10 dixi Prol. 58 sq. || 14 Μήλιος GC: Μιλήσιος E [Theodoret.] (A)B cf. Prol. p. 14 || 15 Κυρηναϊκὸς E item p. 298a 1

titulum plenum dedi in indice p. 270

TESTIMONIA PLUTARCHI

7 1 **Theodoret.** II 112 (III 4) ex Eusebio: καὶ φεύξεται μὲν Διαγόρου τοῦ Μιλησίου καὶ τοῦ Κυρηναϊκοῦ Θεοδώρου καὶ Εὐημέρου τοῦ Τεγεάτου τὸ ἄθεον. τούτους γὰρ ὁ Πλούταρχος ἔφησε μηδένα νενομικέναι θεόν. **Schol. ad Tzetz.** alleg. ap. Cram. A. O. III 380, 12 (Matrang. anecd. gr. p. 609) ἀλέαι αἱ ἐκκλησίαι καλοῦνται ἀπὸ τοῦ συναθροίζεσθαι ἐκεῖ ὡς καὶ Καλλίμαχός φησι· 'εἰς τὸ προτείχευς ἱερὸν ἀλέες δεῦτε οὔ τὸν πάλαι χάλκειον ὁ πλάσας Ζᾶνα γέρων ἀλαζὼν [schol. γ. ἀ. ὁ ἄθεος Εὐήμερος] ἄδικα βιβλία ψύχει.'

ὁ Κυρηναῖος αἰνίττεται ἐν τοῖς ἰάμβοις γράφων·

εἰς τὸ πρὸ τείχευς ἱερὸν ἀλέες δεῦτε,
οὗ τὸν πάλαι Παγχαῖον ὁ πλάσας Ζᾶνα
γέρων ἀλαζὼν ἄδικα βιβλία ψήχει.

ταῦτ' ἔστι τὰ περὶ τοῦ μὴ εἶναι θεούς. καὶ Εὐριπίδης δὲ ὁ τραγῳδοποιὸς 2 ἀποκαλύψασθαι μὲν οὐκ ἠθέλησε δεδοικὼς τὸν Ἄρειον πάγον, ἐνέφηνε δὲ τοῦτον τὸν τρόπον· τὸν γὰρ Σίσυφον εἰσήγαγε προστάτην ταύτης τῆς δόξης καὶ συνηγόρησεν αὐτοῦ ταύτῃ τῇ γνώμῃ·

ἦν, γάρ, χρόνος, φησίν, ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος
καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης.

ἔπειτα φησὶ τὴν ἀνομίαν λυθῆναι νόμων εἰσαγωγῇ. ἐπεὶ γὰρ ὁ νόμος τὰ φανερὰ τῶν ἀδικημάτων εἴργειν ἠδύνατο, κρύφα δὲ ἠδίκουν πολλοί, τότε τις σοφὸς ἀνὴρ ἐπέστησεν, ὡς δεῖ ψευδεῖ λόγῳ τυφλῶσαι τὴν ἀλήθειαν καὶ πεῖσαι τοὺς ἀνθρώπους,

ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ,
ὃς ταῦτ' ἀκούει καὶ βλέπει φρονεῖ τ' ἄγαν.

2 γράφων — θεούς v. 7 om. E || 3 fr. 86 || πρὸ om. B || ἱρὸν Meineke | 4 χάλκεον (A)BC cf. Tzetz.: corr. Bentley || 6 ψύχει (A)B: corr. Bentley, ψήχων rectius Sextus adv. math. IX 51: ψῦχε C, unde ψῆχε Duebner || 7 τὰ BC: om. A || Εὐριπίδης cf. ad p. 294ª 17 || 8 δὲ E[FG]AB: om. C | 11 τοῦτο om. τὸν τρόπον E[BFGI] || 13 συνηγόρησεν EAB: συνηγόρευσεν C || 13 ταύτῃ om. E || 15 ἦν γὰρ — ἀνθρώπου p. 299ª 17 om. E || 15—17 sunt versus *Critiae* fr. 1 v. 12 p. 598 N. || ἦν ἄτακτος B: ord. inv. (A)C || 16 βίου B | 17 ἰσχυρός B || 19 nisi ἐπεὶ δ' ἄρα placet, Critiae illud v. 9 ἔπειτ' ἐπειδὴ scribes || 20 ἠδύνατο B cf. p. 292ª 7: ἐδύνατο (A)C || 21 κρύφα τε (A)BC: corr. Nauck || 22 δεῖ ABC: δεῖ ἀεὶ vulgo || 23 versus Critiae 26 respicitur ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ || 25. 26 Critiae vv. 17. 18 || 26 Sextus discrepat l. c. § 54

ἀναιρείσθω γάρ, φησίν, ὁ ποιητικὸς 3
λῆρος σὺν Καλλιμάχῳ τῷ λέγοντι·
εἰ θεὸν οἶσθα,
ἴσθι ὅτι καὶ ῥέξαι δαίμονι πᾶν δυ-
νατόν.
οὐδὲ γὰρ ὁ θεὸς δύναται πᾶν ποιεῖν·
ἐπεί τοί γε εἰ θεός ἐστι, ποιείτω τὴν
χιόνα μέλαιναν τὸ δὲ πῦρ ψυχρὸν τὸ
δὲ καθήμενον ὀρθὸν καὶ τὸ ἐναντίον.
καὶ γὰρ Πλάτων ὁ μεγαλόφωνος 4
εἰπών 'ὁ θεὸς ἔπλασε τὸν κόσμον
πρὸς ἑαυτοῦ ὑπόδειγμα' ὄζει λήρου
βεκκεσελήνου κατά γε τοὺς τῆς ἀρ-
χαίας κωμῳδίας ποιητάς. πῶς γὰρ
αὐτῷ ἀτενίζων ἔπλασεν; ἢ πῶς σφαι-
ροειδῆ τὸν θεόν, ὄντα ταπεινότερον
ἀνθρώπου;

E XIV 16 2

ὁ δὲ Ἀναξαγόρας φησίν, ὡς εἱστή- 5
κει κατ' ἀρχὰς τὰ σώματα, νοῦς δὲ
αὐτὰ διεκόσμησε θεοῦ καὶ τὰς γενέσεις
τῶν ὅλων ἐποίησεν. ὁ δὲ Πλάτων οὐχ 6
ἑστηκότα ὑπέθετο τὰ πρῶτα σώματα,
ἀτάκτως δὲ κινούμενα· διὸ καὶ ὁ θεός, φη-

---

1 ἀναιρείσθω ABC: ἀνῃρήσθω ante Duebnerum edebatur || φησίν cf. Prol. p. 59 || 2 σὺν ἐν (A)C: ἀν B || Καλλιμάχῳ fr. 137 Schn. || 4 δαίμονι ῥέξαι legebant ante Beckium: recte ABC || 6 πᾶν BC: περὶ A || 8 τὸ post ψυχρὸν (A)C: τὸν B || 10 ὁ μεγαλόφωνος cf. Prol. p. 17. 262 || 12 ἑαυτὸν ABC || 13 κατά τε B || 14 ποιητάς Aristoph. Nub. 398 || γὰρ om. B || 15 ἀτενίζων cum dativo soloecum cf. Lucas act. apost. 3, 12. ev. 4, 20. 22, 56. v. Prol. p. 59 || πῶς post ἢ om. B || 16 ὄντα susp. Wyttenbach, qui νοεῖ vel οἷόν τ' εἶναι tentat, lacunam post ὄντα indicavit Duebner, quam Beck explet φησίν coniciendo, Corsinus εἶπε. immo audiendum ἔπλασεν: *aut quomodo globosum deum finxit qualis homine inferior esset* || 20 τὰ χρήματα Schaubach, sed loquitur Epicureus philosophus || 20 δὲ E: om. ABC || 24 καὶ ὁ θεός C: ὁ θεός E[BCFG]: καὶ θεός (A)B || φησίν Tim. p. 30 A εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς

σίν, ἐπιστήσας, ὡς τάξις ἀταξίας ἐστὶ βελτίων, διεκόσμησεν αὐτά.

E XIV 16 3

κοινῶς οὖν ἁμαρτάνουσιν ἀμφότεροι, ὅτι τὸν θεὸν ἐποίησαν ἐπιστρεφόμενον τῶν ἀνθρωπίνων καὶ τούτου χάριν τὸν κόσμον κατασκευάζοντα· τὸ γὰρ μακάριον καὶ ἄφθαρτον ζῷον, πεπληρωμένον τε πᾶσι τοῖς ἀγαθοῖς καὶ κακοῦ παντὸς ἄδεκτον, ὅλον ὂν περὶ τὴν συνοχὴν τῆς ἰδίας εὐδαιμονίας τε καὶ ἀφθαρσίας, ἀνεπιστρεφές ἐστι τῶν ἀνθρωπίνων πραγμάτων· κακοδαίμων δ' ἂν εἴη ἐργάτου δίκην καὶ τέκτονος ἀχθοφορῶν καὶ μεριμνῶν εἰς τὴν τοῦ κόσμου κατασκευήν. 7

E XIV 16 4

καὶ πάλιν ὁ θεός, ὃν λέγουσιν, ἤτοι τὸν ἔμπροσθεν αἰῶνα οὐκ ἦν ὅτε ἦν ἀκίνητα τὰ σώματα ἢ ἀτάκτως ἐκινεῖτο ἢ ἐκοιμᾶτο ἢ ἐγρηγόρει ἢ οὐδέτερον τούτων. καὶ οὔτε τὸ πρῶτον ἔστι δέξασθαι, ὁ γὰρ θεὸς αἰώνιος, οὔτε τὸ δεύτερον· εἰ γὰρ ἐκοιμᾶτο ἐξ αἰῶνος ὁ θεός, ἐτεθνήκει, αἰώνιος γὰρ ὕπνος θανάτός ἐστιν· ἀλλά γε ἄδεκτος ὕπνου ὁ θεός, τὸ γὰρ ἀθάνατον τοῦ θεοῦ καὶ τὸ ἐγγὺς θανάτου πολὺ κεχώρισται. 8

E XIV 16 5

εἰ δὲ ἦν ὁ θεὸς ἐγρηγορώς, ἤτοι ἐνέ- 9

ἀταξίας ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον || 2 αὐτά E: ταῦτα (A)BC || 4 κοινῶς οὖν om. E addito δὲ post ἁμαρτάνουσιν || 6 καὶ E: ἢ καὶ (A)BC || 9 πεπληρωμένον E cf. p. 301ª 1: συμπεπληρωμένον (A)BC || 9 τε om. E[BCI] || 11 τὴν συνοχὴν EBC: τὸ συνεχὲς A || 12 τε EAB: om. C || 18 ὃ λέγουσιν B || 20 ἢ ὅτε ἀτάκτως E cf. Prol. p. 8 || 22 καὶ οὔτε (A)C: καὶ οὔποτε B: οὐδὲ E || 23 πῶς [πᾶς D] γὰρ θεὸς E || 26 θάνατός E: ὁ θάνατός (A)BC || ἀλλά γε ἄδεκτος E cf. v. 10: ἀλλ' οὔτε δεκτικὸς (A)BC || 27 ὁ θεός E: ὁ om. (A)BC || ἀθάνατον καὶ τοῦ θεοῦ ἐγγὺς ὕπνου E || 30 ἐνέλειπεν (A)E[DF]C: ἐνέλιπεν BE [vulg.]

λειπεν εἰς εὐδαιμονίαν ἢ πεπλήρωτο μακαριότητι· καὶ οὔτε κατὰ τὸ πρῶτον μακάριός ἐστιν ὁ θεός, τὸ γὰρ ἐλλεῖπον εἰς εὐδαιμονίαν οὐ μακάριον, οὔτε κατὰ τὸ δεύτερον· μηδὲν γὰρ ἐλλείπων κεναῖς ἔμελλεν ἐπιχειρεῖν πράξεσι. πῶς δὲ εἴπερ ὁ θεὸς ἔστι καὶ τῇ τούτου φροντίδι τὰ κατ' ἄνθρωπον οἰκονομεῖται, τὸ μὲν κίβδηλον εὐτυχεῖ, τὸ δὲ ἀστεῖον τἀναντία πάσχει; Ἀγαμέμνων τε γὰρ

ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητὴς

ὑπὸ μοιχοῦ καὶ μοιχαλίδος ἡττηθεὶς ἐδολοφονήθη, καὶ ὁ τούτου δὲ συγγενὴς Ἡρακλῆς πολλὰ τῶν ἐπιλυμαινομένων τὸν ἀνθρώπινον βίον καθάρας ὑπὸ Δηιανείρας φαρμακευθεὶς ἐδολοφονήθη.

E XIV 16 6

Θαλῆς νοῦν τοῦ κόσμου τὸν θεόν. 11 Θαλῆς νοῦν τοῦ κόσμου τὸν θεόν, τὸ δὲ πᾶν ἔμψυχον ἅμα καὶ δαιμόνων πλῆρες· διήκειν δὲ καὶ διὰ τοῦ

1 πεπλήρωτο ἐν μακαριότητι E: πεπληρώκει μακαριότητα (μακραριό superscr. ττ B) (A)BC: ἐπεπλήρωτο εἰς μακαριότητα Reiske, sed cf. p. 300a 9. in Eusebii ἐν non latet ἄν cf. § 8 || 3 ἐστι μακάριος E || τὸ — μακάριον om. B || 5 γὰρ E: δὲ (A)BC || 7 ἐστι (A)BC: om. E[DFGI] || 8 τὰ om. A || τὰ πάντα οἰκονομεῖται τὰ κατ' ἄνθρωπον E[CFG] || 10 τὸ ἐναντίον E || 11 τε γὰρ E(A)C: γὰρ om. B || 12 Γ 179 || 14 μοιχαλίδος E vulgo: μοιχάδος ABC cf. Prol. p. 59 || 15 καὶ — ἐδολοφονήθη om. B || 18 ἐδολοφονήθη iteratum susp. Beck || 21 Θαλῆς τὸν κόσμον εἶναι τὸν θεόν E[BDEF]: Θ. τοῦ κόσμου εἶναι θεόν E[c] || τὸν θεὸν E[BDEF]G Cyrill: τὸν om. E[c](A)BC

TESTIMONIA PLUTARCHI

7 11 **Athenagor.** suppl. c. 23 Θαλῆς διαιρεῖ ὡς οἱ τὰ ἐκείνου ἀκριβοῦντες μνημονεύουσιν εἰς θεόν, εἰς δαίμονας, εἰς ἥρωας [cf. ad I 8 2], ἀλλὰ θεὸν μὲν τὸν νοῦν τοῦ κόσμου ἄγει. **Cyrill.** c. Iul. II p. 28c Θαλῆς μὲν οὖν ὁ Μιλήσιος νοῦν τοῦ κόσμου φησὶν εἶναι τὸν θεόν.

στοιχειώδους ὑγροῦ δύναμιν θείαν κινητικὴν αὐτοῦ.

Ἀναξίμανδρος τοὺς ἀπείρους οὐρανοὺς θεούς.

12 Ἀναξίμανδρος ἀπεφήνατο τοὺς ἀπείρους οὐρανοὺς θεούς.

13 Ἀναξιμένης τὸν ἀέρα. δεῖ δ' ὑπακούειν ἐπὶ τῶν οὕτως λεγομένων τὰς ἐνδιηκούσας τοῖς στοιχείοις ἢ τοῖς σώμασι δυνάμεις.

14 Ἀρχέλαος ἀέρα καὶ νοῦν τὸν θεόν, οὐ μέντοι κοσμοποιὸν τὸν νοῦν.

15 Ἀναξαγόρας νοῦν κοσμοποιὸν τὸν θεόν.

Δημόκριτος νοῦν τὸν θεὸν ἐν πυρὶ σφαιροειδεῖ

τὴν τοῦ κόσμου ψυχήν.

16 Δημόκριτος νοῦν τὸν θεὸν ἐν πυρὶ σφαιροειδεῖ.

17 Διογένης καὶ Κλεάνθης καὶ Οἰνοπίδης τὴν τοῦ κόσμου ψυχήν.

Πυθαγόρας τῶν ἀρχῶν τὴν μονάδα θεὸν καὶ ἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς· τὴν δ' ἀόριστον δυάδα δαίμονα καὶ τὸ κακόν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος.

18 Πυθαγόρας τῶν ἀρχῶν τὴν [μὲν] μονάδα θεὸν καὶ ἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς, καὶ τὴν ἀόριστον δυάδα καὶ τὸ κακόν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος.

19 Ποσειδώνιος πνεῦμα νοερὸν καὶ πυρώδες, οὐκ ἔχον μὲν μορφὴν μετα-

---

1 ἀπείρους νοῦς G: ἀπείρους κόσμους Cyrill.: ἀστέρας οὐρανίους (E)(A)BC cf. Prol. p. 11 || 3 νοῦν τὸν om. E || ἐν πυρὶ σφαιροειδεῖ (σφαιροειδῆ E) EG Cyrill: ἐμπυροειδῆ (A)BC || 5 male continuavit Plutarchus Democrito cf. Prol. p. 63 || τοῦ om. E[CFGI] || 6 τὴν EGA: τὴν μὲν BC || 8 ὁ om. C || 9 δυάδα καὶ E || 10 post πλῆθος addunt ἔστι δὲ καὶ ὁρατὸς ὁ κόσμος (A)BC: om. E. novit interpolationem iam G qui contraxit περὶ ἣν ἐστιν ὁ ὁρατὸς κόσμος. cf. I 11 3

5 δεῖ sic A: χρὴ rec. man. superscr. in F

7 ἐνδιηκούσας C: ἐνδιοικούσας F cf. §§ 11. 30. 33 Meineke adn. crit. ad ecl. I p. XVII

17 μὲν A: inclusi cf. v. 19 καὶ

18 τοῦ νοὸς A quod frustra tutabatur Heeren: corr. Meineke

20 δαίμονα post δυάδα addidit Heeren

TESTIMONIA PLUTARCHI

7 12 **Cyrill.** l. c. post §§ 16. 17 Ἀναξίμανδρος δὲ οἶμον ὥσπερ ἑτέραν ὁλοτρόπως ἰὼν θεὸν διορίζεται εἶναι τοὺς ἀπείρους κόσμους οὐκ οἶδ' ὅτι λέγων.

16. 17 **Idem** post § 11 Δημόκριτος δὲ ὁ Ἀβδηρίτης συμφέρεται μὲν κατά τι, προσεπάγει δέ τι καὶ ἕτερον· νοῦν μὲν γὰρ εἶναι τὸν θεὸν ἰσχυρίζεται καὶ αὐτός, πλὴν ἐν πυρὶ σφαιροειδεῖ, καὶ αὐτὸν εἶναι τὴν τοῦ κόσμου ψυχήν.

βάλλον δὲ εἰς ὃ βούλεται καὶ συνεξομοιούμενον πᾶσιν.

20 Σπεύσιππος τὸν νοῦν οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ τὸν αὐτόν, ἰδιοφυῆ δέ.

21 Κριτόλαος καὶ Διόδωρος ὁ Τύριος νοῦν ἀπ' αἰθέρος ἀπαθοῦς.

22 Ἡράκλειτος τὸ περιοδικὸν πῦρ ἀίδιον, εἱμαρμένην δὲ λόγον ἐκ τῆς ἐναντιοδρομίας δημιουργὸν τῶν ὄντων.

23 Ζήνων ὁ Στωικὸς νοῦν κόσμου πύρινον.

24 Μνήσαρχος τὸν κόσμον τὴν πρώτην οὐσίαν ἔχοντα ἀπὸ πνεύματος.

25 Βόηθος τὸν αἰθέρα θεὸν ἀπεφήνατο.

26 Παρμενίδης τὸ ἀκίνητον καὶ πεπερασμένον σφαιροειδές.

27 Μέλισσος καὶ Ζήνων τὸ ἓν καὶ πᾶν, καὶ μόνον ἀίδιον καὶ ἄπειρον

28 τὸ ἕν. καὶ τὸ μὲν ἓν τὴν ἀνάγκην, ὕλην δὲ αὐτῆς τὰ τέσσαρα στοιχεῖα, εἶδη δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν. λέγει δὲ καὶ τὰ στοιχεῖα θεοὺς καὶ τὸ μῖγμα τούτων τὸν κόσμον. καὶ † προστ ἀναλυθήσεται τὸ μονοειδές· καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς.

29 Πολέμων τὸν κόσμον θεὸν ἀπεφήνατο.

---

11 κόσμον A: corr. Krische || 14 ἐπὶ A: corr. Meineke cl. § 21 || 21 Empedoclis nomen intercidisse recte putavit Heeren quod pro ὕλην δὲ αὐτῆς restituere volebat. lemma in ἓν καὶ v. 21 latere credebat Krische || 23 φιλονεικίαν F: recte C || 26 προσταναλυθήσεται F: προστανλυθήσεται C: πρὸς ταῦτα ἀναλυθήσεται Vaticanus vulgo, unde Heeren τὸ πολυειδές, Meineke τὸ ὁμοειδές tentabant. aliter Sturz ὃς καὶ ἀναλυθήσεται εἰς τὸ μονοειδές et Usener καὶ πρότερον, ⟨ἐς ὃ καὶ⟩ ἀναλυθήσεται, τὸ μονοειδές. plus intercidisse videtur, quod expleas ex Ar. d. gen. et int. I 1 p. 315ª 3 cf. Philopon. f. 5ª 30 sqq.

30 Ξενοκράτης Ἀγαθήνορος Καλχηδόνιος τὴν μονάδα καὶ τὴν δυάδα θεούς, τὴν μὲν ὡς ἄρρενα πατρὸς ἔχουσαν τάξιν ἐν οὐρανῷ βασιλεύουσαν, ἥντινα προσαγορεύει καὶ Ζῆνα καὶ περιττὸν καὶ νοῦν, ὅστις ἐστὶν αὐτῷ πρῶτος θεός· τὴν δ' ὡς θήλειαν, μητρὸς θεῶν δίκην, τῆς ὑπὸ τὸν οὐρανὸν λήξεως ἡγουμένην, ἥτις ἐστὶν αὐτῷ ψυχὴ τοῦ παντός. θεὸν δ' εἶναι καὶ τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας πυρώδεις ὀλυμπίους θεούς, καὶ ἑτέρους ὑποσελήνους δαίμονας ἀοράτους. ἀρέσκει δὲ καὶ αὐτῷ ..... καὶ ἐνδιήκειν τοῖς ὑλικοῖς στοιχείοις. τούτων δὲ τὴν μὲν ..... ἀειδῆ προσαγορεύει, τὴν δὲ διὰ τοῦ ὑγροῦ Ποσειδῶνα, τὴν δὲ διὰ τῆς γῆς φυτοσπόρον Δήμητρα. ταῦτα δὲ χορηγήσας τοῖς Στωικοῖς τὰ πρότερα παρὰ τοῦ Πλάτωνος μεταπέφραχεν.

E XIV 16 7

Πλάτων τὸ ἕν, τὸ μονοφυές, τὸ μοναδικόν, τὸ ὄντως ὄν, τἀγαθόν· πάντα δὲ ταῦτα τῶν ὀνομάτων εἰς τὸν νοῦν σπεύδει· νοῦς οὖν ὁ θεός, χωριστὸν εἶδος, τουτέστι τὸ ἀμιγὲς πάσης ὕλης καὶ μηδενὶ παθητῷ συμπεπλεγμένον.

31 Πλάτων δὲ τὸ ἕν, τὸ μονοφυές, τὸ μοναδικόν, τὸ ὄντως ὄν, τἀγαθόν. πάντα δὲ τὰ τοιαῦτα τῶν ὀνομάτων εἰς τὸν νοῦν σπεύδει. νοῦς οὖν ὁ θεός, χωριστὸν εἶδος· τὸ δὲ χωριστὸν ἀκουέσθω τὸ ἀμιγὲς πάσης ὕλης καὶ μηδενὶ τῶν σωματικῶν συμπεπλεγμένον, μηδὲ τῷ παθητῷ τῆς φύσεως συμπαθές. τούτου δὲ πατρὸς καὶ ποιητοῦ τὰ ἄλλα θεῖα ἔκ-

---

2 Σωκράτης καὶ Πλάτων E(A)BC: Πλάτων omissa interpolatione G cf. c. 3 21 10 3 Prol. p. 18 || ante ἕν om. τὸ E || τὸ αὐτοφυές καὶ μονοφυές A: τὸ μονοφυὲς καὶ αὐτοφυές BC: om. καὶ αὐτοφυές E || 3 ὄν E: om. (A)BC || ἀγαθὸν (E)(A)BC: correxi cf. § 18 || 5 σπεύδειν E || 7 καὶ EG: om. ABC

2 Θαλῆς Πυθαγόρας Ἐμπεδοκλῆς Ἔκφαντος Παρμενίδης Μέλισσος Ἡράκλειτος Ἀναξαγόρας Πλάτων Ἀριστοτέλης Ζήνων ἕνα τὸν κόσμον.

3 Ἀναξίμανδρος Ἀναξιμένης Ἀρχέλαος Ξενοφάνης Διογένης Λεύκιππος Δημόκριτος Ἐπίκουρος ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κατὰ πᾶσαν περιαγωγήν.

1 titulus plenior proxima capita comprehendit

2 § 1 adnexa est II 4 1

TESTIMONIA PLUTARCHI

II 1 1 Achill. p. 129 D τὸ δὲ πᾶν κόσμον Πυθαγόρας ἐκάλεσεν ἐκ τῆς διακοσμήσεως. οὐδεὶς δὲ πρὸ αὐτοῦ. **Cyrill.** c. Iul. II p. 46 B Πλούταρχος τοίνυν ἀνὴρ τῶν παρ' αὐτοῖς οὐκ ἄσημος γεγονὼς ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς τῶν φυσικῶν δογμάτων συναγωγῆς οὕτω φησὶ περὶ τοῦ κόσμου· Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν κόσμον ἐκ τῆς ἐν αὐτῷ τάξεως.

2 **Idem** l. c. Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ ἕνα τὸν κόσμον.

3 **Achill.** p. 130 B Ἐπίκουρος δὲ πολ-

ALIORUM EX AETIO EXCERPTA

II 1 2 Theodoret. IV 15 οὐ μόνον δὲ ἐν τούτοις διαφωνία γε πλείστη ἀλλὰ κἀν τοῖς ἄλλοις ἐχρήσαντο. καὶ γὰρ δὴ τὸν κόσμον Θαλῆς μὲν καὶ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Παρμενίδης καὶ Μέλισσος καὶ Ἡράκλειτος καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Ζήνων ἕνα εἶναι ξυνωμολόγησαν.

3 **Idem** l. c. Ἀναξίμανδρος δὲ καὶ Ἀναξιμένης καὶ Ἀρχέλαος καὶ Ξενοφάνης καὶ Διογένης καὶ Λεύκιππος καὶ Δημόκριτος καὶ Ἐπίκουρος πολλοὺς εἶναι καὶ ἀπείρους ἐδόξασαν.

PLUTARCHI EPIT. II 1

Ἐμπεδοκλῆς τὸν τοῦ ἡλίου περίδρομον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου. 4

Σέλευκος ἄπειρον τὸν κόσμον. 5

Διογένης τὸ μὲν πᾶν ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι. 6

Οἱ Στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον· πᾶν μὲν γὰρ εἶναι τὸ σὺν τῷ κενῷ τῷ ἀπείρῳ, ὅλον δὲ χωρὶς τοῦ κενοῦ τὸν κόσμον· [ὥστε οὐ τὸ αὐτὸ εἶναι τὸ ὅλον καὶ τὸν κόσμον.] 7

STOBAEI ECL. I 21 3

Ἐμπεδοκλῆς τὸν τοῦ ἡλίου περίδρομον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου.

Σέλευκος ὁ Ἐρυθραῖος καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἄπειρον τὸν κόσμον. 5

Διογένης καὶ Μέλισσος τὸ μὲν πᾶν ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι.

Οἱ Στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον· πᾶν μὲν γὰρ εἶναι σὺν τῷ κενῷ τῷ ἀπείρῳ, ὅλον δὲ χωρὶς τοῦ κενοῦ τὸν κόσμον. 10

---

1 τὸν—περίδρομον Cyrill. AB cf. G Prol. p. 11: τὴν περιδρομὴν C || 2 τοῦ πέρατος τοῦ κόσμου Cyrill. cf. G: τοῦ κόσμου καὶ τοῦ πέρατος αὐτοῦ AB: τοῦ κόσμου καὶ τοῦτο πέρας αὐτοῦ C || 4 δὲ ἄπειρον B || 9 τῷ κενῷ τῷ ἀπείρῳ Cyrill. cf. G: κενῷ ἄπειρον (A)BC || 10 τὸν κόσμον Cyrill. ABC: τὸν om. vulgo || ὥστε—κόσμον om. B: Plutarcho haec debentur cf. Prol. p. 65 || οὐ delent probabiliter in marg. corr. Vossiani Corsinus Reiske || 11 τὸ ὅλον Cyrill. (A)C: τὸ πᾶν multi coniecerunt cf. Achill.

8 πεπεράνθαι F: vulgo πεπερασμένον ex Vatic.

TESTIMONIA PLUTARCHI

λοὺς κόσμους ὑποτίθεται καὶ ὁ διδάσκαλος αὐτοῦ Μητρόδωρος. **Cyrill.** l. c. Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὁ τούτου μαθητὴς Μητρόδωρος ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ καὶ κατὰ πᾶσαν περίστασιν.

1 4 Idem l. c. Ἐμπεδοκλῆς τὸν τοῦ ἡλίου περίδρομον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου.

5 Idem l. c. Σέλευκος ἄπειρον τὸν κόσμον.

6 Idem l. c. Διογένης τὸ μὲν πᾶν ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι.

7 Achill. l. c. post. § 1 τὸ δὲ πᾶν τοῦ ὅλου παρὰ τοῖς Στωικοῖς διαφέρει. ὅλον μὲν γὰρ λέγουσι τὸν κόσμον πᾶν δὲ μετὰ τοῦ κενοῦ. τηρητέον δὲ ὅτι οὐδαμοῦ δι' ὅλου κόσμος οὕτως [sc. πᾶν] ὠνόμασται. **Cyrill.** l. c. οἱ Στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον. ἅπαν μὲν γὰρ εἶναι τὸ σὺν τῷ κενῷ τῷ ἀπείρῳ [sic cod. Aub.], ὅλον δὲ χωρὶς τοῦ κενοῦ τὸν

PLUTARCHI EPIT. II 2. 3

STOBAEI ECL. I 22 3 15 6 21 3

8 Τῶν ἀπείρους ἀποφηναμένων τοὺς κόσμους Ἀναξίμανδρος τὸ ἴσον αὐτοὺς ἀπέχειν ἀλλήλων, Ἐπίκουρος ἄνισον εἶναι τὸ μεταξὺ τῶν κόσμων διάστημα. 5

β. Περὶ σχήματος κόσμου. G 45

Οἱ μὲν Στωικοὶ σφαιροειδῆ τὸν κόσμον, ἄλλοι δὲ χωνοειδῆ, οἱ δὲ ᾠοειδῆ. 1

Οἱ Στωικοὶ σφαιροειδῆ τὸν κόσμον ἀπεφήναντο.

2 Λεύκιππος καὶ Δημόκριτος σφαιροειδῆ τὸν κόσμον.

Ἐπίκουρος δὲ ἐνδέχεσθαι μὲν εἶναι σφαιροειδεῖς τοὺς κόσμους, ἐνδέχεσθαι δὲ καὶ ἑτέροις σχήμασι κεχρῆσθαι. 3

4

γ. Εἰ ἔμψυχος ὁ κόσμος καὶ προνοίᾳ διοικούμενος. G 46

Εἰ ἔμψυχος καὶ προνοίᾳ διοικούμενος.

E XV 34 1—3

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχον τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. 1

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχον τὸν κόσμον ⟨καὶ⟩ προνοίᾳ διοικούμενον.

---

4 ὠοειδῆ A || 9 c. 3 respicit Psell. d. ommif. doctr. c. 20 || καὶ—διοικούμενος om. C || 12 οἱ μὲν — διοικούμενον om. E

1 τῶν δ' Heeren: δ' om. A. praecedit 1 3
4 εἶναι C: om. F
6 continetur c. 2 in c. 15 περὶ σχημάτων
8 de § 2 cf. Prol. p. 143
12 ὑδὲν ἄλλοι F: ἄλλοι C || καὶ additum ex Plut. om. A

TESTIMONIA PLUTARCHI

κόσμον ὥστ' οὐ τὸ αὐτὸ εἶναι τὸ ὅλον καὶ τὸν κόσμον.

2 1 **Achill.** p. 130c σχῆμα δὲ κόσμου οἱ μὲν κωνοειδὲς εἶπον, οἱ δὲ σφαιροειδές, οἱ δὲ ᾠοειδές. ἧς δόξης ἔχονται οἱ τὰ Ὀρφικὰ μυστήρια τελοῦντες cf. p. 127B et Prol. 31. **Cyrill.** l. c. καὶ περὶ τοῦ σχήματος τοῦ κόσμου ὧδε πάλιν φησίν· οἱ μὲν Στωικοὶ σφαιροειδῆ τὸν κόσμον, ἄλλοι δὲ κωνοειδῆ, οἱ δὲ ᾠοειδῆ.

2 **Idem** l. c. Ἐπίκουρος δὲ ἐνδέχεσθαι μὲν εἶναι σφαιροειδεῖς τοὺς κόσμους, ἐνδέχεσθαι δὲ καὶ ἑτέροις σχηματισμοῖς κεχρῆσθαι.

3 1 **Idem** l. c. ἔφη δὲ πάλιν τὰς τῶν παρ' Ἕλλησι φιλοσόφων δόξας εἰς ἐξήγησιν προτιθείς, εἰ ἔμψυχος ὁ κόσμος ἢ μή, οὕτως· οἱ μὲν ἄλλοι πάντες ἔμψυχον τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον εἶπον.

ALIORUM EX AETIO EXCERPTA

2 1—3 **Theodoret.** IV 16 καὶ οἱ μὲν σφαιροειδῆ τοῦτον εἶναι, οἱ δὲ ἑτεροειδῆ.

4 **Idem** l. c. καὶ οἱ μὲν μυλοειδῶς [Anaximenes cf. Hippol. Philos. 7 6 Schol. in Aphthon. 13 II 60 Walz.], οἱ δὲ τροχοῦ δίκην περιδινεῖσθαι [Anaximander] cf. Prol. p. 46.

3 1 **Idem** l. c. καὶ οἱ μὲν ἔμψυχόν τε καὶ ἔμπνουν.

PLUTARCHI EPIT. II 3. 4

Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰσηγοῦνται καὶ τὸ κενόν, οὔτ' ἔμψυχον οὔτε προνοίᾳ διοικεῖσθαι, φύσει δέ τινι ἀλόγῳ.

Ἀριστοτέλης οὔτ' ἔμψυχον ὅλον δι' ὅλου οὔτε λογικὸν οὔτε νοερὸν οὔτε προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια τούτων πάντων κοινωνεῖν, σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς, τὰ δὲ περίγεια μηδενὸς αὐτῶν, τῆς δ' εὐταξίας κατὰ συμβεβηκὸς οὐ προηγουμένως μετέχειν.

δ. Εἰ ἄφθαρτος ὁ κόσμος. G 47

E XV 35 1—4

Πυθαγόρας καὶ Πλάτων καὶ οἱ Στωικοὶ γενητὸν ὑπὸ θεοῦ τὸν κόσμον. καὶ φθαρτὸν μὲν ὅσον ἐπὶ τῇ

STOBAEI ECL. I 21 3. 6. 1 20 1

Λεύκιππος δὲ καὶ Δημόκριτος καὶ Ἐπίκουρος οὐδέτερα τούτων, φύσει δὲ ἀλόγῳ ἐκ τῶν ἀτόμων συνεστῶτα.

Ἔκφαντος ἐκ μὲν τῶν ἀτόμων συνεστάναι τὸν κόσμον, διοικεῖσθαι δὲ ὑπὸ προνοίας.

Ἀριστοτέλης οὔτε ἔμψυχον ὅλον δι' ὅλου οὔτε λογικὸν οὔτε νοερὸν οὔτε προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια πάντων τούτων κοινωνεῖν, σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς, τὰ δὲ περίγεια μηδενὸς αὐτῶν, τῆς δ' εὐταξίας κατὰ συμβεβηκὸς οὐ προηγουμένως μετέχειν.

Πυθαγόρας φησὶ γενητὸν κατ' ἐπίνοιαν τὸν κόσμον, οὐ κατὰ χρόνον.

Πλάτων φθαρτὸν μὲν τὸν κόσμον

1 δὲ om. E || 6 ὅλου G: ὅλων Cyrill. EABC || post ὅλων addunt οὔτε μὴν αἰσθητικόν GABC cf. G, quae om. E Cyrill. cf. Prol. p. 16 || 8 πάντων EG Cyrill.: ἁπάντων ABC || 17 κοινωνεῖ E || 15 Πυθαγόρας καὶ Πλάτων καὶ οἱ Στωικοὶ καὶ E: Πυθαγόρας καὶ Πλάτων et οἱ Στωικοὶ post Ἐπίκουρος § 10 G: Πυθαγόρας καὶ οἱ Στωικοὶ καὶ Cyrill.: Πυθαγόρας καὶ οἱ στωικοὶ ABC: vulgo Πυθαγόρας καὶ Πλάτων. videtur in margine fuisse καὶ Πλάτων καὶ οἱ Στωικοί cf. Prol. p. 11. 64

7 ἀπὸ A: corr. cod. August

13 ζωτικά F: ζωτικοὺς C: corr. codd. Vatic. et Aug.

17 sequitur II 1 1 ὃς καὶ — τάξεως, tum 6 2 ἄρξασθαι — στοιχείου, tum 6 5 πέντε — σφαῖραν

TESTIMONIA PLUTARCHI

3 2 **Cyrill.** l. c. Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰσηγοῦνται καὶ τὸ κενὸν οὔτε ἔμψυχον οὔτε προνοίᾳ διοικεῖσθαι, φύσει δέ τινι ἀλόγῳ.

4 **Idem** l. c. Ἀριστοτέλης οὔτ' ἔμψυχον ὅλον δι' ὅλων οὔτε λογικὸν οὔτε νοερὸν οὔτε προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια τούτων ἁπάντων κοινωνεῖν, σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς, τὰ δὲ περίγεια μηδενὸς αὐτῶν, τῆς δὲ εὐταξίας κατὰ συμβεβηκὸς οὐ προηγουμένως μετέχειν.

4 1 **Idem** l. c. [post 3 4] καὶ ταυτὶ μὲν

ALIORUM EX AETIO EXCERPTA

2 **Theodoret.** IV 16 οἱ δὲ παντάπασιν ἄψυχον.

4 1—12 **Idem** l. c. καὶ οἱ μὲν κατ' ἐπίνοιαν γενητόν, οὐ κατὰ χρόνον, οἱ δὲ ἀγένητον

PLUTARCHI EPIT. II 4

φύσει, αἰσθητὸν γὰρ εἶναι, διότι καὶ σωματικόν· οὐ μὴν φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ.

Ἐπίκουρος φθαρτόν, ὅτι καὶ γενητόν, ὡς ζῷον ὡς φυτόν.

STOBAEI ECL. I 20 1 21 6 20 1

ὅσον ἐπὶ τῇ φύσει, αἰσθητὸν γὰρ εἶναι, διότι καὶ σωματικόν· οὐ μὴν φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ.

3 Ἡράκλειτος οὐ κατὰ χρόνον εἶναι γενητὸν τὸν κόσμον, ἀλλὰ κατ' ἐπίνοιαν.

4 Ἐπίδικος ὑπὸ φύσεως γεγενῆσθαι τὸν κόσμον.

5 Ἀρχέλαος ὑπὸ θερμοῦ καὶ ἐμψυχρίας συστῆναι τὸν κόσμον.

6 Ἀναξίμανδρος Ἀναξιμένης Ἀναξαγόρας Ἀρχέλαος Διογένης Λεύκιππος φθαρτὸν τὸν κόσμον.

7 [Καὶ] οἱ Στωικοὶ φθαρτὸν τὸν κόσμον, κατ' ἐκπύρωσιν δέ.

8 Ἐμπεδοκλῆς τὸν κόσμον ⟨γίνεσθαι καὶ⟩ φθείρεσθαι κατὰ τὴν ἀντεπικράτειαν τοῦ νείκους καὶ τῆς φιλίας.

9 Δημόκριτος φθείρεσθαι τὸν κόσμον τοῦ μείζονος τὸν μικρότερον νικῶντος.

10 Ἐπίκουρος πλείστοις τρόποις τὸν κόσμον φθείρεσθαι, καὶ γὰρ ὡς ζῷον καὶ ὡς φυτὸν καὶ πολλαχῶς.

1 διότι καὶ σωματικός Cyrill.: διότι σωματικόν EA: διατοῦτο καὶ σωματικόν B: διὰ τὸ σωματικόν C || 4 ὅτι καὶ γενητόν (A)BC: ὅτι γεννητὸν E: ὅτι καὶ γεννητός Cyrill. || 5 ὡς ante φυτόν om. C

10 ὑπὸ θεοῦ A: corr. Heeren || ἐμψυχίας A: corr. Meineke || 11 post κόσμον errore iteratur in A ἰωνικὴν — μητροπόλεως ex I 3 7 || 18 γίνεσθαι καὶ addidit Sturz Emped. p. 224 || 21 τοὺς κόσμους coni. Meineke.

TESTIMONIA PLUTARCHI

περὶ τούτων· ἐπειδὴ δὲ σκοπὸς ἦν αὐτοῖς βασανίσαι πάλιν τὸ πότερόν ποτε φθαρτὸς ἂν εἴη κατὰ φύσιν ὁ κόσμος ἢ μὴ δεδοξάκασιν ὧδε καὶ περὶ τούτου· Πυθαγόρας καὶ οἱ Στωικοὶ καὶ γενητὸν ὑπὸ θεοῦ τὸν κόσμον καὶ φθαρτὸν μὲν ὅσον ἐπὶ τῇ φύσει. αἰσθητὸν γὰρ εἶναι διότι καὶ σωματικόν, οὐ μὲν δὴ φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ.

10 Ἐπίκουρος φθαρτὸν ὅτι καὶ γενητός, ὡς ζῷον ὡς φυτόν.

ALIORUM EX AETIO EXCERPTA

παντελῶς καὶ ἀναίτιον. καὶ οὗτοι μὲν φθαρτόν, ἐκεῖνοι δὲ ἄφθαρτον.

PLUTARCHI EPIT. II 4. 5

Ξενοφάνης ἀγένητον καὶ ἀίδιον καὶ ἄφθαρτον τὸν κόσμον.

Ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητόν, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται.

STOBAEI ECL. I 20 1 21 3. 6

11 Ξενοφάνης Παρμενίδης Μέλισσος ἀγένητον καὶ ἀίδιον καὶ ἄφθαρτον τὸν κόσμον.

12 Ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητικὸν ἀπεφαίνετο, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται.

13] [Καὶ] οἱ φάμενοι δὲ τὴν διακόσμησιν αἰώνιον ὑπάρχειν περιοδευτικοὺς εἶναί φασι χρόνους, καθ' οὓς κατὰ ταὐτὰ καὶ ὡσαύτως γίγνεσθαι πάντα καὶ τὴν αὐτὴν διασῴζεσθαι τοῦ κόσμου διάταξίν τε καὶ διακόσμησιν.

14 (οἱ Στωικοὶ) μήτε αὔξεσθαι [δὲ] μήτε μειοῦσθαι τὸν κόσμον τοῖς δὲ μέρεσιν ὁτὲ μὲν παρεκτείνεσθαι πρὸς πλέονα τόπον, ὁτὲ δὲ συστέλλεσθαι.

Ποῦ ἔχει τὸ ἡγεμονικὸν ὁ κόσμος.

15 (Φιλόλαος) τὸ [δὲ] ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί, ὅπερ τρόπεως δίκην προϋπεβάλετο τῇ τοῦ παντὸς ⟨σφαίρᾳ⟩ ὁ δημιουργὸς θεός.

16 Κλεάνθης ὁ Στωικὸς ἐν ἡλίῳ ἔφησεν εἶναι τὸ ἡγεμονικὸν τοῦ κόσμου.

17 Ἀρχέδημος τὸ ἡγεμονικὸν τοῦ κόσμου ἐν γῇ ὑπάρχειν ἀπεφήνατο.

ε. Πόθεν τρέφεται ὁ κόσμος. G 48 E XV 36 1—3

Πόθεν τρέφεται ὁ κόσμος.

Ἀριστοτέλης· εἰ τρέφεται ὁ κό-

1 (Ἀριστοτέλης) εἰ [δὲ] τρέφεται

1 de § 11 cf. Prol. p. 140

4 μέρος τοῦ κόσμου G Cyrill.: τοῦ κόσμου μέρος E(A)BC

5 κηραίνεται cf. Prol. p. 12, de universa doctrina p. 131²

1 lemma integrum exstat in A || 2 εἶναι ἀίδιον A: correxi || 8 καὶ delevit Heeren || 12 αὐτοῦ A: correxi || 14 § 14 additur post II 1 7. || 18 excerpsi ex generali titulo. intercidit caput in Plutarcho. quare paragraphos prioris capitis continuavi || 19 additur post c. 5 3 p. 333b 12 || ἡγεμονικόν cf. Prol. p. 223 || 21 προυπεβάλλετο τῆς A: correxi || 22 σφαίρᾳ addidi postquam σφαίρας supplevit Heeren || 26 Ἀρχέδημος A: Ἀρχίδαμος male Heeren cf. Zeller III 1, 42 ¹ 125 ² et Papyr. Ercol. ed. Compar. p. 76 || 29 εἰ — ἀίδιος additur post 3 4

TESTIMONIA PLUTARCHI

4 11 **Cyrill.** l. c. Ξενοφάνης ἀγένητον καὶ ἀίδιον καὶ ἄφθαρτον τὸν κόσμον.

12 **Idem** l. c. Ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητόν, ἐν ᾧ τὰ ἐπίγεια περαίνεται.

5 1 **Achill.** p. 128 B Ἀριστοτέλης δὲ

σμος, καὶ φθαρήσεται· ἀλλὰ μὴν οὐδεμιᾶς ἐπιδεῖται τροφῆς· διὰ τοῦτο καὶ ἀίδιος.

Πλάτων αὐτὸν αὑτῷ τὸν κόσμον 2
ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τὸ τρέφον παρέχεσθαι.

Φιλόλαος διττὴν εἶναι τὴν φθορά̀ν, τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δ' *ἐξ* ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος· καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.

ὁ κόσμος, καὶ φθαρήσεται· ἀλλὰ μὴν οὐδεμιᾶς δεῖται τροφῆς, διὰ τοῦτο καὶ ἀίδιος.

Φιλόλαος διττὴν εἶναι τὴν φθορὰν τοῦ κόσμου, τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δὲ *ἐξ* ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος. [Φιλόλαος ἔφησε τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος] εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.

ϛ. Ἀπὸ ποίου πρώτου στοιχείου ἤρξατο κοσμοποιεῖν ὁ θεός. G49

E XV 37 1—6

Οἱ φυσικοὶ ἀπὸ γῆς ἄρξασθαί 1
φασι τὴν γένεσιν τοῦ κόσμου, καθάπερ ἀπὸ κέντρου· ἀρχὴ δὲ σφαίρας τὸ κέντρον.

Πυθαγόρας ἀπὸ πυρὸς καὶ τοῦ 2
πέμπτου στοιχείου.

Ἀπὸ ποίου πρώτου στοιχείου ἤρξατο κοσμοποιεῖν ὁ θεός.

(οἱ Στωικοὶ) ἀπὸ γῆς [δὲ] ἄρξασθαι τὴν γένεσιν τοῦ κόσμου καθάπερ ἀπὸ κέντρου· ἀρχὴ δὲ σφαίρας τὸ κέντρον.

(Πυθαγόρας) [ἄρξασθαι δὲ τὴν γένεσιν τοῦ κόσμου] ἀπὸ πυρὸς καὶ τοῦ πέμπτου στοιχείου.

---

1 οὐδεμιᾶς E: οὐδεμιᾶς τινος (A)BC || 2 ἐπιδέεται E || 7 τροφὴν G Reiske falsa coniectura || 8 τὸ μὲν — τὸ δὲ G cf. Boeckh Philol. p. 111 [1]: τοτὲ μὲν—τοτὲ δὲ E(A)BC || οὐρανίου Corsinus || 9 ἐξ cf. ad Stob. || σεληνιακῇ legit Budaeus || 10 ἀστέρος B || 13 πρώτου EAB Psellus: om. E [ind.] GC cf. Prol. p. 6 || 14 κοσμοποιεῖν ὁ θεὸς (A)BC cf. Psellus: ὁ θεὸς κοσμοποιεῖν EG || 18 ἀρχὴ E [vulg.] (A)BC: ἀρχὴν E[FG] quod Aëtius scripsisse videtur

1 μηδὲν F: μηδενὸς C: μὴν restituit Meineke || 4 (Φ)ιλολάου στωικοῦ in mrg. F || 5 τὸ μὲν C: τοτὲ μὲν F || ἐξ ὑγροῦ πυρὸς A || 6 τοτὲ δὲ A || alterum ἐξ ab antiquo librario oscitanter ex v. 5 iteratum esse vidit Usener || 7 τοῦ ἀστέρος ῥυέντος A. menda sunt omnia ex iterato loco p. 452 H. quem v. 8—12 exhibui correcta || 8 de Stobaei fraude cf. Prol. p. 68 || 13 titulus excerptus ex generali ecl. I 22 cf. supra p. 271 || 15 § 1 additur post II 4 14 || 19 § 2 additur post II 1 1

TESTIMONIA PLUTARCHI

μὴ δεῖσθαι τροφῆς αὐτὸν λέγει, τὸ γὰρ δεόμενον φθαρτόν. ὁ δὲ ἀίδιός ἐστι κατ' αὐτόν.

2 **Idem** l. c. τροφῇ δὲ χρῆται ὡς μέν τινες παρ' ἑαυτοῦ.

3 **Idem** l. c. ἄλλοι δὲ ἀναθυμιάσει τῇ περὶ αὐτόν.

PLUTARCHI EPIT. II 6

Ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα πρῶτον διακριθῆναι, δεύτερον δὲ τὸ πῦρ, ἐφ' ᾧ τὴν γῆν, ἐξ ἧς ἄγαν περισφιγγομένης τῇ ῥύμῃ τῆς περιφορᾶς ἀναβλύσαι τὸ ὕδωρ· ἐξ οὗ ἀναθυμιαθῆναι τὸν ἀέρα, καὶ γενέσθαι τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ τοῦ πυρός, πιληθῆναι δὲ ἐκ τῶν ἄλλων τὰ περίγεια.

Πλάτων ὁρατὸν τὸν κόσμον γεγονέναι πρὸς παράδειγμα τοῦ νοητοῦ κόσμου. τοῦ δὲ ὁρατοῦ προτέραν μὲν τὴν ψυχήν, μετὰ δὲ ταύτην τὸ σωματοειδὲς τὸ ἐκ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον.

Πυθαγόρας πέντε σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ,

1 ἀέρα desideres cf. Plut. Strom. 10 at cf. Karsten Emp. 330 || 2 δὲ om. E || 4 περιφορᾶς (A)BC: σφαίρας E cf. Prol. p. 23 || 5 ἀναθυμιαθῆναι G Reiske: θυμιαθῆναι E(A)C cf. III 3 9: θυμιασθῆναι B: ἀποθυμιαθῆναι Duebner || 8 εἰληθῆναι E || 10 ὁρατὸν τὸν EG: τὸν ὁρατὸν (A)BC cf. Stob. sed constructio variata est || 12 ὁρατοῦ EG: ὁρατοῦ κόσμου (A)BC || 13 μὲν EG: μὲν εἶναι (A)BC || ταῦτα E[DFG] || 14 καὶ τῆς γῆς C || 15 πρῶτον E [vulg.] GC: πρώτων E[c]AB || δὲ EGBC: om. (A)? || δεύτερον E[CDG]AB: δευτέρων E [vulg.] GC || 19 τοῦ κόσμου A || 21 τῆς ὀκταέδρου E || 22 τὸ ὕδωρ — δωδεκαέδρου om. E[DFG] cf. G et Stob.

STOBAEI ECL. I 22 1 22 6

Πλάτων τὸν ὁρατὸν κόσμον γεγονέναι παράδειγμα τοῦ νοητοῦ κόσμου. τοῦ δὲ ὁρατοῦ προτέραν μὲν τὴν ψυχήν, μετὰ δὲ ταύτην τὸ σωματοειδὲς τὸ ἐκ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον.

(Πυθαγόρας) πέντε [δὲ] σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου ⟨τὸ ὕδωρ,

8 additur post c. 6 2

13 τὸ ὕδωρ — δωδεκαέδρου casu omissa [cf. G et E] reduxit Heeren

TESTIMONIA PLUTARCHI

6 3 Achill. l. c. τινὲς δὲ τῇ τοῦ ὕδατος σφαίρᾳ cf. Prol. p. 23.

5 Idem p. 132A οἱ δὲ Πυθαγόρειοι ἐπεὶ πάντα ἐξ ἀριθμῶν καὶ γραμμῶν συνεστάναι θέλουσι, τὴν μὲν γῆν φασιν ἔχειν σχῆμα κυβικόν, τὸ δὲ πῦρ πυραμοειδές, τὸν δ' ἀέρα ὀκτάεδρον, τὸ δ' ὕδωρ εἰκοσάεδρον, τὴν δὲ τῶν ὅλων σύστασιν δωδεκάεδρον. cf. Prol. p. 23.

ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν.

Πλάτων δὲ καὶ ἐν τούτοις πυθαγορίζει. 6

ἐκ δὲ τοῦ δωδεκαέδρου⟩ τὴν τοῦ παντὸς σφαῖραν.

ζ. Περὶ τάξεως τοῦ κόσμου. G 50 E XV 38 1—6

Περὶ τάξεως τοῦ κόσμου.

Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ τὴν δὲ ἐκ τοῦ πυκνοῦ, μικτὰς δὲ ἄλλας ἐκ φωτὸς καὶ σκότους μεταξὺ τούτων· καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν. 1

Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ τὴν δὲ ἐκ τοῦ πυκνοῦ, μικτὰς δὲ ἄλλας ⟨ἐκ⟩ φωτὸς καὶ σκότους μεταξὺ τούτων· καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν, ὑφ' ᾧ πυρώδης στεφάνη· καὶ τὸ μεσαίτατον πασῶν περὶ δ πάλιν πυρώδης· τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἁπάσαις τοκέα πάσης κινήσεως καὶ γενέσεως ὑπάρχειν, ἥντινα καὶ δαίμονα κυβερνῆτιν καὶ κληδοῦχον ἐπονομάζει δίκην τε καὶ ἀνάγκην. καὶ τῆς μὲν γῆς ἀπόκρισιν εἶναι τὸν ἀέρα διὰ τὴν βιαιοτέραν αὐτῆς ἐξατμισθέντα πίλησιν, τοῦ δὲ πυρὸς ἀναπνοὴν τὸν ἥλιον καὶ τὸν γαλαξίαν κύκλον, συμμιγῆ δ' ἐξ ἀμφοῖν εἶναι τὴν σελήνην τοῦ τ' ἀέρος καὶ τοῦ πυρός. περιστάντος δ' ἀνωτάτω πάντων τοῦ αἰ-

5 τοῦ E [XV 32 8] GC: om. E [XV 38] AB
8 ἐπαλλήλους (A)C: ἐπαλλήλας B: ἐπαλλήλοις E [BFG]: ἐπαλλήλαις E [vulg.]: πρὸς ἀλλήλους G cf. Krische Forschungen p. 101
10 ἄλλας E [vulg.]: ἀλλήλας E[CFG]ABC
12 στίχου E cf. Prol. p. 13 || ὑπάρχον E

3 titulum sumpsi ex ecl. I 22 || 4 στεφάνας ⟨ε⟩ εἶναι coni. Meineke || 7 τὰς ἄλλας coni. falso Meineke || ἐκ ante φωτὸς om. A || 11 πασῶν scil. στερεὸν ὑπάρχειν cf. Krische p. 102 sq. || περὶ ὃν F: περὶ ὧν C: corr. Boeckh probante Krischeo p. 104 || 12 συμμιγῶν κτλ.: non recte intellectum esse a scriptore v. 128 ἐν δὲ μέσῳ τούτων δαίμων . . . monet cum Krischeo [p. 105] Zeller || 13 ἁπάσαις τε καὶ A: ἁπάσαις τοκέα Davisius cf. v. 128 Karsten: ἀρχὴν ⟨τόκου⟩ τε καὶ Zeller, ἁπάσαις αἰτίαν Krische conl. Simplicio ad phys. f. 8r: ἅπασι τοκέα Stein Symb. philol. Bonn. p. 800 || 15 δαίμονα F: δαίμονα καὶ C non recte, nam tangitur v. 127 δαίμων ἣ πάντα κυβερνᾷ || κληροῦχον A: corr. Fuelleborn cf. v. 14 δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς cf. I 25 3 || 17 τὴν ἀπόκρισιν Heeren

σημβρινὸν αὐτοῦ μέρος, ἴσως ὑπὸ προνοίας, ἵνα ἃ μὲν ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου κατὰ ψῦξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν.

Ἐμπεδοκλῆς τοῦ ἀέρος εἰξαντος 2 τῇ τοῦ ἡλίου ὁρμῇ, ἐπικλιθῆναι τὰς ἄρκτους, καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθ' ὃ καὶ τὸν ὅλον κόσμον.

θ. Περὶ τοῦ ἐκτὸς τοῦ κόσμου εἰ ἔστι κενόν. G 52

E XV 40 1—4

Οἱ μὲν ἀπὸ Πυθαγόρου ἐκτὸς 1 εἶναι τοῦ κόσμου κενὸν εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.

Οἱ δὲ Στωικοὶ εἰς ὃ κατὰ τὴν 2 ἐκπύρωσιν ἀναλύεται ἄπειρον.

Ποσειδώνιος οὐκ ἄπειρον, ἀλλ' 3 ὅσον αὔταρκες εἰς τὴν διάλυσιν.

Πλάτων Ἀριστοτέλης μήτ' ἐκτὸς 4 τοῦ κόσμου κενὸν εἶναι μήτ' ἐντός.

μάτου εἰς τὸ μεσημβρινὸν αὐτοῦ μέρος, ἴσως ὑπὸ προνοίας, ἵν' ἃ μὲν ἀοίκητα γένηται ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου κατὰ ψῦξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν.

⟨Ἐμπεδοκλῆς⟩ τοῦ [δὲ] ἀέρος εἰξαντος τῇ τοῦ ἡλίου ὁρμῇ ἐπικλιθῆναι τὰς ἄρκτους, καὶ τὰ μὲν βόρεια ὑψωθῆναι τὰ δὲ νότια ταπεινωθῆναι, καθ' ὃ καὶ τὸν ὅλον κόσμον.

Εἰ ἔστι κενὸν ἐκτὸς τοῦ κόσμου.

Οἱ ⟨ἀπὸ⟩ Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενὸν εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.

Οἱ Στωικοὶ εἶναι κενόν, εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται ὁ κόσμος ἄπειρος ὤν.

Ποσειδώνιος ἔφησε τὸ ἐκτὸς τοῦ κόσμου οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς διάλυσιν.

(Πλάτων) κενὸν [δὲ] μὴ εἶναι μήτε ἐκτὸς τοῦ κόσμου μήτε ἐν τῷ κόσμῳ.

---

1 αὐτοῦ E(A)BC: correxi || 2 ἃ μέν τινα (A)BC: τὰ μὲν E unde τινα glossema (cf. G) resecui || ἃ δὲ (A)BC: τὰ δὲ E || 3 κατὰ ψύξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν (A)B: κατὰ εὐκρασίαν καὶ ψύξιν (om. καὶ ἐκπύρωσιν) E: κατὰ ψύξιν καὶ ἐκπύρωσιν G || 6 ἐπικλιθῆναι EB: ⸗κλιθῆναι i. e. ἐγκλιθῆναι A: ἐγκλιθῆναι C || τὰς ἄρκτους EGC: τοὺς ἄρκτους A: τὸν κόσμον [cf. v. 9] B || 7 μὲν om. E || 16 οἱ στωικοὶ B || καὶ τῇ ἐκπυρώσει E || 17 ἄπειρον E: τὸ ἄπειρον (A)BC. videtur ἄπειρον ὄν scribendum esse itemque in Stob. cf. Diog. VII 143 ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστί, τὸ δὲ κενὸν ἄπειρον || 19 τὴν διάβασιν E || post διάλυσιν interpolata haec tradunt (A)BC ἐν τῷ πρώτῳ περὶ κενοῦ. Ἀριστοτέλης ἔλεγεν εἶναι κενόν. Πλάτων μήτ' κτλ.: ἐν – κενὸν om. E cf. G [Prol. p. 9] || 20 Πλάτων Ἀριστοτέλης E: Πλάτων (A)BC || 21 διάκενον εἶναι E cf. G: om. hic, sed μηδὲν εἶναι κενόν add. post ἐντός (A)BC

1 αὐτοῦ A: corr. Meineke

6 τοῦ δὲ additur post c. 7 6

8 τὰς ἄρκτους i. e. borealem terrae polum cf. Karsten Emped. fr. p. 425[99]

11 titulus exstat c. 22 cf. supra p. 271, excerpta ad c. 18 4 delata sunt

13 addidi ἀπὸ

18 ἄπειρος ὤν A: ἄπειρον ὄν verisimiliter Heeren cf. Plut.

22 additur post I 19 1

PLUTARCHI EPIT. II 10. 11

ι. Τίνα δεξιὰ τοῦ κόσμου καὶ τίνα ἀριστερά. G 53

E XV 41 1. 2

Πυθαγόρας Πλάτων Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως, ἀριστερὰ δὲ τὰ δυτικά. 1

Ἐμπεδοκλῆς δεξιὰ μὲν τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν. 2

ια. Περὶ οὐρανοῦ τίς ἡ τούτου οὐσία. G 54

E XV 42 1. 2

Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτω γῆς εἶναι. 1

Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ τὸ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα. 2

STOBAEI ECL. I 15 6 23 1

Τίνα δεξιὰ τοῦ κόσμου καὶ τίνα ἀριστερά.

Πυθαγόρας Πλάτων Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως [διὰ τὰς ἀνατολάς], ἀριστερὰ δὲ τὰ δυτικά. οὔθ' ὕψος δέ φασιν οὔτε βάθος ἔχειν τὸν κόσμον, καθ' ὃν λόγον ὕψος μὲν λέγεται τὸ κάτωθεν ἄνω διάστημα, βάθος δὲ τὸ ἄνωθεν κάτω. μηδὲν γὰρ εἶναι τῶν οὕτως διαστημάτων λεγομένων περὶ τὸν κόσμον διὰ τὸ περὶ τὸ ἑαυτοῦ μέσον αὐτὸν συνεστάναι, ἀφ' οὗ πρὸς ἅπαν ἐστὶ καὶ πρὸς δ πανταχόθεν ταὐτό.

(Ἐμπεδοκλῆς) [καὶ] δεξιὰ μὲν αὐτοῦ τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν.

Περὶ τῆς οὐρανοῦ οὐσίας.

D. O 15

Ἀναξιμένης καὶ Παρμενίδης τὴν περιφορὰν τὴν ἐξωτάτω τῆς γῆς εἶναι τὸν οὐρανόν.

Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος παγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ τὸ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα.

---

15 τὴν ἐξωτάτω γῆνην (A)BC: τῆς ἔξω ζώνης εἶναι E: correctum conlato Stob. cf. G || 18 τοῦ πυρὸς E || κρυσταλοειδοῦς B cf. G || 19 τὸ post καὶ G: om. E(A)BC

1 titulus exstat c. 22 cf. supra p. 271, excerpta c. 15 6

3 καὶ ante Ἀριστοτέλης addit cod. August.

6 διὰ τὰς ἀνατολάς obelo notavit Heeren || post δυτικά repetitur I 14 6 || 9 λέγεται C: λέγεσθαι F || 11 οὕτως A: ὄντως vulgo || 13 περὶ τὸ F: τὸ om. C vulgo || 15 πρὸς τὸ A: correxi || ταὐτὸ Heeren: τοῦτο A || 16 § 2 additur post II 8 2 || 27 ἐν D: om. A

TESTIMONIA PLUTARCHI

11 2 Achill. p. 128 c Ἐμπεδοκλῆς δὲ κρυσταλλώδη τοῦτον εἶναί φησιν ἐκ τοῦ παγετώδους συλλεγέντα.

2—5 **Pseudo-Aristotel.** erotapocris. [Rose, Herm. IX 119] τί ἐστιν οὐρανός; ἐκ πέμπτου σώματος πυρὸς ἢ ἐκ θερμοῦ καὶ ψυχροῦ μίγματος. ἀπολογία. οὐρανός ἐστι στερέμνιος ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυ-

PLUTARCHI EPIT. II 11. 12

Ἀριστοτέλης ἐκ πέμπτου σώ- 3
ματος.

4 *πύρινον εἶναι τὸν οὐρανόν.

Ἀναξίμανδρος ἐκ θερμοῦ καὶ 5
ψυχροῦ μίγματος.

ιβ. Περὶ διαιρέσεως οὐρανοῦ. G 55

Θαλῆς Πυθαγόρας οἱ ἀπ' αὐτοῦ 1
μεμερίσθαι τὴν τοῦ παντὸς οὐρανοῦ
σφαῖραν εἰς κύκλους πέντε, οὕστινας
προσαγορεύουσι ζώνας· καλεῖται δὲ
αὐτῶν ὁ μὲν ἀρκτικός τε καὶ ἀειφα-
νής, ὁ δὲ θερινὸς τροπικός, ὁ δὲ
ἰσημερινός, ὁ δὲ χειμερινὸς τροπικός,
ὁ δὲ ἀνταρκτικός τε καὶ ἀφανής.
λοξὸς δὲ τοῖς τρισὶ μέσοις ὁ καλού-
μενος ζῳδιακὸς ὑποβέβληται παρε-
πιψαύων τῶν μέσων τριῶν. πάντας
δὲ αὐτοὺς ὁ μεσημβρινὸς πρὸς ὀρθὰς
ἀπὸ τῶν ἄρκτων ἐπὶ τὸ ἀντίξουν
τέμνει.

Πυθαγόρας πρῶτος ἐπινενοηκέναι 2
λέγεται τὴν λόξωσιν τοῦ ζῳδιακοῦ

1 Ἀριστοτέλης—μίγματος v. 5 om. E || 3 πύρινον εἶναι τὸν οὐρανόν restitui ex G: πυρός (A)BC ceteris omissis cf. Prol. p. 23 || 4 Ἀναξίμανδρος om. G(A)BC: restitui ex Achille cf. Prol. p. 23. 134 || ἐκ G: ἢ ἐκ (A)BC || 6 post οὐρανοῦ addunt εἰς πόσους κύκλους διαιρεῖται (A)BC quae om. G cf. III 14 || de Aëtii fide cf. Prol. p. 181 || 11 αὐτῶν ὁ μὲν GAB: ὁ μὲν αὐτῶν C || 12 ὁ δὲ ἰσημερινός—τροπικός om. B || 15 μέσος δὲ ὁ ζωδιακὸς καλούμενος B || 19 ἀπὸ τῶν ἄρκτων om. C || ἀντίξουν BC: ἀντίξον A

TESTIMONIA PLUTARCHI

σταλλοειδῶς τὸ πυρῶδες καὶ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα [sic].

11 3. 4. 5 **Achill.** p. 128 c Ἀναξίμανδρος δὲ πτηνὸν [sic, καὶ Ζήνων?] πυρὸς μετέχοντα. Ἀριστοτέλης δὲ σῶμα ἐκ ψυχροῦ καὶ θερμοῦ.

STOBAEI ECL. I 23 1

Ἀριστοτέλης ἐκ πέμπτου σώ- 3
ματος. [λέγει γοῦν ἐν τοῖς περὶ τῆς
φυσικῆς ἀκροάσεως καὶ οὐρανοῦ λό-
γοις οὕτως.]

Παρμενίδης Ἡράκλειτος Στρά- 4 5
των Ζήνων πύρινον εἶναι τὸν οὐ-
ρανόν.

Ἀναξίμανδρος ἐκ θερμοῦ καὶ
ψυχροῦ μίγματος.

Περὶ διαιρέσεως οὐρανοῦ. 10

Θαλῆς Πυθαγόρας καὶ οἱ ἀπ' 1
αὐτοῦ, μεμερίσθαι τὴν τοῦ παντὸς
οὐρανοῦ σφαῖραν εἰς κύκλους πέντε,
οὕστινας προσαγορεύουσι ζώνας· κα-
λεῖται δ' αὐτῶν ὁ μὲν ἀρκτικός τε 15
καὶ ἀειφανής, ὁ δὲ θερινὸς τροπικός,
ὁ δὲ ἰσημερινός, ὁ δὲ χειμερινὸς τρο-
πικός, ὁ δὲ ἀνταρκτικός τε καὶ ἀφα-
νής. λοξὸς δὲ [ἐν] τοῖς τρισὶ μέσοις
ὁ καλούμενος ζῳδιακὸς ὑποβέβληται 20
παραψαύων τῶν μέσων τριῶν. πάντας
δ' αὐτοὺς ὁ μεσημβρινὸς πρὸς ὀρθὰς
ἀπὸ τῶν ἄρκτων ἐπὶ τὸ ἀντικρὺ
τέμνει.

Πυθαγόρας πρῶτος ἐπινενοηκέναι 2 25
λέγεται τὴν λόξωσιν τοῦ ζῳδιακοῦ

1 de Stobaei additamento dixi Prol. p. 215 sq. περὶ ante φυσικῆς ἀκροάσεως otiosum inferioris aetatis scriptori condonabis. cf. Ioseppus Prol. p. 149, Galenus ib. p. 258

3 καὶ αὐτοῦ λόγοις AD: corr. Spengel

10 ex pleniore titulo c. 23 excerptum

19 ἐν delevi

20 ὑποκέκληται A: corr. Cant. mrg. ex Plutarcho cf. Bake ad Cleomed. p. 283

PLUTARCHI EPIT. II 12. 13

κύκλου, ἤντινα Οἰνοπίδης ὁ Χῖος ὡς ἰδίαν ἐπίνοιαν σφετερίζεται.

ιγ. Τίς ἡ οὐσία τῶν ἄστρων, πλανητῶν καὶ ἀπλανῶν. G 56 E XV 30 1—9

Θαλῆς γεώδη μέν, ἔμπυρα δὲ τὰ ἄστρα.

Ἐμπεδοκλῆς πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ ἀὴρ ἐν ἑαυτῷ περιέχων ἐξανέθλιψε κατὰ τὴν πρώτην διάκρισιν.

Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα, πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ δ' εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς καὶ καταφλέξαντα τούτους ἠστερικέναι.

Διογένης κισηρώδη τὰ ἄστρα, διαπνοὰς δὲ αὐτὰ νομίζει τοῦ κόσμου.

STOBAEI ECL. I 23 1 24 1

κύκλου, ἤντινα Οἰνοπίδης ὁ Χῖος ἐπίνοιαν ὡς ἰδίαν σφετερίζεται.

Περὶ οὐσίας ἄστρων.

Θαλῆς γεώδη μέν, ἔμπυρα δὲ τὰ ἄστρα.

Ἐμπεδοκλῆς πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ ἀὴρ ἐν ἑαυτῷ περιέχων [ἐξανέλαμψεν ἤτοι] ἐξανέθλιψε κατὰ τὴν πρώτην διάκρισιν.

Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ δὲ εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς, καταφλέξαντα τούτους ἠστερωκέναι.

Δημόκριτος πέτρους.

Διογένης κισηροειδῆ τὰ ἄστρα, διαπνοίας δὲ αὐτὰ νομίζει τοῦ κόσμου, εἶναι δὲ διάπυρα.

3 τίς ἡ οὐσία τῶν ἄστρων, πλανήτων καὶ ἀπλανῶν E[c]: item sed πλανήτων ἄστρων E[vulg.]: item sed ἄστρων om. G: τίς ἡ οὐσία τῶν ἀστέρων πλανήτων καὶ ἀπλανῶν καὶ πῶς συνέστη AB: τίς ἡ οὐσία τῶν ἀστέρων καὶ πῶς συνεστήκασι C || 9 ἀὴρ EAB: αἰθὴρ C || 10 ἐξανέθλιψε EAB: ἐξέθλιψε C || 15 ἀναρπάσαντα E[cdfg]GAB: ἀναρπάζοντα C || ἀπὸ EG: ἐκ (A)BC || γῆς καὶ G(A)BC: καὶ om. E[cdfg]

7 ἀὴρ et ἐξανέθλιψε recte A: αἰθὴρ et ἐξέθλιψε Meineke

8 ἐξανέλαμψεν ἤτοι ἐξανέθλιψε F: ἤτοι ἐξανέθλιψε om. C: delevi glossema

13 γῆς καὶ Heeren: καὶ om. A cf. Plut.

TESTIMONIA PLUTARCHI

13 Achill. p. 133A τίς οὐσία ἀστέρων

1 Θαλῆς μὲν δὴ γηίνην ἔμπυρον εἶπε τὴν τῶν ἀστέρων οὐσίαν.

2 **Idem** l. c. Ἐμπεδοκλῆς δὲ πυρίνους αὐτοὺς εἶπε.

3 **Idem** l. c. τινὲς δὲ γεώδεις εἰπεῖν αὐτοὺς ἐτόλμησαν ὧν ἐστι καὶ Ἀναξαγόρας· μετὰ γὰρ τὴν πρώτην φησὶ διάκρισιν τῶν στοιχείων τὸ πῦρ χωριζόμενον ἐπὶ τὴν ἰδίαν φύσιν ἀνασπάσαι καὶ διάπυρα ποιῆσαι καὶ τῆς γῆς μόρια τινα. ὅθεν καὶ τὸν ἥλιον ἔλεγεν εἶναι μύδρον, ὡς ἐξῆς ἐροῦμεν. cf. Prol. p. 24.

5 **Idem** l. c. ἕτεροι δὲ κίσηριν πλαγίαν (?) οὖσαν ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος ἀναπτομένην καὶ ὑπὸ (?) τῶν τρυμαλιῶν τοὺς ἀστέρας φαίνειν cf. Prol. p. 24 sq.

ALIORUM EX AETIO EXCERPTA

13 1 Theodoret. IV 17 καὶ τοὺς ἀστέρας δὲ Θαλῆς μὲν γεώδεις καὶ ἐμπύρους ὠνόμασεν.

3 **Idem** l. c. ὁ δέ γε Ἀναξαγόρας ἐκ τῆς τοῦ παντὸς περιδινήσεως πέτρους [πέτρας Mich. Glyc. ann. I p. 39, 13 B.] εἶπεν ἀνασπασθῆναι καὶ τούτους ἐκπυρωθέντας τε [τε om. Glyc.] καὶ ἄνω παγέντας ἀστέρας ὀνομασθῆναι.

4 **Idem** l. c. καὶ Δημόκριτος δὲ τοῦτον κρατύνει τὸν λόγον.

5 **Idem** l. c. ὁ δὲ Διογένης κισηροειδεῖς λέγει εἶναι τούτους (sc. τοὺς ἀστέρας) διαπνοάς τινας ἔχοντας.

PLUTARCHI EPIT. II 13

Πάλιν δὲ ὁ αὐτὸς ἀφανεῖς μὲν λίθους, πίπτοντας δὲ πολλάκις ἐπὶ τὴν γῆν σβέννυσθαι καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυροειδῶς κατενεχθέντα ἀστέρα πέτρινον.

Ἐμπεδοκλῆς τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῷ κρυστάλλῳ, τοὺς δὲ πλανήτας ἀνεῖσθαι.

Πλάτων ἐκ μὲν τοῦ πλείστου μέρους πυρίνους, μετέχοντας δὲ καὶ τῶν ἄλλων στοιχείων κόλλης δίκην.

1 ἀφανεῖς E(A)C: λέγει B
3 σβεννύναι B
9 Πλάτων EG(A)C: εἶναι δὲ B
11 στοιχείων om. E

STOBAEI ECL. I 24 1

6 Ἀρχέλαος μύδρους ἔφησεν εἶναι τοὺς ἀστέρας, διαπύρους δέ.

7 Ἀναξίμανδρος πιλήματα ἀέρος τροχοειδῆ, πυρὸς ἔμπλεα, κατά τι μέρος ἀπὸ στομίων ἐκπνέοντα φλόγας.

8 Παρμενίδης καὶ Ἡράκλειτος πιλήματα πυρὸς τὰ ἄστρα.

9 (Διογένης) συμπεριφέρεσθαι [δὲ] τοῖς φανεροῖς ἄστροις ἀφανεῖς λίθους καὶ παρ' αὐτὸ τοῦτ' ἀνωνύμους· πίπτοντας δὲ πολλάκις ἐπὶ τῆς γῆς σβέννυσθαι καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυρωδῶς κατενεχθέντα ἀστέρα πέτρινον.

10 Ἀναξιμένης πυρίνην μὲν τὴν φύσιν τῶν ἄστρων, περιέχειν δέ τινα καὶ γεώδη σώματα συμπεριφερόμενα τούτοις ἀόρατα.

11 (Ἐμπεδοκλῆς) [καὶ] τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῷ κρυστάλλῳ, τοὺς δὲ πλανήτας ἀνεῖσθαι.

12 Πλάτων ἐκ μὲν τοῦ πλείστου μέρους πυρίνους, μετέχοντας δὲ καὶ τῶν ἄλλων στοιχείων.

6 dubium hic Heracliti lemma cf. 17 4 Zeller I³ 560, 2. Schuster p. 37¹ || 8 § 9 additur post διάπυρα § 5 || 10 πίπτοντα A: correxi || 15 de § 10 cf. Prol. p. 136 || 16 περιέχειν (F) et Meineke: παρέχειν C || 19 § 11 additur post 13 2 διάκρισιν || 23 μέρους (F): γένους C

TESTIMONIA PLUTARCHI

13 12 **Achill.** l. c. Πλάτων δὲ ἐκ τῶν τεσσάρων στοιχείων, πλείστου δὲ πυρός.

ALIORUM EX AETIO EXCERPTA

7 **Theodoret.** IV 17 ὁ δὲ Ἀναξίμανδρος συστήματα ἄττα τοῦ ἀέρος ἔφη τροχοειδῶς πεπιλημένα πυρὸς ἔμπλεα εἶναι ἀπό τινων στομίων ἀφιέντα τὰς φλόγας.

9 **Idem** IV 18 Διογένης δὲ καὶ ἐμπίπτειν εἰς τὴν γῆν τινας τούτων ἔφησε καὶ σβεννυμένους ἐλέγχεσθαι ὅτι λίθων ἔχουσι φύσιν καὶ μάρτυρι χρῆται τῷ ἐν Αἰγὸς ποταμοῖς πυροειδῶς κατενεχθέντι ποτέ.

13 12 **Idem** l. c. ὁ δὲ Πλάτων ὡς ἐπίπαν μὲν τούτους ἐκ τοῦ πυρὸς συνεστάναι, μετέχειν δὲ καὶ τῶν ἄλλων στοιχείων φησίν.

PLUTARCHI EPIT. II 13. 14

Ξενοφάνης ἐκ νεφῶν μὲν πεπυρωμένων· σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας· τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις.

Ἡρακλείδης καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν γῆν περιέχοντα ἀέρα τε καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ αἰθέρι. ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεται· κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων.

Ἐπίκουρος οὐδὲν ἀπογινώσκει τούτων ἐχόμενος τοῦ ἐνδεχομένου.

STOBAEI ECLOG. I 24 1

13 Ἀριστοτέλης ἐκ τοῦ πέμπτου σώματος γεγενῆσθαι τὰ ἄστρα.

14 Ξενοφάνης ἐκ νεφῶν μὲν πεπυρωμένων· σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις.

15 Ἡρακλείδης καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν γῆν περιέχοντα ⟨καὶ⟩ ἀέρα ἐν τῷ ἀπείρῳ αἰθέρι. ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεσθαι· κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων.

16 Ἐπίκουρος οὐδὲν ἀπογινώσκει τούτων ἐχόμενος τοῦ ἐνδεχομένου.

ιδ. Περὶ σχημάτων ἀστέρων. G 56ᵃ E XV 31 1—3

Οἱ Στωικοὶ σφαιρικοὺς τοὺς ἀστέ-

Περὶ σχημάτων.

Οἱ μὲν ἄλλοι σφαιρικοὺς αὐτούς.

---

1 μὲν E: om. G(A)BC || 3 ἀναζωπυρεῖν E(A)BC: ἀναζωπυρεῖσθαι G cf. Theodoret. || 7 ἡρακλείδης (A)BC: Ἡρακλείδης δὲ EG: Ἡράκλειτος ex cod. Petaviano falso receperat Beck || 9 ὑπάρχειν γήινον coni. Roeth || γῆν om. E[DGI] || ἀέρα τε καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ αἰθέρι (A)BC: ἀέρα τε καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ? E: καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ ἀέρι G. καὶ αἰθέρα variam lectionem duco vocum ἀέρα τε. nam Aëtius videtur scripsisse καὶ ἀέρα ἐν τῷ ἀπείρῳ αἰθέρι cf. Theodor. — cum extremis ἐν τῷ ἀπείρῳ αἰθέρι cf. II 15 7 ἐν τῷ αἰθέρι || 11 δὲ om. E || ἐμφέρεται E || 13 γὰρ (A)BC: om. GE[DRFG]. κοσμοποιοῦσι tum referendum ad Ὀρφικοῖς || 16 σχημάτων E[CFG]AB: σχήματος C

11 καὶ addidi; ἀέρα τε coni. Heeren, sed cf. ad Plut.

16 titulum ex generali c. 24 excerpsi

17 ἄλλοι Στωικοὶ ex Plut. scripsit Heeren || αὐτούς C: τοὺς F

TESTIMONIA PLUTARCHI

13 14 Achill. l. c. Ξενοφάνης δὲ λέγει τοὺς ἀστέρας ἐκ νεφῶν συνεστάναι ἐμπύρων καὶ σβέννυσθαι καὶ ἀνάπτεσθαι ὡσανεὶ ἄνθρακας. καὶ ὅτε μὲν ἅπτονται φαντασίας ἡμᾶς ἔχειν ἀνατολῆς, ὅτε δὲ σβέννυνται δύσεως.

14 1 Idem p. 133 D οἱ δὲ Στωικοὶ σφαι-

ALIORUM EX AETIO EXCERPTA

13 Theodoret. l. c. ὁ δέ γε Ἀριστοτέλης τοῦ πέμπτου σώματος εἴρηκε συγγενεῖς.

14 Idem IV 19 Ξενοφάνης δὲ ἐκ νεφῶν μὲν λέγει πεπυρωμένων ξυνίστασθαι· σβεννυμένους δὲ μεθ' ἡμέραν νύκτωρ πάλιν ἀναζωπυρεῖσθαι καθάπερ τοὺς ἄνθρακας.

15 Idem IV 20 Ἡρακλείδης δὲ καὶ ἄλλοι τῶν Πυθαγορείων τινὲς ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν φασί, γῆν περιέχοντα καὶ ἀέρα.

14 1 Idem l. c. καὶ οἱ μὲν σφαιροειδεῖς τούτους εἰρήκασι.

ρας καθάπερ τὸν κόσμον καὶ ἥλιον καὶ σελήνην.

Κλεάνθης κωνοειδεῖς.

Ἀναξιμένης ἥλων δίκην καταπεπηγέναι τῷ κρυσταλλοειδεῖ.

Ἔνιοι δὲ πέταλα εἶναι πύρινα ὥσπερ ζωγραφήματα.

2 Κλεάνθης δὲ κωνοειδεῖς.

3 (Ἀναξιμένης) ἥλων [δὲ] δίκην καταπεπηγέναι τὰ ἄστρα τῷ κρυσταλλοειδεῖ.

4

5 Μητρόδωρος ὁμοίως περὶ σχήματος τῶν ἀστέρων καὶ αὐτὸς ἀπεφήνατο. 6

ιε. Περὶ τάξεως ἀστέρων. G 57 E XV 46 1—6

Ξενοκράτης κατὰ μιᾶς ἐπιφανείας οἴεται κινεῖσθαι τοὺς ἀστέρας.

Οἱ δ' ἄλλοι Στωικοὶ πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους ἐν ὕψει καὶ βάθει.

Δημόκριτος τὰ μὲν ἀπλανῆ πρῶτον, μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ' οἷς ἥλιον φωσφόρον σελήνην.

Πλάτων μετὰ τὴν τῶν ἀπλανῶν θέσιν πρῶτον φαίνωνα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον φαέθοντα τὸν τοῦ Διός, τρίτον πυρόεντα τὸν τοῦ

1 Ξενοκράτης κατὰ μιᾶς ἐπιφανείας οἴεται κεῖσθαι τοὺς ἀστέρας.

2 Οἱ δὲ ἄλλοι Στωικοὶ πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους ἐν ὕψει καὶ βάθει.

3 (Δημόκριτος) [καὶ] πρῶτα μὲν τὰ ἀπλανῆ, μετὰ δὲ ταῦτα τοὺς πλανήτας.

4 (Πλάτων) [καὶ] πρῶτον μετά γε τὴν τῶν ἀπλανῶν θέσιν φαίνωνα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον φαέθοντα τὸν τοῦ Διός, τρίτον πυ-

4 καταπεπηγέναι G(A)C: καταπεπληγέναι B: καταπεπηγμένων E: ἐγκαταπεπῆγεναι vel ἐν τῷ postulabat Wyttenbach, at cf. Callim. fr. 139. intellegendae sunt stellae fixae || 6 ἔνιοι δὲ om. B, cuius loco καθάπερ (glossema vocis ὥσπερ) intrusum est. ceterum fortasse idem Anaximenes intellegitur de planetis, sole cet. disserens cf. 22 1 et Hippolyt. 7 4 || 7 ἐζωγραφημένα B || 10 μιᾶς ἐπιφανείας (A)BC: μίαν ἐπιφάνειαν E cf. G || 12 δ' om. E || 18 πρῶτον om. E[DFG] || φαίνωνα E[FG Arsen. p. 374 φαίωνα E]: φαίνοντα (A)BC || λέγει B

2 14 3 sequitur post 13 10 ἀόρατα. Anaximenem cum Anaximandro confusum esse propter c. 23 1 coni. H. W. Schaefer [Flensb. progr. 1873 p. 11]. sed ne illi quidem tale placuit cf. Teichmüller Stud. p. 86 immo τὰ ἀπλανῆ sola intellegenda v. c. 13 11 cf. ad Plut. || 5 § 5 collocata est post 15 6 || μητροδώρου F: om. C || 8 deest titulus || 12 15 3 additur post 13 4 πέτρους || 15 15 4 sequitur post c. 17 6 τρέφεσθαι || 16 φαίνωνα F: φαίνονα C: φαίνοντα vulgo. restitui formam a Lobeckio Paralip. gr. gr. p. 347 vindicatam

TESTIMONIA PLUTARCHI

ρικὸν ἔχειν σχῆμα λέγουσι καθάπερ τὸν ἥλιον καὶ τὸν περιέχοντα οὐρανόν.

2 **Achill.** p. 133 c. Κλεάνθης αὐτοὺς κωνοειδὲς ἔχειν σχῆμά φησι.

4 **Idem** l. c. τινὲς δὲ πεταλοις ἐοικέναι ἐκ πυρὸς βάθος οὐκ ἔχοντας ἀλλ' ὥσπερ γραφὰς εἶναι. τινὲς δὲ πυραμίδας. cf. Prol. p. 25.

ALIORUM EX AETIO EXCERPTA

2 **Theodoret.** l. c. κωνοειδεῖς δὲ Κλεάνθης ὁ Στωικός.

Ἄρεος, τέταρτον ἑωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλβοντα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην.

Τῶν μαθηματικῶν τινὲς μὲν ὡς Πλάτων, τινὲς δὲ μέσον πάντων τὸν ἥλιον.

Ἀναξίμανδρος καὶ Μητρόδωρος ὁ Χῖος καὶ Κράτης ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν δὲ τὴν σελήνην, ὑπὸ δὲ αὐτοὺς τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας.

ιϛ. Περὶ τῆς τῶν ἀστέρων φορᾶς καὶ κινήσεως. G 58 E XV 47 1—4

Ἀναξαγόρας Δημόκριτος Κλεάνθης ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας.

Ἀλκμαίων καὶ οἱ μαθηματικοὶ τοὺς πλανήτας τοῖς ἀπλανέσιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρεσθαι·

Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε, φέρεσθαι.

ῥόεντα τὸν τοῦ Ἄρεος, τέταρτον ἑωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλβωνα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην.

Τῶν μαθηματικῶν τινὲς μὲν ὡς Πλάτων φασὶν εἶναι τὴν τάξιν τῶν ἀστέρων, τινὲς δὲ μέσον πάντων τὸν ἥλιον.

(Ἀναξίμανδρος) [καὶ] ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν δὲ τὴν σελήνην· ὑπὸ δὲ αὐτοὺς τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας.

Παρμενίδης πρῶτον μὲν τάττει τὸν ἑῷον, τὸν αὐτὸν δὲ νομιζόμενον ὑπ' αὐτοῦ καὶ ἕσπερον, ἐν τῷ αἰθέρι· μεθ' ὃν τὸν ἥλιον, ὑφ' ᾧ τοὺς ἐν τῷ πυρώδει ἀστέρας, ὅπερ οὐρανὸν καλεῖ.

Περὶ ἄστρων κινήσεως.

(Ἀναξαγόρας) ἀπ' ἀνατολῶν [δὲ] ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας.

(Τῶν μαθηματικῶν τινες) τοὺς [δὲ] πλανήτας τοῖς ἀπλανέσιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρεσθαι.

Τούτῳ δὲ συνομολογεῖ καὶ Ἀλκμαίων.

Ἀριστοτέλης δὲ ὑπὸ τῶν σφαιρῶν ὑφ' ὧν ἕκαστα συμβέβηκε.

[Καὶ] Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε, φέρεσθαι.

1 ἄρεος EBC: ἄρεως A || 2 στίλβοντα EG(A)BC: propter consensum στίλβωνα [cf. 16 13] reducere nolui || 7 de § 6 cf. Prol. p. 134 || Ἀναξίμανδρος — ἥλιον v. 9 om. B || 10 δὲ post αὐτὸν om. E || τὴν om. B || αὐτοῖς E || 13 τῆς τῶν om. B || ἀστέρων (A)BCG: ἄστρων E || 20 post ἀπλανέσιν interpolarunt ἐναντίως AB, ἐναντίους C et post ἀπὸ addunt γὰρ (A)BC: carent emblematis E[cro]G

3 στίλβωνα ex F restitui || 6 πλατεῖαν A [πλατεῖ F]: corr. Canter || 9 15 6 additur post 13 7 φλόγας || 18 cf. II 7 1 p. 336b 2 || 19 titulum ex generali c. 24 excerpsi || 20 16 1 additur post 13 3 ἡστερωκέναι || 23 16 2 additur post § 7 καλεῖσθαι || 26 τούτω F: τοῦτο C || 28 ex § 5 restituere pronum est ἐφ' ὧν ἕκαστος (sc. ἀστὴρ) ἐμβέβηκε. audiendum φέρεσθαι

PLUTARCHI EPIT. II 16. 17

Ἀναξιμένης οὐχ ὑπὸ τὴν γῆν, περὶ αὐτὴν δὲ στρέφεσθαι τοὺς ἀστέρας.

Πλάτων καὶ οἱ μαθηματικοὶ ἰσοδρόμους εἶναι τὸν ἥλιον τὸν ἑωσφόρον τὸν στίλβωνα.

ιζ. Πόθεν φωτίζονται οἱ ἀστέρες. G 59

E XV 48 1—4

Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀστέρας ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

Ἡράκλειτος καὶ οἱ Στωικοὶ τρέφεσθαι τοὺς ἀστέρας ἐκ τῆς ἐπιγείου ἀναθυμιάσεως.

Ἀριστοτέλης μὴ δεῖσθαι τὰ οὐράνια τροφῆς· οὐ γὰρ φθαρτά, ἀλλ' ἀίδια.

Πλάτων κοινῶς τὸν κόσμον ὅλον καὶ τὰ ἄστρα ἐξ αὐτοῦ τρέφεσθαι.

STOBAEI ECL. I 24 1

(Ἀναξιμένης) οὐχ ὑπὸ τὴν γῆν [δέ], ἀλλὰ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας.

(Τῶν μαθηματικῶν τινες) ταὐτὸν [δὲ] πεπονθέναι τῷ ἑωσφόρῳ τὸν στίλβωνα, ἰσοδρομεῖν δὲ αὐτοὺς τῷ ἡλίῳ καὶ συμπεριφέρεσθαι αὐτῷ· καὶ τότε μὲν προανατέλλοντα ἑωσφόρον φαίνεσθαι, τότε δὲ ἐπικαταδυόμενον ἕσπερον καλεῖσθαι.

Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀστέρας ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

Στράτων καὶ αὐτὸς τὰ ἄστρα ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι.

Διότιμος Τύριος ὁ †διοχρίτιος τὴν αὐτὴν τούτοις εἰσηνέγκατο γνώμην.

(Παρμενίδης καὶ Ἡράκλειτος) τρέφεσθαι [δὲ] τοὺς ἀστέρας ἐκ τῆς ἀπὸ γῆς ἀναθυμιάσεως.

(Ἀριστοτέλης) μὴ δεῖσθαι [δὲ] τὰ οὐράνια τροφῆς· οὐ γὰρ φθαρτά, ἀλλ' ἀίδια εἶναι.

(Πλάτων) κοινῶς [δὲ] τὸν κόσμον ὅλον καὶ τὰ ἄστρα ἐξ αὐτοῦ τρέφεσθαι.

1 οὐχ E cf. Prol. p. 136: ὁμοίως (A)BC || περὶ αὐτὴν δὲ E: καὶ περὶ αὐτὴν (A)BC || 5 φωσφόρον EG || 6 στιλβωνα E[DFG] cf. c. 15 4: στιλβοντα (A)BC || 11 ἀστέρας EG: om. (A)BC: ἀπλανεῖς καὶ πλανήτας scripsit Beck ex G interpolato || προσλάμπεσθαι GAC: καταλάμπεσθαι E: λάμπεσθαι B || 19 κοινῶς τὸν κόσμον ὅλον E: καὶ [καὶ om. AB] οἱ Στωικοὶ ὡς ὅλον τὸν κόσμον (A)BC || 20 αὐτοῦ E: αὐτῶν (A)B: αὐτῶν C

1 16 6 additur post 19 2 μόνον || 4 16 7 additur post 15 5 ἥλιον || ταυτὸν A: ταυτὸ Heeren || 6 στιλβωνα F: στιλβονα C cf. c. 15 4 || 16 ὁ διοχρίτιος A: ὁ διαχριτικός Heeren. ὁ Διοχράτου vel Διοχρίτου Meineke, quod collocatum post Τύριος displicet. num ὁ Δημοχρίτειος? nam etiam post Alexandrum M. studuisse quidam videntur Democrito, cuius de criterio placita enarrans inducitur Diotimus a Sext. adv. math. VII 140, quem cave confundas cum Stoico Diotimo Zenonis Epicurei aequali (Laert. X 3) quem Athen. XIII 611 B Theotimum nominat || 18 17 4 additur post 13 8 ἄστρα. sed dubium hic Parmenidis lemma. de Heraclito cf. ad 13 8. Prol. 164 || 21 17 5 additur post 13 13 ἄστρα || 24 17 6 additur post 13 12 στοιχείων || 25 αὐτοῦ ante Gaisfordium

ιη. Περὶ τῶν καλουμένων Διοσκούρων. G 60

E XV 49 1. 3

Ξενοφάνης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα. 1

Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας. 2

(Ξενοφάνης) τοὺς [δὲ] ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, οὓς καὶ Διοσκούρους καλοῦσί τινες, νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα.

ιθ. Περὶ ἐπισημασίας ἀστέρων καὶ πῶς γίνεται χειμὼν καὶ θέρος. G. 61

Πλάτων τὰς ἐπισημασίας τάς τε θερινὰς καὶ τὰς χειμερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολάς τε καὶ δυσμὰς γίνεσθαι [ἡλίου τε καὶ σελήνης καὶ τῶν ἄλλων πλανητῶν καὶ ἀπλανῶν]. 1

Ἀναξιμένης δὲ διὰ μὲν ταῦτα μηδὲν τούτων, διὰ δὲ τὸν ἥλιον μόνον. 2

Εὔδοξος Ἄρατος κοινῶς διὰ πάντας τοὺς ἀστέρας, ἐν οἷς φησίν· 3

αὐτὸς γὰρ τάδε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτόν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν.

Περὶ ἐπισημασίας ἄστρων.

(Πλάτων) τὰς [δὲ] ἐπισημασίας τὰς τε χειμερινὰς καὶ τὰς θερινὰς κατὰ τὰς τῶν ἄστρων ἐπιτολάς τε καὶ δυσμὰς γίνεσθαι.

(Ἀναξιμένης) τὰς δὲ ἐπισημασίας γίγνεσθαι διὰ τὸν ἥλιον μόνον·

Εὔδοξος καὶ Ἄρατος τὰς ἐπισημασίας κατὰ τὰς τῶν ἄστρων ἐπιτολὰς γίνεσθαι. λέγει γοῦν Ἄρατος ἐν τοῖς Φαινομένοις οὕτως·

αὐτὸς γὰρ τά γε σήματ' ἐν οὐρανῷ ἐστήριξεν
ἄστρα διακρίνας. ἐσκέψατο δ' εἰς ἐνιαυτόν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν.

---

1 περὶ τῶν E cf. G: περὶ τῶν ἄστρων τῶν A et ind. C: περὶ ἄστρων τῶν B: περὶ τῶν ἀστέρων τῶν C (context.) || 5 νεφέλια cf. Prol. p. 220² || 6 παραλάμποντα (A)BC: παραλάμποντας E cf. G || 10 ἀστέρων BC Psellus d. omn. d. 102 (136): ἄστρων A || 16 ἡλίου — ἀπλανῶν propter collocationem suspecta om. G || 17 τε καὶ B || 19 ταῦτα B: ταύτην (A)C. illud coniecerat Reiske. διὰ μηδὲν τούτων Wyttenbach || 21 Ἄρατος vv. 10 – 12 || 23 τά γε Aratus || 27 μάλα B

1 titulus deest || 18 1 additur post 13 14 σβέσεις
6 titulum ex generali c. 24 excerpsi
7 19 1 additur post 15 4 σελήνην
11 19 2 additur post 14 3 χρυσταλλοειδεῖ
21 οἵ μάλιστα — σημαίνουσιν F: recte C

PLUTARCHI EPIT. II 20

κ. Περὶ οὐσίας ἡλίου. G 62 E XV 23 1—9

Ἀναξίμανδρος κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς, ἁρματείῳ τροχῷ παραπλήσιον, τὴν ἀψῖδα ἔχοντα κοίλην, πλήρη πυρός, κατά τι μέρος ἐκφαίνουσαν διὰ στομίου τὸ πῦρ ὥσπερ διὰ πρηστῆρος αὐλοῦ· καὶ τοῦτ' εἶναι τὸν ἥλιον.

Ξενοφάνης ἐκ πυριδίων τῶν συναθροιζομένων μὲν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον· ἢ ἐκ νεφῶν πεπυρωμένων.

STOBAEI ECL. I 25 1

Περὶ οὐσίας ἡλίου.

1 Ἀναξίμανδρος κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς, ἁρματείῳ τροχῷ παραπλήσιον, ἔχοντα κοίλην περιφέρειαν, πλήρη πυρός, κατὰ μέρος ἐκφαίνουσαν διὰ στομίου τὸ πῦρ ὥσπερ διὰ πρηστῆρος.

2 Ἀναξιμένης πύρινον ὑπάρχειν τὸν ἥλιον ἀπεφήνατο.

3 Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον.

** Θεόφραστος ἐν τοῖς Φυσικοῖς

1 οὐσίας (A)B (ind.) C: om. EGB (cont.) || ἡλίου EGC: ἡλίου καὶ ὅτι καὶ δύο καὶ τρεῖς εἰσιν AB v. Pselli ind. Prol. p. 30 cf. § 13 || 3 de § 1 cf. Prol. p. 134 || 4 ἁρματείῳ τροχῷ τὴν ἀψῖδα παραπλήσιον E: ἁρματείῳ τροχῷ τὴν ἀψῖδα παραπλησίως G: ἁρματείου τροχῷ τὴν ἀψῖδα παραπλήσιον AB: ἁρματείου τροχοῦ τ. ἀ. π. C: restitui ex E mutata distinctione || 6 κοίλον E || κατά E cf. G: ἧς κατά (A)BC || 7 ἐκφαινούσης E(A)BC: correxi e Stob. ἐκφαίνειν ex E vulgato Beck || 8 πρηστῆρος αὐλοῦ i. e. ἀκροφυσίου [Thucyd. IV 100 2] cf. Prol. 25 sq. || 10 τῶν φαινομένων συναθροιζομένων E cf. Prol. p. 8 || 13 ἢ om. E || ἐκ νεφῶν πεπυρωμένων E cf. Achill.: νέφος πεπυρωμένον (A)BC

1 de titulo cf. Prol. p. 67

3 ἁρματίῳ A

5 περιφέρειαν glossema esse vocis ἀψῖδα ex Plut. et c. 25 1 intellegitur

11 Theophrasti nomen, cuius de Xenophane sententiam addiderat Aëtius, ab illo inepte seiunxit Stobaeus. intercidisse ἢ ὡς coniecit Usener ad Theophr. fr. 16 cf. Prol. p. 140. 217. 220

TESTIMONIA PLUTARCHI

20 1 **Achill.** p. 138 B [cf. Prol. p. 33] τινὲς δὲ, ὧν ἐστι καὶ Ἀναξίμανδρος, φασὶ πέμπειν αὐτὸν τὸ φῶς σχῆμα ἔχοντα τροχοῦ. ὥσπερ γὰρ ἐν τῷ τροχῷ κοίλη ἐστὶν ἡ πλήμνη, ἔχει δὲ ἀπ' αὐτῆς ἀνατεταμένας τὰς κνημῖδας πρὸς τὴν ἔξωθεν τῆς ἀψῖδος περιφοράν, οὕτω καὶ αὐτὸν ἀπὸ κοίλου τὸ φῶς ἐκπέμποντα τὴν ἀνάτασιν τῶν ἀκτίνων ποιεῖσθαι καὶ ἔξωθεν αὐτὰς κύκλῳ φωτίζειν, τινὲς δὲ [immo idem Anaximander cf. Prol. p. 26] ὡς ἀπὸ σάλπιγγος ἐκ κοίλου τόπου καὶ στενοῦ ἐκπέμπειν αὐτὸν τὸ φῶς ὥσπερ πρηστῆρας.

3 **Idem** p. 138 D τινὲς δὲ τῶν φυσικῶν ἐξ ἀναθυμιάσεως γῆς καὶ νεφῶν αὐτὸν εἶναι.

ALIORUM EX AETIO EXCERPTA

20 1 **Theodoret.** IV 22 οἱ δέ φασιν ἁρματιαίῳ [l. ἁρματείῳ] τροχῷ παραπλήσιον (sc. τὸν ἥλιον).

20 3 **Idem** IV 21 καὶ μέντοι καὶ τὸν ἥλιον καὶ τὴν σελήνην ὁ Ξενοφάνης νέφη εἶναι πεπυρωμένα φησίν.

γέγραφεν ἐκ πυριδίων μὲν τῶν συναθροιζομένων ⟨ἐκ⟩ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον.

Οἱ Στωικοὶ ἄναμμα νοερὸν ἐκ θαλάττης. 4 Κλεάνθης ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης τὸν ἥλιον. 5

Πλάτων ἐκ πλείστου πυρός. 5

Ἀναξαγόρας Δημόκριτος Μητρόδωρος μύδρον ἢ πέτρον διάπυρον. 6 Ἀναξαγόρας μύδρον ἢ πέτρον διάπυρον εἶναι τὸν ἥλιον.

7 Δημόκριτος μύδρον ἢ πέτρον διάπυρον.

8 Παρμενίδης καὶ Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον.

8a Παρμενίδης τὸν ἥλιον καὶ τὴν σελήνην ἐκ τοῦ γαλαξίου κύκλου ἀποκριθῆναι, τὸν μὲν ἀπὸ τοῦ ἀραιοτέρου μίγματος, ὃ δὴ θερμόν, τὴν δὲ ἀπὸ τοῦ πυκνοτέρου, ὅπερ ψυχρόν.

9 Θαλῆς γεοειδῆ τὸν ἥλιον.

10 Διογένης κισηροειδῆ τὸν ἥλιον, εἰς ὃν ἀπὸ τοῦ αἰθέρος ἀκτῖνες ἐναποστηρίζονται.

Ἀριστοτέλης σφαῖραν ἐκ τοῦ πέμπτου σώματος. 11

Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς, ὥστε προσεοικέναι ἡλίῳ τὸ ἐν τῷ οὐρανῷ πυρῶ- 12 Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν, ὥστε τρόπον τινὰ διττοὺς

4 de lemmate cf. Prol. p. 64 || 6 ἐκ om. E[CFG] de § 6 p. 138 || 8 δίσκον ὑαλοειδῆ E cf. Zeller I³ 365⁴ Prol. p. 8 || 2 τὸ ἐν τῷ κόσμῳ πρὸς τὴν E[BCF] || ἀνταύγειαν διηθοῦντα om. B quorum loco glossemata ἔλλαμψιν πέμποντα inserta sunt || 11 προσεοικέναι ἡλίῳ E(A)B (ἡλίου E[c]): προσεῖναι corrector Vossiani cf. Proleg. p. 14 || 12 τῷ om. E

2 ἐκ om. A: restitutum ex Plut.
4 ἄναλμα A: corr. Heeren
20 § 11 om. a Stob. cf. Arii fr. 10
23 πρὸς A: corr. Heeren

TESTIMONIA PLUTARCHI

20 5 **Idem** p. 138 D τὴν δὲ οὐσίαν τοῦ ἡλίου Πλάτων περιέργως ἐκ πυρὸς εἶναί φησιν.

6 **Idem** l. c. Ἀναξαγόρας μύδρον αὐτὸν εἶπε.

12 **Achill.** l. c. Φιλόλαος δὲ τὸ πυρῶδες καὶ διαυγὲς λαμβάνοντα ἄνωθεν ἀπὸ τοῦ αἰθερίου πυρὸς πρὸς ἡμᾶς πέμπειν τὴν αὐ-

ALIORUM EX AETIO EXCERPTA

20 5 **Theodoret.** l. c. post § 11 ὁ δὲ Πλάτων τὸ μὲν πλεῖστον ἔχειν ἐκ τοῦ πυρός, μετέχειν δὲ καὶ τῶν ἄλλων σωμάτων.

6. 7 **Idem** l. c. post § 3 Ἀναξαγόρας δὲ καὶ Δημόκριτος καὶ Μητρόδωρος μύδρον ἢ πέτρον διάπυρον.

9 **Idem** l. c. Θαλῆς δὲ γεώδη.

10 **Idem** l. c. κισηροειδῆ δὲ Διογένης.

11 **Idem** l. c. ὁ δὲ Ἀριστοτέλης σφαῖραν εἶναι ἐκ τοῦ πέμπτου σώματος συνεστῶσαν.

12 **Idem** l. c. Φιλόλαος δὲ ὁ Πυθαγόρειος ὑαλοειδῆ δεχόμενον μὲν τοῦ ἐν τῷ

PLUTARCHI EPIT. II 20

ὂες τό τε δὴ ἀπ' αὐτοῦ πυρῶδες καὶ ἐσοπτροειδὲς καὶ τρίτον τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν· καὶ γὰρ ταύτην προσονομάζομεν ἥλιον οἱονεὶ εἴδωλον εἰδώλου.

13 Ἐμπεδοκλῆς δύο ἡλίους· τὸν μὲν ἀρχέτυπον, πῦρ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, ἀεὶ καταντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον, ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν γίγνομένην εἰς τὸν ἥλιον τὸν χρυσταλλοειδῆ, συμπεριελκομένην δὲ τῇ κινήσει τοῦ πυρίνου· ὡς δὲ βραχέως εἰρῆσθαι *συντεμόντα,* ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον.

14 Ἐπίκουρος γήινον πύκνωμα *χισηροειδῶς καὶ σπογγοειδῶς* ταῖς κατα-

STOBAEI ECL. I 25 1

ἡλίους γίγνεσθαι, τό τε ἐν τῷ οὐρανῷ πυρῶδες καὶ τὸ ἀπ' αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές· εἰ μή τις καὶ τρίτον λέξει τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν.

13 Ἐμπεδοκλῆς δύο ἡλίους· τὸν μὲν ἀρχέτυπον, πῦρ ὃν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, αἰεὶ κατ' ἀντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον, ἀνταύγειαν, ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν γιγνομένην εἰς τὸν ἥλιον κρυσταλλοειδῆ, συμπεριελκομένην τῇ κινήσει τοῦ πυρίνου. ὡς δὲ βραχέως εἰρῆσθαι *συντεμόντα,* ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον.

14 Ἐπίκουρος γήινον πύκνωμα τὸν ἥλιόν φησιν εἶναι *χισηροειδῶς καὶ

1 τό τε δὴ — τρίτον om. E || πυρῶδες om. (A)BC: restitui ex G || καὶ ἐσοπτροειδὲς (A)BC: an κατ' ἐσ.? || 2 τῇ et 3 διασπειρομένῃ E || τοῦ om. C || 3 ἐνόπτρου E: ἐσόπτρου (A)BC || 5 προσονομάζομεν EAB: προσαγορεύομεν C || 7 τὸ μὲν E || 9 πεπληρωκὸς (A)BC: πεπληρωκότος E cf. Prol. p. 53 || 10 τῆς ἀνταυγείας αὐτοῦ (om. τεταγμένον) E cf. Prol. p. 8 || 11 τὸ δὲ E || 12 ἀνταύγειαν εἶναι E || 13 τοῦ post ἀέρος om. B || 15 κατ' ἀνάκλασιν ἐγγινομένην (A)BC: κατ' ἔμφασιν γιγνόμενον ἥλιον ὡς δὲ [διὰ add. B] E || 17 συμπεριελκομένην EBC: συμπεριπλεκομένην A || 18 βραχέος B || συντεμόντα sic E(A)BC cf. Prol. p. 53 || 20 πυρὸς τὸν (A)BC: πῦρ εἶναι E[DEFG] || 21 χισηροειδῶς GE[DEFG]AB: χισσηροειδὲς E [vulgata] C || 22 καὶ σπογγοειδῶς

9 πεπληρωκότος A cf. E apud Plut. Prol. p. 53

10 αἰεὶ A quod retinui

17 συντεμόντα cf. Prol. p. 53. συντεμόντι Meineke

ὑπόστασιν γίνεται οἷον ὄμβρος χάλαζα, τὰ δὲ κατ' ἔμφασιν ἰδίαν οὐκ ἔχοντα ὑπόστασιν· αὐτίκα γοῦν πλεόντων ἡμῶν ἡ ἤπειρος κινεῖσθαι δοκεῖ. ἔστιν οὖν κατ' ἔμφασιν ἡ ἶρις.

Πλάτων φησὶ Θαύμαντος αὐτὴν γενεαλογῆσαι τοὺς ἀνθρώπους διὰ τὸ θαυμάσαι ταύτην. Ὅμηρος

ἠύτε πορφυρέην νεφέλην θνητοῖσι τανύσσει.

καὶ ἐμυθεύσαντό τινες αὐτὴν ταύρου κεφαλὴν ἔχουσαν ἀναρροφεῖν τοὺς ποταμούς.

Πῶς οὖν γίγνεται; ὁρῶμεν δὴ κατὰ γραμμὰς ἢ κατ' εὐθείας ἢ κατὰ καμπύλας ἢ κατ' ἀνακλωμένας, γραμμὰς δὲ λόγῳ θεωρητὰς καὶ ἀσωμάτους.

κατὰ μὲν οὖν εὐθείας ὁρῶμεν τὰ ἐν ἀέρι καὶ τὰ διὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων, λεπτομερῆ γὰρ ταῦτα πάντα. καμπύλας δὲ γραμμὰς καθ' ὕδατος βλέπομεν· κάμπτεται γὰρ ἡ ὄψις βίᾳ διὰ τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην· διὸ καὶ τὴν κώπην ἐν τῇ θαλάσσῃ μακρόθεν καμπτομένην βλέπομεν. τρίτος τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα ὡς τὰ κατοπτρικά. ἔστιν οὖν τὸ τῆς ἴριδος πάθος τοιοῦτον· δεῖ γὰρ ἐπινοῆσαι τὴν ὑγρὰν ἀναθυμίασιν εἰς νέφος μεταβάλλουσαν, εἶτα ἐκ τούτου κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας νοτιζούσας. ὅταν οὖν ὁ ἥλιος γένηται ἐν δυσμαῖς, ἀνάγκη πᾶσα ἶριν ἄντικρυς ἡλίου φαίνεσθαι· τότε γὰρ ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνα-

6 φησὶν ἐκ B || θαύματος AB: recte C cf. Plat. Theaet. p. 155 D || 8 Ὅμηρος P 547 || 11 τινες Pythagoreos intellegit Lobeck Aglaoph. 895, o. sed distat Ael. V 4 IV 17 || 14 οὖν AB: γοῦν C || 17 ἀδήλους delevi || 27 ἀνακτώμενα A || 31 ἐκ τούτου G: ἐκ τοῦ (A)C: om. B || 33 εἰς δυσμάς (A)BC: ἐν δυσμῇ G || πᾶσα AB: πᾶσαν GC || 34 τότε G: ὅτε (A)BC

1 οἷον γίνεται A: transposuit Heeren

6 θαυμαστῶς A: corr. Canter

9 ἤντε F [om. haec C] || νεφέλην F: ἶριν Homerus cf. Plut. || θνητῆσι τανύσει F

17 δὲ λέγω vulgo: correxi ex Plut. potuit etiam post λέγω addi λόγῳ

33 πᾶσαν F: corr. Heeren cf. Io. Gottl. Schneider ecl. phys. I 400

ὥστε γίνεσθαι τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαί, ἀλλὰ χρώματος. καὶ ἔχει τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυροῦν, τὸ δὲ τρίτον κυανοῦν καὶ πράσινον. μήποτε τὸ μὲν φοινικοῦν, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα καὶ ἡ ἀκραιφνὴς λαμπηδὼν ἀνακλωμένη ἐρυθρὸν ποιεῖ καὶ φοινικοῦν τὸ χρῶμα· τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας ἁλουγρές· ἄνεσις γὰρ τοῦ ἐρυθροῦ τοῦτο. ἔτι δὲ μᾶλλον ἐπιθολούμενον τὸ ὁροσίζον εἰς τὸ πράσινον μεταβάλλει. ἔστιν οὖν τοῦτο δοκιμάσαι δι' ἔργων· εἰ γάρ τις ἄντικρυς τῶν ἡλίου ἀκτίνων λάβῃ ὕδωρ καὶ πυτίσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει ἐγγιγνομένην ἶριν· καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν.

Ἀναξιμένης ἶριν γίνεσθαι κατ' αὐγασμὸν ἡλίου πρὸς νέφει πυκνῷ καὶ παχεῖ καὶ μέλανι παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέραν διακόπτειν ἐπισυνισταμένας αὐτῷ.

Ἀναξαγόρας ἀνάκλασιν ἀπὸ νέφους πυκνοῦ τῆς ἡλιακῆς περιφεγγείας,

κλᾶται, ὥστε γίγνεσθαι τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαί, ἀλλὰ χρώματος. καὶ ἔχει τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυροῦν, τὸ δὲ τρίτον κυανοῦν καὶ πράσινον. μήποτε τὸ φοινίκινον, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα καὶ ἡ λαμπηδὼν ἀκραιφνὴς ἀνακλωμένη ἐρυθρὸν ποιεῖ καὶ φοινίκειον χρῶμα· τὸ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκκαιόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας ἁλουργές. . . . . .

. . . . . .

τὸ ὁροσίζον εἰς τὸ πράσινον μεταβάλλει. ἔστι δὲ τοῦτο δοκιμάσαι δι' ἔργων· εἰ γάρ τις ἀντικρὺ στὰς τοῦ ἡλίου λάβῃ ὕδωρ καὶ πυτίσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει γινομένην ἶριν. καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν.

---

2 μορφαί G: μορφή (A)BC || 5 κυανοῦν G: κυάνεον (A)BC || 6 μήποτε G: μήποτ' οὖν (A)BC || 10 φοινικοῦν G: φοινίκεον (A)BC || 14 μᾶλλον GB: πάλιν (A)C cf. Prol. p. 35 || 15 ὁροσίζον G: διορίζον (A)BC mire consentientes cum Stob. || 15 τὸ post εἰς om. B || 17 ἄντικρυς AB: ἀντικρύ C || 17 τοῦ ἡλίου om. ἀκτίνων G || 18 πιτύσει AB cf. G: πτύσῃ C: correxi || 20 ἐγγιγνομένην G: γινομένην (A)BC || 24 ἀνταυγασμὸν G, sed cf. Schol. Arat. p. 136, 40 B. ἡνίκα ἂν ἐπιπέσωσιν αἱ τοῦ ἡλίου αὐγαὶ εἰς παχὺν καὶ πυκνὸν ἀέρα cf. Prol. p. 231. 137 || 26 διακόπτειν GAB: διακόψαι C || 29 περιφεγγίας AB

3 χρώματος μορφαὶ ἀλλὰ σχήματος F: corr. Heeren || 6 μήποτε F: μήποτ' οὖν ex Plut. vulg. addidit Heeren || 7 τὸ φοινίκινον F: τὸ μὲν φοινίκεον Heeren || 10 φοινίκειον F: φοινίκεον Heeren: φοινικοῦν ut antea Meineke || τὸ δὲ Heeren || 13. 14 intercidit versus quem ex Plut. expleas || 15 διορίζον F casu consentiens cum Plut. codd. || 16 διορίσαι F mendoso verbo huc ex superiore versu translato: restitui Plutarcheum δοκιμάσαι || διεῖργον F: corr. Heeren || 18 πυτίσοι F: correxi. vulgo πτύσῃ. εἰ cum coniunctivo noli mutare || 20 εὕρῃ εἰς γινομένην F: fortasse latet εὑρήσει ἐγγινομένην. vulgo εὑρήσει εἰσγιγνομένην [sic] || 21 τὴν ante ἶριν invito codice Heeren

καταντικρὺ δὲ τοῦ κατοπτρίζοντος αὐτὴν ἀστέρος διὰ παντὸς ἵστασθαι. παραπλησίως δὲ αἰτιολογεῖται τὰ καλούμενα παρήλια, γινόμενα δὲ κατὰ τὸν Πόντον.

Μητρόδωρος ὅταν διὰ νεφῶν ἥλιος διαλάμψῃ, τὸ μὲν νέφος κυανίζειν, τὴν δ' αὐγὴν ἐρυθραίνεσθαι. 12

ϛ. Περὶ ῥάβδων.

Τὰ κατὰ τὰς ῥάβδους καὶ ἀνθηλίους συμβαίνοντα μίξει τῆς ὑποστάσεως καὶ ἐμφάσεως ὑπάρχει, τῶν μὲν νεφῶν ὁρωμένων, οὐ κατ' οἰκεῖον δὲ χρῶμα, ἀλλ' ἕτερον ὅπερ κατὰ ἔμφασιν φαίνεται. ἐν δὲ τούτοις πᾶσι τά τε κατὰ φύσιν καὶ τὰ ἐπίκτητα ὅμοια συμβαίνει πάθη.

ζ. Περὶ ἀνέμων. G 79

Περὶ ἀνέμων.

Ἀναξίμανδρος ἄνεμον εἶναι ῥύσιν ἀέρος τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τοῦ ἡλίου κινουμένων ἢ τηκομένων. 1

Οἱ Στωικοὶ πᾶν πνεῦμα ἀέρος εἶναι ῥύσιν, ταῖς τῶν τόπων δὲ παραλλαγαῖς τὰς ἐπωνυμίας παραλλάττουσαν· οἷον τὸν ἀπὸ τοῦ ζόφου καὶ τῆς 2

2 αὐτὴν [scil. ἶριν] AB: αὐτὸν C: αὐτὸ sc. νέφος coniecerat Reiske || 3 αἰτιολογεῖται AB cf. III 2 5 et schol. Arat. p. 137, 4 B. [Prol. p. 231]: φυσιολογεῖται C || 5 τὸν om. B || Πόντον cf. Arist. meteor. III 2 p. 372ª 15 || 7 ὁ ἥλιος B || 9 de hoc capite dixi Prol. p. 60 || 12 ὑπάρχει B: ὑπάρχειν AC || 14 κατὰ ἔμφασιν B cf. c. 5 1: κατὰ τὴν ἔμφασιν (A)C || 16 τὰ ἐπίκτητα AB: κατ' ἐπίκτησιν C || scribe ὁμοίως aut ὅμοια εἶναι || 20—22 τὴν λεπτοτάτην—ὑγροτάτην—κινουμένην ἢ τηκομένην B || 25 παραλλάττουσαν C: παραλλάττουσιν (A)B || 26 τὸν G: om. (A)BC || ἀπὸ τε ζόφου B

TESTIMONIA PLUTARCHI

7 1 **Achill.** p. 157 B Ἀναξίμανδρος τοίνυν ῥύσιν ἀέρος τὸν ἄνεμον εἶπε.

δύσεως ζέφυρον, τὸν ⟨δὲ⟩ ἀπὸ τῆς ἀνατολῆς καὶ τοῦ ἡλίου ἀπηλιώτην, τὸν δὲ ἀπὸ τῶν ἄρκτων βορέαν, τὸν δὲ ἀπὸ τῶν νοτίων λίβα.

3 Μητρόδωρος ὑδατώδους ἀναθυμιάσεως διὰ τὴν ἡλιακὴν ἔκκαυσιν γίνεσθαι ὁρμὴν πνευμάτων † θείων· τοὺς δὲ ἐτησίας πνεῖν τοῦ πρὸς ταῖς ἄρκτοις παχυνθέντος ἀέρος ὑποχωροῦντι τῷ ἡλίῳ κατὰ τὴν θερινὴν τροπὴν ἐπισυρρέοντος.

4 Ἀριστοτέλης τῆς ξηρᾶς ἀναθυμιάσεως τὴν πρώτην ἀναφοράν· γίνεσθαι δέ ποτε τῇ ξηρᾷ πρὸς τὴν ὑγρὰν μῖξιν. πνεῦμα μὲν ἐκ πολλῶν συνιουσῶν ἀναθυμιάσεων, τὸν γὰρ ἄνεμον μὲν εἶναι ξηρᾶς ἀναδόσεως πλῆθος κινούμενον περὶ γῆν· τοὺς δ' ἐκνεφίας ἀνέμους, ὅταν ἀθρόον καὶ πυκνὸν φερόμενον εἰς ἑαυτὸ τὸ πλέον ἀναλύσῃ τοῦ νέφους τῇ σφοδρότητι τῆς ῥύμης. τὸ γὰρ τάχος τῆς ἐκχρίσεως ποιεῖν τὴν τοῦ πνεύματος ἰσχύν.

η̄. Περὶ χειμῶνος καὶ θέρους. G 80

Ἐμπεδοκλῆς καὶ οἱ Στωικοὶ χειμῶνα μὲν γίνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει καὶ εἰς τὸ ἀνωτέρω βιαζομένου, θερείαν δὲ τοῦ

1 Ἐμπεδοκλῆς καὶ οἱ Στωικοὶ χειμῶνα μὲν γίνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει εἰς τὸ ἀνωτέρω βιαζομένου, θερείαν δὲ τοῦ

1 τὸν G: om. (A)BC || δὲ addidi || 2 καὶ GC: om. AB || δὲ v. 2 et 3 om. G || 3 βορέαν GAB: εἶναι βορέαν C || 5 ἐξ ὑδατώδους B || 7 θείων corruptum. Beck tentat θοῶν vel πνευματώδη, Reiske ὁμοίαν. veri similius scribes θερμῶν vel ἀθρόων cf. Laert. X 104. [Arist.] d. mund. p. 394 b 8 || 8 ἐτησίας G(A)C: ἐτησίους B || πρὸς ταῖς GB: πρὸς τοῖς (A)C || 11 ἐπισυρρέοντας (A)BC: correxi || 16 θερείαν (A)BC: θέρος G et mrg. C pr. man. cf. Prol. p. 37

1 cum ventorum origo v. 7 iteretur, Aëtii et Arii Didymi excerpta coaluisse puto. certe τὸν γὰρ ἄνεμον μὲν non recte cum antecedentibus coniungitur. accedit quod venti definitio accurate descripta est ex meteorol. II 4 p. 361 a 30 et ἐκνεφίας ex III 1 p. 370 b 7, quem locum excerpta Arii fr. 12 continuant. cf. Prol. p. 75*

7 περὶ F cf. Arist. l. c. p. 361 a 31: ἐπὶ C 14 § 1 in c. 8 περὶ χρόνου servatur

TESTIMONIA PLUTARCHI

7 3 **Achill.** l. c. τινὲς δὲ ἀναθυμίασιν ἀέρος.

PLUTARCHI EPIT. III 8. 9. 10

πυρός, ὅταν εἰς τὸ κατωτέρω βιάζηται.

Περιγεγραμμένων δέ μοι τῶν μεταρσίων ἐφοδευθήσεται καὶ τὰ πρόσγεια.

θ. Περὶ γῆς. G 81
E XV 55 1—5

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ μίαν εἶναι τὴν γῆν.

Ἱκέτης ὁ Πυθαγόρειος δύο, ταύτην καὶ τὴν ἀντίχθονα.

Οἱ Στωικοὶ τὴν γῆν μίαν καὶ πεπερασμένην.

Ξενοφάνης ἐκ τοῦ κατωτέρω μέρους εἰς ἄπειρον [μέρος] ἐρριζῶσθαι, ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι.

Μητρόδωρος τὴν μὲν γῆν ὑπόστασιν εἶναι καὶ τρύγα τοῦ ὕδατος, τὸν δὲ ἥλιον τοῦ ἀέρος.

ι. Περὶ σχήματος γῆς. G 82
E XV 56 1—5

Θαλῆς καὶ οἱ Στωικοὶ καὶ οἱ ἀπ' αὐτῶν σφαιροειδῆ τὴν γῆν.

Ἀναξίμανδρος λίθῳ κίονι τὴν γῆν προσφερῆ· τῶν ἐπιπέδων * * * * * *

1 βιάζηται BC: βιάζεται GA || 3 de § 2 cf. Prol. p. 60. 183 || προγεγραμμένων Reiske || 6 περὶ γῆς EG: περὶ γῆς καὶ τίς ἡ ταύτης οὐσία καὶ πόσαι AB: περὶ γῆς καὶ τίς ἡ οὐσία αὐτῆς καὶ πόση C || 8 de § 1 cf. Prol. p. 181 || 10 οἰκέτης C cf. E[CVG] || αὐτὴν E || 12 μίαν εἶναι πεπερασμένην C sed εἶναι rubrica deletum || 14 de § 4 cf. Prol. p. 140 || κατωτέρω B: κάτω C: κατωτέρου (A) || 15 μέρος EAB: βάθος C: delevi cf. 11 2 et Arist. d. cael. II 13 p. 294ª21 || 16 ἐξ ἀέρος κτλ. Xenocrati tribuenda coniecerat Brandis. at cf. Ritter I 479, Zeller I⁴ 497⁸ || παγῆναι E || 20 γῆς om. A ind. || 22 καὶ οἱ ἀπ' αὐτῶν om. E: Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ G || 24 λίθῳ κίονι sic EG(A)BC cf. Prol. p. 133. 218 || τὴν γῆν C: τῇ γῇ AB om. E cf. G || 25 de lacuna explenda cf. Prol. p. 219

πυρός, ὅταν εἰς τὸ κατωτέρω βιάζηται.

Περὶ γῆς εἰ μία καὶ πεπερασμένη καὶ ποίου μεγέθους.

Περὶ σχήματος γῆς. 5

1 κατώτερον A: corr. Meineke

3 εἰ μία καὶ πεπερασμένη refertur ad III 9 3. 4. caput περὶ μεγέθους γῆς inter c. 9 et 10 omissum est a Plutarcho. cf. Prol. p. 62

Ἀναξιμένης τραπεζοειδῆ. 3
Λεύκιππος τυμπανοειδῆ. 4
Δημόκριτος δισκοειδῆ μὲν τῷ 5
πλάτει, κοίλην δὲ τῷ μέσῳ.

ια. Περὶ θέσεως γῆς. G 83 E XV 57, 1—4 — Περὶ θέσεως αὐτῆς.

Οἱ ἀπὸ Θάλεω τὴν γῆν μέσην. 1
Ξενοφάνης πρώτην, εἰς ἄπειρον 2
γὰρ ἐρριζῶσθαι.
Φιλόλαος ὁ Πυθαγόρειος τὸ μὲν 3
πῦρ μέσον (τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν), δευτέραν δὲ τὴν ἀντίχθονα, τρίτην δὲ τὴν οἰκουμένην γῆν ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῇ ἀντίχθονι· παρ' ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν ἐν τῇδε τοὺς ἐν ἐκείνῃ.
Παρμενίδης πρῶτος ἀφώρισε τῆς 4
γῆς τοὺς οἰκουμένους τόπους ὑπὸ ταῖς δυσὶ ζώναις ταῖς τροπικαῖς.

ιβ. Περὶ ἐγκλίσεως γῆς.

Λεύκιππος παρεκπεσεῖν τὴν γῆν 1
εἰς τὰ μεσημβρινὰ μέρη διὰ τὴν ἐν τοῖς μεσημβρινοῖς ἀραιότητα, ἅτε δὴ πεπηγότων τῶν βορείων διὰ τὸ κατεψῦχθαι τοῖς κρυμοῖς, τῶν δὲ ἀντιθέτων πεπυρωμένων.
Δημόκριτος διὰ τὸ ἀσθενέστερον 2
εἶναι τὸ μεσημβρινὸν τοῦ περιέχοντος, αὐξομένην τὴν γῆν κατὰ τοῦτο ἐγκλιθῆναι· τὰ γὰρ βόρεια ἄκρατα, τὰ δὲ μεσημβρινὰ κέκραται· ὅθεν κατὰ τοῦτο

---

3 μὲν om. E || 4 τῷ μέσῳ E cf. G: τὸ μέσον (A)BC || 5 γῆς G(A)BC: τῆς γῆς E || 7 de § 1 cf. Prol. p. 133 || 9 γὰρ E: om. G(A)BC || 13 τὴν οἰκουμένην γῆν E[CFG]: τὴν οἰκουμένην G: ἣν οἰκοῦμεν γῆν (A)BC || 16 ὑπὸ ταῖς A || ἐν ante τῇδε om. B || 18 § 4 pertinet ad c. 14, quo relegavit Beck. cf. Prol. p. 62: testantur falsum ordinem EG(A)BC || 21 intercidit hoc c. in EG servato tamen titulo in E cf. Prol. p. 7 || 30 αὐξανομένην B

βεβάρηται, ὅπου περισσή ἐστι τοῖς καρποῖς καὶ τῇ αὔξῃ.

Πότερα μένει ἡ γῆ ἢ κινεῖται.

ιγ. Περὶ κινήσεως γῆς. G 84 E XV 58 1—4

Οἱ μὲν ἄλλοι μένειν τὴν γῆν. 1

Φιλόλαος δὲ ὁ Πυθαγόρειος κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλον λοξὸν ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ. 2

Ἡρακλείδης ὁ Ποντικὸς καὶ Ἔκφαντος ὁ Πυθαγόρειος κινοῦσι μὲν τὴν γῆν, οὐ μήν γε μεταβατικῶς, ἀλλὰ τρεπτικῶς, τροχοῦ δίκην ἐνηξονισμένην, ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς περὶ τὸ ἴδιον αὐτῆς κέντρον. 3

Δημόκριτος κατ' ἀρχὰς μὲν πλάζεσθαι τὴν γῆν διά τε μικρότητα καὶ κουφότητα, πυκνωθεῖσαν δὲ τῷ χρόνῳ καὶ βαρυνθεῖσαν καταστῆναι. 4

ιδ. Περὶ διαιρέσεως γῆς. G 85

Πυθαγόρας τὴν γῆν ἀναλόγως τῇ τοῦ παντὸς σφαίρᾳ διῃρῆσθαι εἰς πέντε ζώνας, ἀρκτικὴν ἀνταρκτικὴν θερινὴν 1

2 αὔξῃ AB: αὐξήσει C || 3 inscripsit περὶ ἐγκλίσεως γῆς E cf. Prol. p. 7 || 8 κύκλου λοξοῦ E(A)BC: corr. Reiske. de re cf. Schiaparelli i precursori di Copern. p. 5[11] || 12 ἀλλὰ τρεπτικῶς E[cDFG]: ἀλλὰ τροπικῶς E [vulg. ante Gaisf.]: om. (A)BC || 13 τροχοῦ EABC: τροχοῦ δὲ vulgo || ἐνιζωνισμένην A: ἐνιζομένην C: ἐνι spatio IV litt. relicto B: ἐν ἄξονι στρεφομένην E: correxit Reiske cf. Prol. p. 8 || 16 Δημόκριτος om., sed φησὶν ὁ δημόκριτος post γῆν v. 17 collocant (A)BC: restitui ex E || 17 κουφότητα καὶ μικρότητα B || 20 addunt titulo καὶ πόσαι εἰσὶν αὐτῆς ζῶναι A ind., B [item transposito αὐτῆς post ζῶναι A context.]: πόσαι [om. καὶ] αὐτῆς εἰσι ζῶναι C: supplemento caret G || 21 de Aëtii fide cf. Prol. p. 181 || παντὸς G: παντὸς οὐρανοῦ (A)BC || 23 ἀρκτικὴν ἀνταρκτικὴν G: om. ἀνταρκτικὴν AB: post χειμερινήν transponit C. sed hoc loco aequales zonae binae

χειμερινὴν ἰσημερινήν, ὧν ἡ † μέση τὸ μέσον τῆς γῆς ὁρίζει παρ' αὐτὸ τοῦτο διακεκαυμένη καλουμένη· ἡ δὲ οἰκητή ἐστιν [ἡ μέση τῆς θερινῆς καὶ χειμερινῆς] εὔκρατός τις οὖσα * * * *

ιε. Περὶ σεισμῶν γῆς. G 86

Περὶ σεισμῶν γῆς.

Θαλῆς μὲν καὶ Δημόκριτος 1
ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν.

Οἱ δὲ Στωικοί φασι· σεισμός 2
ἐστι τὸ ἐν τῇ γῇ ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπῖπτον.

Ἀναξιμένης ξηρότητα καὶ ὑγρό- 3
τητα τῆς γῆς αἰτίαν τῶν σεισμῶν, ὧν τὴν μὲν αὐχμοὶ γεννῶσι, τὴν δὲ ἐπομβρίαι.

Ἀναξαγόρας ἀέρος ὑποδύσει τῇ 4
μὲν πυκνότητι τῆς ἐπιφανείας προσπίπτοντος, τῷ δὲ ἔκκρισιν λαβεῖν μὴ δύνασθαι τρόμῳ τὸ περιέχον κραδαίνοντος.

Ἀριστοτέλης διὰ τὴν τοῦ ψυχροῦ 5
πανταχόθεν ἀντιπερίστασιν κάτωθεν

comprehenduntur (aliter II 12), quas singularis numerus copulatas significat cf. v. 3 || 1 ἰσημερινὴν χειμερινὴν desiderabat Reiske || μέση G(A)BC: scribendum videtur μὲν quod utique desideratur || 3 ἡ δὲ sc. θερινὴ καὶ χειμερινή || 4 οἰκητή GAB: οἰκητήριον C || ἡ μέση — χειμερινῆς glossema indico ad ἡ μὲν v. 1 (inde hoc in μέση corruptum arbitror) adscriptum || 5 intercidit sententia talis: ἡ δὲ ἀρκτικὴ καὶ ἀνταρκτικὴ ἀοίκητός ἐστιν ὑπὸ κρύους. recte huc rettulit Beck c. 11 4 cf. Prol. p. 62 || 14 de § 3 cf. Prol. p. 137 || καὶ ἀραίοτητα (A)BC. corr. Galeni Charteriana cf. Arist. meteor. III 7 p. 365b6, 21 || 18 de § 4 cf. Prol. p. 139 || 18 ὑποδύσει ABC: ἀποδύσει ante Reiskeum || 20 τὸ δὲ A || ἔκκρισιν cf. Aristot. meteor. III 1 p. 370b3 || 21 κραδαίνοντος C: κραδαίνεσθαι B: κερδαίνεσθαι A || 23 § 5 iusto brevius excerpta. post ψυχροῦ Reiske τῷ πυρὶ vel τῷ θερμῷ desiderat

καὶ ἄνωθεν αὐτῇ περιστάντος· τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει ἅτε δὴ κοῦφον ὄν· διὰ τοῦτο ἐν ἀπολήψει γινομένης τῆς ξηρᾶς ἀναθυμιάσεως τῇ σφηνώσει καὶ τοῖς ἀνθελιγμοῖς διαταράττεσθαι.

Μητρόδωρος μηδὲν ἐν τῷ οἰκείῳ 6
τόπῳ σῶμα κινεῖσθαι, εἰ μή τις προώσειεν ἢ καθελκύσειε κατ' ἐνέργειαν· διὸ μηδὲ τὴν γῆν ἅτε δὴ κειμένην φυσικῶς κινεῖσθαι, τόπους δέ τινας αὐτῆς νοστεῖν † τοῖς ἄλλοις.

Παρμενίδης Δημόκριτος διὰ 7
τὸ πανταχόθεν ἴσον ἀφεστῶσαν μένειν ἐπὶ τῆς ἰσορροπίας οὐκ ἔχουσαν αἰτίαν δι' ἣν δεῦρο μᾶλλον ἢ ἐκεῖσε ῥέψειεν ἄν, διὰ τοῦτο μόνον μὲν κραδαίνεσθαι, μὴ κινεῖσθαι δέ.

Ἀναξιμένης διὰ τὸ πλάτος ἐπο- 8
χεῖσθαι τῷ ἀέρι.

Οἱ δέ φασιν ἐφ' ὕδατος, καθάπερ 9
τὰ πλαταμώδη καὶ σανιδώδη ἐπὶ τῶν ὑδάτων· διὰ τοῦτο κινεῖσθαι.

Πλάτων πάσης μὲν κινήσεως ἓξ 10
εἶναι περιστάσεις, ἄνω καὶ κάτω, ἐπὶ τὰ δεξιὰ καὶ θάτερα, ἔμπροσθεν καὶ ὄπισθεν. κατ' οὐδεμίαν δὲ τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι,* ἐν τῷ πανταχόθεν κατωτάτω κειμένην μένειν μὲν ἀκίνητον μηδὲν ἔχουσαν ἐξαίρετον

Πλάτων πάσης κινήσεως ἓξ εἶναι περιστάσεις, ἄνω καὶ κάτω, ἐπὶ δεξιὰ καὶ θάτερα, πρόσθεν καὶ ὄπισθεν. κατ' οὐδεμίαν ⟨δὲ⟩ τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι,* ἐν τῷ πανταχόθεν ἰσωτάτῳ κειμένην μένειν ἀκίνητον ἅτε δὴ μηδὲν ἔχουσαν ἐξαίρετον

1 αὐτῇ (A)BC scil. τῇ γῇ: αὐτοῦ G: αὐτῷ Reiske || 3 ἀπολήψει AC cf. Laert. X 105: ἀπολείψει GBC || 5 ἀντελιγμοῖς G(A)BC || 9 προώσειεν Duebner: προσώσειεν (A)BC || 12 νοστεῖν C: νοσεῖν AB: utique scribendum ὑπονοστεῖν ut Arist. met. II 7 p. 365b12. Diogen. II 9 alii. aliud mendum latet in τοῖς ἄλλοις. tentavi τῷ σάλῳ cf. infra p. 381a2 || 13 de § 7 cf. Prol. p. 142 || 16 ἐκεῖ B || 19 de § 8 cf. Prol. p. 136 || 21 ἐφ' ὕδατος scil. ἐποχεῖσθαι || 22 πλαταμώδη AB cf. Aristot. hist. an. V 16 p. 548a26: πλατανώδη C || 23 διὰ τοῦτο κινεῖσθαι om. B || 25 καὶ AB: om. C || 28 post κινεῖσθαι in Aëtio videtur ἀλλ' intercidisse || 29 κατωτάτην (A)BC: correxi, aliter Stob. μένειν μὲν οὖν Duebner

1 c. περὶ ἀνέμων haec § vulgo falso attribuitur

2 καὶ καθ' ἕτερα A: corr. Canter

4 δὲ addidit Heeren

5 post κινεῖσθαι videtur antiquitus ἀλλ' scriptum fuisse

6 ἰσωτάτῳ non genuinum est cf. Plut. || μένειν μὲν οὖν coni. Heeren

εἰς τὸ ῥέψαι μᾶλλον. τόπους δ' αὐτῆς κατ' ἀραιότητα σαλεύεσθαι.

Ἐπίκουρος ἐνδέχεσθαι μὲν ὑπὸ 11
πάχους ἀέρος τοῦ ὑποκειμένου ὑδατώδους ὄντος ἀναχρουομένην αὐτὴν καὶ οἷον ὑποτυπτομένην κινεῖσθαι· ἐνδέχεσθαι δὲ καὶ σηραγγώδη τοῖς κατωτέρω μέρεσι καθεστῶσαν ὑπὸ τοῦ διασπειρομένου πνεύματος εἰς τὰς ἀντροειδεῖς χοιλότητας ἐμπίπτοντος σαλεύεσθαι.

ἐς τὸ ῥέψαι μᾶλλον, τόπους δὲ αὐτῆς κατ' ἀραιότητα σαλεύεσθαι.

ις. Περὶ θαλάσσης πῶς συνέστη καὶ πῶς ἐστι πικρά. G 87 E XV 59 1—6

Περὶ θαλάττης πῶς συνέστη καὶ πῶς ἐστι πικρά. D θ 1

Ἀναξίμανδρος τὴν θάλασσάν φη- 1
σιν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήρανε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλεν.

Ἀναξαγόρας τοῦ κατ' ἀρχὴν λι- 2
μνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς καὶ τοῦ †λιπαροῦ ἐξατμισθέντος εἰς ἁλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποστῆναι.

Ἐμπεδοκλῆς ἱδρῶτα τῆς γῆς 3
ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπὶ τὸ πλεῖον πίλησιν.

Ἀντιφῶν ἱδρῶτα τοῦ θερμοῦ, ἐξ 4

1 ῥέψαι AB: ῥέπειν C cf. ad Stob. || 3 πάχους AB: τοῦ πάχους C: τοῦ transposuit post πάχους Reiske || 4 τοῦ post ἀέρος om. Duebner || 5 αὐτὴν C: δι' αὐτὴν A: ὑπ' αὐτοῦ B || 10 ἐμπίπτοντος ABC: ἐμπίπτοντας vulgo || 13 συνίστηκε A ind. || 17 πλεῖον CEA: πλεῖστον GB || ἐξήρανε B || 19 μετέβαλεν scil. εἰς πικρόν cf. Theophrast. phys. op. fr. 23 || 20 ἀρχὰς E || 22 λιπαροῦ susp. Roeper Philol. VII 635 qui λεπτομεροῦς coniecit. ipse tentabam λεπτοτέρου cf. III 4 4 || 26 ἐκκαιόμενον B || 27 ἐπὶ τὸ πλεῖον πίλησιν E (πίλωσιν CFG): ἐπιπόλαιον πλῆσιν AB: ἐπιπόλαιον πλύσιν C, cf. Aristot. meteor. II 3 357b 5. Eusebium recte defendunt Karsten et Zeller || 28 τοῦ E: om. (A)BC

1 ἐς τὸ ῥέψαι μᾶλλον haud scio an immerito addubitaverim Prol. p. 54. nam similiter absolute dictum est ῥέπειν μᾶλλον Arist. d. cael. IV 5 p. 312b24 et mech. 33 p. 858a21

οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη τῷ καθεψηθῆναι †παραλυκίσασα, ὅπερ ἐπὶ παντὸς ἱδρῶτος συμβαίνει.

Μητρόδωρος διὰ τὸ διηθεῖσθαι διὰ τῆς γῆς μετειληφέναι τοῦ περὶ αὐτὴν πάχους καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα.

Οἱ ἀπὸ Πλάτωνος τοῦ στοιχειώδους ὕδατος τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν συνιστάμενον γλυκὺ γίνεσθαι, τὸ δ' ἀπὸ γῆς κατὰ περίκαυσιν καὶ ἐκπύρωσιν ἀναθυμιώμενον ἁλμυρόν.

ιζ. Πῶς ἀμπώτιδες γίνονται καὶ πλήμμυραι. G 88

Ἀριστοτέλης Ἡρακλείδης ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ συμπεριφέροντος· ὑφ' ὧν ἐμβαλλόντων μὲν προωθουμένην ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὴν πλήμμυραν, καταληγόντων δ' ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν.

Πῶς ἄμπωτις καὶ πλήμμυραι γίνονται. D A 38

Ἀριστοτέλης καὶ Ἡρακλείδης ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ περιφέροντος· ὑφ' ὧν ἐμβαλλόντων μὲν προωθουμένην ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὴν πλήμμυραν, καταληγόντων δ' ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν.

2 ⟨Δικαίαρχος⟩ ὁ Μεσσήνιος ἡλίῳ καὶτὸς τὴν αἰτίαν ἀνατίθησι, καθ' οὓς μὲν ἂν τόπους γένηται τῆς γῆς πλημμύροντι τὰ πελάγη, ἐξ ὧν δ'

---

1 περιληφθὲν C: περιλειφθὲν EAB || ὑπεκρίθη B || 2 καθεψηθῆναι E: κατεψηθῆναι (A)BC || παραλυκίσασα EAB: παρακυλίσασα C: παραλυκίσαντα Xylander, παραλυκίσαν corrector Vossiani cf. Prol. p. 82². debebant certe παραλυκισθῆναι, sed etiam τοῦ θερμοῦ vix sanum est || 4 διὰ τὸ διηθεῖσθαι EAB: τὸ διηθεῖσαν C || 14 αἱ ἀμπώτιδες A || 15 αἱ πλημμύραι B || 16 ἡρακλείδης AB: ἡράκλειτος C || 17 τὰ GB: τὰ γὰρ (A)C || 19 ἐμβαλλόντων C: ἐμβαλόντων G(A)B || προωθουμένων B || 21 κατασκευάζειν G: παρασκευάζειν (A)BC

1 in Stobaeo exstant solae §§ 1 et 5. ceterae ex Dam. accessere [IV p. 244, 5—245, 6 Mein.] || 3 de Aristotele cf. V. Rose Ar. pseud. p. 604 || 5 περιφέροντος AD: vulgo συμπεριφέροντος || 6 μὲν καὶ A: καὶ om. D || 12 . . . ήνιος ὁ μεσήνιος tribus litteris primis rubricatori relictis D. apparet nomine oblitterato μεσήνιος in archetypi margine repetitum fuisse. in lemmate explendo in idem incidi, quod Meineke proposuit. Dicaearchus etiam IV 2 7 et V 1 4 magistrum subsequitur || 15 πλημμυροῦντι D: correxi cf. IV 1 7 et Cobeti Miscell. p. 218. πλημμύρειν

ἂν τύχῃ παραποστὰς ὑποσυνέλκοντι. ταῦτα δὲ συμβαίνειν περὶ τὰς ἑῴας καὶ τὰς μεσημβρινὰς ἐκκλίσεις.

Πυθέας ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς σελήνης τὰς πλημμύρας γίνεσθαι, τῇ δὲ μειώσει τὰς ἀμπώτιδας.

3 Πυθέας ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς σελήνης καὶ τῇ μειώσει τὰς ἑκατέρου τούτων αἰτίας ἀνατίθησιν.

4 Ποσειδώνιος ὑπὸ μὲν τῆς σελήνης κινεῖσθαι τοὺς ἀνέμους, ὑπὸ δὲ τούτων τὰ πελάγη, ἐν οἷς τὰ προειρημένα γίγνεσθαι πάθη.

Πλάτων ἐπὶ τὴν αἰώραν φέρεται τῶν ὑδάτων· εἶναι γάρ τινα αἰώραν διά τινος [στομίου] τρήματος περιφέρουσαν παλίρροιαν, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη.

5 Πλάτων ἐπὶ τὴν αἰώραν φέρεται τῶν ὑδάτων. εἶναι γάρ τινα φυσικὴν αἰώραν διά τινος ἐγγείου τρήματος περιφέρουσαν τὴν παλίρροιαν, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη.

Τίμαιος τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται, προωθοῦντας μὲν ταῖς ἐφόδοις [καὶ πλήμμυραν ποιοῦντας], ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις [καὶ ἀμπώτιδας κατασκευάζοντας].

6 Τίμαιος ὁ Ταυρομενίτης τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται προωθοῦντας μὲν ταῖς ἐφόδοις, ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις.

7 Κράτης ὁ γραμματικὸς τὸν ἀντισπασμὸν τῆς θαλάσσης αἰτιᾶται.

8 Ἀπολλόδωρος ὁ Κερκυραῖος τὰς ἐκ τοῦ ὠκεανοῦ παλιρροίας.

Σέλευκος ὁ μαθηματικός, κινῶν καὶ οὗτος τὴν γῆν, ἀντικόπτειν αὐτῆς τῇ δίνῃ φησὶ καὶ τῇ κινήσει τὴν περιστροφὴν τῆς σελήνης· τοῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένου πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ Ἀτλαντικὸν πέλαγος κατὰ λόγον αὐτῷ συγκυκᾶσθαι τὴν θάλασσαν.

9 Σέλευκος ὁ μαθηματικὸς ἀντιγεγραφὼς Κράτητι, κινῶν καὶ οὗτος τὴν γῆν, ἀντικόπτειν αὐτῆς τῷ δίνῳ φησὶ τὴν περιστροφὴν τῆς σελήνης. τοῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένου πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ Ἀτλαντικὸν πέλαγος κατὰ λόγον οὕτω συγκυμαίνεσθαι τὴν θάλασσαν.

---

5 et 6 αἰώραν B: ἑώραν (A)C || φέρεται ABC: φέρεσθαι vulgo

7 στομίου glossema quo genuinum ἐγγείου extrusum est

13 impeditior structura Plutarchi additamenta καὶ—ποιοῦντας et καὶ κατασκευάζοντας prodit cf. Prol. p. 65

transitive ap. Orphic. Arg. 492. Philo d. mund. opif. 11 p. 8 et 27 M. itaque frustra Meineke πλημμυρεῖν ποιοῦντι || 1 τύχῃς D || 2 παρὰ D: περὶ corr. Meineke || 4 καθέας ὁ μασαλιήτης D: corr. Gaisford || 33 οὕτω D quod emendare nolui

ιη. Περὶ ἅλω.

Ἡ δὲ ἅλως οὑτωσὶ ἀποτελεῖται. 1
μεταξὺ τῆς σελήνης ἤ τινος ἄλλου ἄστρου καὶ τῆς ὄψεως ἀὴρ παχὺς καὶ ὁμιχλώδης ἵσταται· εἶτα ἐν τούτῳ τῆς ὄψεως κατακλωμένης καὶ εὐρυνομένης κᾆθ' οὕτω τῷ κύκλῳ τοῦ ἄστρου προσπιπτούσης, κατὰ τὴν ἔξω περιφέρειαν κύκλος δοκεῖ περὶ τὸ ἄστρον φαίνεσθαι [ὃς κύκλος φαινόμενος ἅλως καλεῖται, ὅτι ἐστὶν ἅλῳ προσεοικώς], ἐκεῖ δοκοῦντος τοῦ φάσματος γίνεσθαι, ἔνθα συνέπεσε τὸ πάθος τῆς ὄψεως.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Περιωδευμένων δὲ τῶν τοῦ κόσμου μερῶν διαβήσομαι πρὸς τὰ κατὰ μέρος.

ᾱ. Περὶ Νείλου ἀναβάσεως. G 89

Θαλῆς τοὺς ἐτησίας ἀνέμους οἴε- 1
ται πνέοντας τῇ Αἰγύπτῳ ἀντιπροσώπους ἐπαίρειν τοῦ Νείλου τὸν ὄγκον διὰ τὸ τὰς ἐκροὰς αὐτοῦ τῇ παροιδήσει τοῦ ἀντιπαρήκοντος πελάγους ἀνακόπτεσθαι.

---

1 ἅλω C: ἅλως A: ἅλωνος B || de III 18 cf. Prol. p. 60sq. || οὑτωσὶν C || 8 ὅτι (A)C: ὃ B || 11 ἅλῳ scripsi: ἅλω AB: ἅλως C || προσεοικώς B: προσεχῶς (A)C. cum sententia ex B restituta cf. Senec. Qu. N. I 2 2: *Graeci areas vocaverunt quia fere terendis frugibus destinata loca rotunda sunt.* similiter coniecerat Reiske: ὅτι ἐστὶν ἅλωτι προσφερής. indicavi Plutarchi parenthesin, quia ἐκεῖ—ὄψεως cum φαίνεσθαι cohaeret || 12 φαντάσματος B || 13 ἔνθα νῦν ἔπεσε τὸ πάχος (A)BC: corr. Reiske || 16 de prooemio cf. Prol. p. 56 || 17 de IV 1 cf. Prol. p. 61. 226 sqq. || 20 ἐτησίας AC: ἐτησίους GB cf. supra p. 375*8 || 23 παροιδήσει ABC: παρεισδύσει vulgo

Εὐθυμένης ὁ Μασσαλιώτης ἐκ 2
τοῦ ὠκεανοῦ καὶ τῆς ἔξω θαλάσσης
γλυκείας κατ' αὐτὸν οὔσης νομίζει
πληροῦσθαι τὸν ποταμόν.

Ἀναξαγόρας ἐκ τῆς χιόνος τῆς 3
ἐν τῇ Αἰθιοπίᾳ τηκομένης μὲν τῷ
θέρει, ψυχομένης δὲ τῷ χειμῶνι.

Δημόκριτος τῆς χιόνος τῆς ἐν 4
τοῖς πρὸς ἄρκτον μέρεσιν ὑπὸ θερι-
νὰς τροπὰς ἀναλυομένης τε καὶ δια-
χεομένης νέφη μὲν ἐκ τῶν ἀτμῶν
πιλοῦσθαι· τούτων δὲ συνελαυνομένων
πρὸς μεσημβρίαν καὶ τὴν Αἴγυπτον
ὑπὸ τῶν ἐτησίων ἀνέμων ἀποτελεῖ-
σθαι ῥαγδαίους ὄμβρους, ὑφ' ὧν ἀνα-
πίμπλασθαι τάς τε λίμνας καὶ τὸν
Νεῖλον ποταμόν.

Ἡρόδοτος ὁ συγγραφεὺς ἴσον μὲν 5
ἐκ τῶν πηγῶν φέρεσθαι χειμῶνος
καὶ θέρους, φαίνεσθαι δὲ ἐλάττονα
τοῦ χειμῶνος διὰ τὸ ἐν τούτῳ τῷ
καιρῷ πλησίον ἰόντα τὸν ἥλιον τῆς
Αἰγύπτου ἐξατμίζειν τὰ νάματα.

Ἔφορος ὁ ἱστοριογράφος κατὰ θέ- 6
ρος φησὶν ἀναχαλᾶσθαι τὴν ὅλην
Αἴγυπτον καὶ οἱονεὶ ἐξιδροῦν τὸ πολὺ
νᾶμα. συνοίδωσι δ' αὐτῇ καὶ ἡ Ἀρα-
βία καὶ ἡ Λιβύη παρὰ τὸ ἀραιὸν καὶ
ὑπόψαμμον.

---

1 τῆς ἔσω θαλάσσης male Reiske. cf. anon. Flor. post Athen. II [t. I p. 131, 18 Mein.] Senec. Qu. N. IV 22 || 3 κατ' αὐτὸν (A)B scil. Euthymenem: κατ' αὐτὴν C || 5 ἀναξιμένης B, at cf. Prol. p. 138. 227 || 6 τῇ om. A || μὲν G: μὲν ἐν (A)BC || 12 τούτων — 15 ἀναπίμπλασθαι om. B || συνελαυνομένων G cf. anon. Florentin. p. 131,12 συνωθουμένων δὲ τῶν νεφῶν ἐπὶ τὴν Αἰθιοπίαν καὶ τὴν Λιβύην ὄμβρον γίνεσθαι πολύν: ἀνελαυνομένων A: ἀπελαυνομένων C || 13 Αἴγυπτον error est. scribendum erat Αἰθιοπίαν cf. anon. Flor. p. 131, 13 et Diodor. I 39 3 || 16 λίμνας cf. Prol. p. 226 || 16 τὸν νεῖλον τὸν ποταμόν B || 22 ὄντα G, at cf. Diodori I 38 8 φερόμενον || 25 ἀναχαλᾶσθαι cf. Schol. Apoll. Rhod. p. 495, 33 M. χαλωμένη ἡ γῆ

PLUTARCHI EPIT. IV 1. 2

Εὔδοξος τοὺς ἱερεῖς φησι λέγειν τὰ ὄμβρια τῶν ὑδάτων κατὰ τὴν ἀντιπερίστασιν τῶν ὡρῶν· ὅταν γὰρ ἡμῖν ἦ θέρος τοῖς ὑπὸ τὸν θερινὸν τροπικὸν οἰκοῦσι, τότε τοῖς ὑπὸ τὸν χειμερινὸν τροπικὸν ἀντοίκοις χειμών ἐστιν, ἐξ ὧν τὸ πλημμῦρον ὕδωρ καταρρήγνυται.

β. Περὶ ψυχῆς.

Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν φύσιν ἀεικίνητον ἢ αὐτοκίνητον.

Πυθαγόρας ἀριθμὸν ἑαυτὸν κινοῦντα, τὸν δ' ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει.

Πλάτων οὐσίαν νοητήν, ἐξ ἑαυτῆς κινητήν, κατ' ἀριθμὸν ἐναρμόνιον κινουμένην.

STOBAEI ECL. I 49 [41] 1

Περὶ ψυχῆς.

1 Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν ἀεικίνητον ἢ αὐτοκίνητον.

2 Ἀλκμαίων φύσιν αὐτοκίνητον κατ' ἀΐδιον κίνησιν, καὶ διὰ τοῦτο ἀθάνατον αὐτὴν καὶ προσεμφερῆ τοῖς θεοῖς ὑπολαμβάνει.

3 Πυθαγόρας ἀριθμὸν αὐτὸν κινοῦντα, τὸν δὲ ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει.

4 Ὁμοίως δὲ καὶ Ξενοκράτης.

5

2 καὶ τὴν (A)BC: correxit Roeper conl. Procl. ad Plat. Tim. I p. 37. adde Diodor. I 40 2

3 παρ'ἡμῖν (A)BC: correxi. Roeper γὰρ ante παρ' addi iusserat

4 ἦ C: εἴη (A)B cf. Prol. p. 37

7 πλημμῦρον B: πλημμύρον A: πλημμυροῦν C

17 κινητήν C: κινητικήν AB, at cf. Theodoret. || κατ' ἀριθμὸν (A)C: κατὰ ῥυθμὸν B

6 θείοις A: correxi cf. Arist. d. an. I 2 p. 405ª30

8 αὐτὴν A: corr. Heeren

ALIORUM EX AETIO EXCERPTA

2 1 **Theodoret.** graec. aff. cur. V 17 Θαλῆς τοίνυν κέκληκε τὴν ψυχὴν ἀκίνητον [l. ἀεικίνητον] φύσιν. **Nemes.** d. nat. hom. 2 p. 28 Antv. 68 Matth. Θαλῆς μὲν γὰρ πρῶτος τὴν ψυχὴν ἔφησεν ἀεικίνητον καὶ αὐτοκίνητον.

2 **Theodoret.** l. c. Ἀλκμὰν δὲ αὐτὴν αὐτοκίνητον εἴρηκεν.

3. 4 **Idem.** l. c. ὁ δέ γε Πυθαγόρας ἀριθμὸν ἑαυτὸν κινοῦντα. ξυνεφώνησε δὲ τῷ λόγῳ καὶ Ξενοκράτης. **Nemes.** l. c. Πυθαγόρας δὲ ἀριθμὸν ἑαυτὸν κινοῦντα. idem p. 44 A. 102 M. Πυθαγόρας ... τὴν ψυχὴν ἀριθμὸν ἑαυτὸν κινοῦντα, ᾧ καὶ Ξενοκράτης ἠκολούθησεν.

5 **Theodoret.** l. c. ὁ δὲ Πλάτων οὐσίαν νοητήν, ἐξ ἑαυτῆς κινητήν. **Nemes.** l. c. Πλάτων δὲ οὐσίαν νοητὴν ἐξ ἑαυτῆς κινητὴν κατὰ ἀριθμὸν ἐναρμόνιον.

PLUTARCHI EPIT. IV 2. 3

'Αριστοτέλης ἐντελέχειαν πρώτην σώματος φυσικοῦ, ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· τὴν δὲ ἐντελέχειαν ἀκουστέον ἀντὶ τῆς ἐνεργείας.

Δικαίαρχος ἁρμονίαν τῶν τεσσάρων στοιχείων.

'Ασκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.

γ. Εἰ σῶμα ἡ ψυχὴ καὶ τίς ἡ οὐσία αὐτῆς.

Οὗτοι πάντες οἱ προτεταγμένοι ἀσώματον τὴν ψυχὴν ὑποτίθενται, φύσιν λέγοντες αὐτοκίνητον καὶ οὐσίαν νοητὴν καὶ τοῦ φυσικοῦ, ὀργανικοῦ, ζωὴν ἔχοντος ἐντελέχειαν.

Οἱ δ' ἀπὸ 'Αναξαγόρου ἀεροειδῆ, ἔλεγον δὲ καὶ σῶμα.

STOBAEI ECL. I 49 [41] 1

'Αριστοτέλης ἐνδελέχειαν πρώτην σώματος φυσικοῦ, ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· τὴν δὲ ἐντελέχειαν ἀκουστέον ἀντὶ τοῦ εἴδους καὶ τῆς ἐνεργείας.

Δικαίαρχος ἁρμονίαν τῶν τεττάρων στοιχείων.

'Ασκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.

'Αναξιμένης 'Αναξαγόρας 'Αρχέλαος Διογένης ἀερώδη.

11 § 1 breviter ex prioris cap. §§ 1. 5. 6 comprehensa proximis opponitur cf. Prol. p. 184

13 φύσει (A)BC: correxi cum Reiskeo ex c. 2 1 et 2

14 ὀργάνου B

16 οἱ ἀπὸ 'Αναξαγόρου minus accurate dictum notat Krische p. 168

17 τε (A)BC: correxi. ἔλεγον — σῶμα num Aëtiana sint dubito cf. Theodoret. et Stob.

1 ἐνδελέχειαν sic hoc loco A

4 τοῦ εἴδους καὶ omiserunt Plutarchus et Theodoretus, sed petita haec sunt ex eodem capite (d. anim. II 1 p. 412ᵃ 10), unde definitio ἐντελεχείας cf. ibid. p. 412ᵃ 27

11 Διογένης abundare videtur cf. § 8 et Theodor.

ALIORUM EX AETIO EXCERPTA

2 6 **Theodoret.** V 17 ὁ δὲ Σταγειρίτης ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος. ἐντελέχειαν δὲ τὴν ἐνέργειαν κέκληκε. **Nemes.** p. 28 A. 68 M. 'Αριστοτέλης δὲ ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος.

7 **Theodoret.** V 18 Κλέαρχος [sic] δὲ τῶν τεσσάρων εἶναι στοιχείων τὴν ἁρμονίαν. **Nemes.** l. c. Δείναρχος [sic hic et p. 29 et 35 A.] δὲ ἁρμονίαν τῶν τεσσάρων στοιχείων ἀντὶ τοῦ κρᾶσιν καὶ συμφωνίαν τῶν στοιχείων. οὐ γὰρ τὴν ἐκ τῶν φθόγγων συνισταμένην, ἀλλὰ τὴν ἐν τῷ σώματι θερμῶν καὶ ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν ἐναρμόνιον κρᾶσιν καὶ συμφωνίαν βούλεται λέγειν.

3 2 **Theodoret.** l. c. 'Αναξιμένης δὲ καὶ 'Αναξίμανδρος καὶ 'Αναξαγόρας καὶ 'Αρχέλαος ἀερώδη τῆς ψυχῆς τὴν φύσιν εἰρήκασιν.

PLUTARCHI EPIT. IV 3

Οἱ Στωικοὶ πνεῦμα θερμόν.

Δημόκριτος πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι.

Ἐπίκουρος χρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τε-

STOBAEI ECL. I 49 [41] 1

3 Οἱ Στωικοὶ πνεῦμα νοερόν, θερμόν.

4 Παρμενίδης δὲ καὶ Ἵππασος πυρώδη.

5 Δημόκριτος πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι.

6 Ἡρακλείδης φωτοειδῆ τὴν ψυχὴν ὡρίσατο.

7 Λεύκιππος ἐκ πυρὸς εἶναι τὴν ψυχήν.

8 Διογένης ὁ Ἀπολλωνιάτης ἐξ ἀέρος τὴν ψυχήν.

9 Ἵππων ἐξ ὕδατος τὴν ψυχήν.

10 Ξέναρχος ὁ Περιπατητικὸς καί τινες ἕτεροι τῆς αὐτῆς αἱρέσεως τὴν κατὰ τὸ εἶδος τελειότητα καὶ ἐντελέχειαν καθ' ἑαυτὴν οὖσαν ἅμα καὶ μετὰ τοῦ σώματος συντεταγμένην.

11 Ἐπίκουρος χρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρ-

7 πυρώδους in marg. P γεώδους B: γε πυρώδους A: πυρώδους C cf. Prol. p. 35

3 καὶ πήγασος A [πήγαθος C]: corr. Heeren || 6 λόγων θεωρικῶν A corr. Canter || 13 ἀέρος εἶναι cod. August. || 16 cf. Prol. p. 184 sq.

ALIORUM EX AETIO EXCERPTA

3 3 Theodoret. V 18 οἱ δέ γε Στωικοὶ πνευματικὴν πλείστου μετέχουσαν τοῦ θερμοῦ. **Nemes.** p. 28 A. 67 M. οἱ μὲν γὰρ Στωικοὶ πνεῦμα λέγουσιν αὐτὴν ἔνθερμον καὶ διάπυρον.

4 **Theodoret.** l. c. Παρμενίδης δὲ καὶ Ἵππασος καὶ Ἡράκλειτος πυρώδη ταύτην κεκλήκασιν.

5 **Nemes.** l. c. post § 9 Δημόκριτος δὲ πῦρ. τὰ γὰρ σφαιροειδῆ σχήματα τῶν ἀτόμων συγκρινόμενα πῦρ τε καὶ ἀὴρ ψυχὴν ἀποτελεῖν [ἀποτελεῖ Dresdens. 1 cf. Prol. p. 49²]

6 **Theodoret.** l. c. ὁ δὲ Ἡρακλείδης φωτοειδῆ.

9 **Nemes.** l. c. Ἵππων δὲ ὁ φιλόσοφος ὕδωρ.

11 **Theodoret.** l. c. Ἐπίκουρος δὲ ὁ Νεοκλέους τεττάρων τινῶν ποιοτήτων κρᾶμα, πυρώδους καὶ ἀερώδους καὶ πνευματικοῦ καὶ τετάρτου τινὸς ἀκατονομάστου.

PLUTARCHI EPIT. IV. 3. 4

τάρτου τινὸς ἀκατονομάστου, δ ἧν αὐτῷ αἰσθητικόν.

Ἡράκλειτος τὴν μὲν τοῦ κόσμου 12
ψυχὴν ἀναθυμίασιν ἐκ τῶν ἐν αὐτῷ
5 ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζῴοις ἀπὸ τῆς
ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιά-
σεως, ὁμογενῆ.

13

14

δ̄. Περὶ μερῶν τῆς ψυχῆς.

E XV 60 1—4

10 Πυθαγόρας Πλάτων κατὰ μὲν 1
τὸν ἀνωτάτω λόγον διμερῆ τὴν ψυχήν,

STOBAEI ECL. I 49 [41] 1

του τινὸς ἀκατονομάστου· τοῦτο δ' ἦν αὐτῷ τὸ αἰσθητικόν· ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ θερμὸν τὴν φαινομένην θερμότητα τοῦ σώματος, τὸ δ' ἀκατονόμαστον 5
τὴν ἐν ἡμῖν ἐμποιεῖν αἴσθησιν· ἐν οὐδενὶ γὰρ τῶν ὀνομαζομένων στοιχείων εἶναι αἴσθησιν.

7 cf. Prol. p. 210².
8 τῆς E: om. (A)BC

2 αὐτὴ A: corr. Heeren
6 ἐμποιεῖ A: corr. Heeren

ALIORUM EX AETIO EXCERPTA

12 **Nemes.** 28 A. p. 67 M. Ἡράκλειτος δὲ τὴν μὲν τοῦ παντὸς ψυχὴν ἀναθυμίασιν ἐκ τῶν ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζῴοις ἀπό τε τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως ὁμογενῆ πεφυκέναι.

13 **Theodoret.** V 18 ὁ δὲ Ἐμπεδοκλῆς μῖγμα ἐξ αἰθερώδους καὶ ἀερώδους οὐσίας.

14 **Idem** l. c. Κριτίας δὲ ἐξ αἵματος εἶπε καὶ ἐξ ὑγροῦ [postrema fortasse ad § 9 pertinent]. καὶ ἄλλοι δὲ (l. δὴ) [αὖ] ἄλλα λελη-ρήκασιν ἐναντία. **Nemes.** l. c. ante § 9 Κριτίας δὲ αἷμα.

4 **Theodoret.** V 19 καὶ μέντοι καὶ περὶ τὴν ταύτης διαίρεσιν πλείστη γε τούτοις γεγέ-νηται διαμάχη.

1 **Idem** l. c. Πυθαγόρας μὲν γὰρ καὶ Πλάτων διμερῆ ταύτην εἰρήκασι καὶ τὸ μὲν αὐτῆς εἶναι λογικὸν τὸ δὲ ἄλογον. διχῇ δὲ [αὖ πάλιν] τὸ ἄλογον ἔτεμον. καὶ τὸ μὲν αὐτοῦ θυμικὸν εἶναι τὸ δὲ ἐπιθυμητικόν. Prol. p. 205.

2 **Idem** l. c. ὁ δὲ Ξενοκράτης (καὶ ταῦτα τρίτος ἀπὸ Πλάτωνος ὤν, Σπευσίππου γὰρ τοῦ Πλάτωνος ἀδελφιδοῦ γεγένηται φοιτητής) τὸ μὲν αἰσθητικὸν [εἶναι] τῆς ψυχῆς ἕφη, τὸ δὲ

PLUTARCHI EPIT. IV 4

τὸ μὲν γὰρ ἔχειν λογικόν, τὸ δὲ ἄλογον· κατὰ δὲ τὸ προσεχὲς καὶ ἀκριβὲς τριμερῆ· τὸ γὰρ ἄλογον διαιροῦσιν εἵς τε τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν.

2

3

Οἱ Στωικοὶ ἐξ ὀκτὼ μερῶν φασι 4
συνεστάναι, πέντε μὲν τῶν αἰσθητικῶν ὁρατικοῦ ἀκουστικοῦ ὀσφραντικοῦ γευστικοῦ ἁπτικοῦ, ἕκτου δὲ φωνητικοῦ, ἑβδόμου δὲ σπερματικοῦ, ὀγδόου δὲ αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέταται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις.

5

Δημόκριτος Ἐπίκουρος διμερῆ 6
τὴν ψυχήν, τὸ μὲν λογικὸν ἔχουσαν ἐν τῷ θώρακι καθιδρυμένον, τὸ δὲ ἄλογον καθ' ὅλην τὴν σύγκρισιν τοῦ σώματος διεσπαρμένον.

Ὁ δὲ Δημόκριτος πάντα μετέ- 7
χειν φησὶ ψυχῆς ποιᾶς, καὶ τὰ νεκρὰ τῶν σωμάτων, διότι ἀεὶ διαφανῶς τινος θερμοῦ καὶ αἰσθητικοῦ μετέχει τοῦ πλείονος διαπνεομένου.

---

1 ἔχειν E: ἔχει (A)BC || 4 τε om. B || τὸ post καὶ om. B || 5 § 4 tetigi Prol. p. 205 || φασι om. E || 7 ὀσφραντικοῦ (post ὁρατικοῦ) E: ὀσφρατικοῦ B: ὀσφρητικοῦ (A)C || 8 ἐκ τούτου δὲ B || 9 δὲ post ἑβδόμου et ὀγδόου E: om. (A)BC || 11 πάντα post τέτακται collocat E || ἐπιτέτακται (A)BC: τέτακται E: correxit Zeller cf. IV 8 1 21 2—4 || 12 τοῦ om. E[CFG] || 14 Democritus male videtur a Plutarcho additus cf. 5 1 || 20 φησὶ (A)BC: φύσει E || 21 διότι ἀφανῶς E vix recte. signa enim sunt *comarum et ungium crementa* cf. Tertull. d. anim. c. 51 vide Hermae vol. XIII p. 4

STOBAEI ECL. I 49 [41] 1

ALIORUM EX AETIO EXCERPTA

λογικόν. cf. Prol. p. 46.

3 **Theodoret.** V 20 ὁ δὲ Νικομάχου πέντε εἶναι ταύτης ἔφησεν ἐνεργείας τὴν ὀρεκτικὴν τὴν θρεπτικὴν τὴν αἰσθητικὴν τὴν μεταβατικὴν τὴν διανοητικήν. [cf. Prol. p. 46. 205]

4 **Idem** l. c. ἀλλ' οὐδὲ τοῦτον οἱ Στωικοὶ τὸν ἀριθμὸν ἔστερξαν. ἐξ ὀκτὼ γὰρ μερῶν ἔφασαν τὴν ψυχὴν συνεστάναι, τῆς ὀπτικῆς αἰσθήσεως καὶ τῆς ἀκουστικῆς καὶ τῆς ὀσφραντικῆς καὶ τῆς γευστικῆς καὶ τῆς ἁπτικῆς. ἕκτον δὲ τὸ φωνητικὸν ἔφασαν καὶ τὸ σπερματικὸν ἕβδομον καὶ τὸ ἡγεμονικὸν ὄγδοον, ὑφ' οὗ τούτων ἕκαστον ἐνεργεῖται. 21 εἶπον δὲ αὐτὴν καὶ ταῖς τοῦ πολύποδος ἐοικέναι πλεκτάναις.

5 **Idem** l. c. οἱ δέ γε Πυθαγόρου διάδοχοι ἐκ πέντε στοιχείων τὸ σῶμα κραθῆναι φάντες (τοῖς γὰρ τέσσαρσι συνέταξαν τὸ αἰθέριον) ἰσαρίθμους εἶναι ἔφασαν τούτοις καὶ τῆς ψυχῆς τὰς δυνάμεις. καὶ ταύτας ὠνομάκασι νοῦν καὶ φρόνησιν καὶ ἐπιστήμην καὶ δόξαν καὶ αἴσθησιν.

PLUTARCHI EPIT. IV 5 STOBAEI ECL. I 49 [41] 1

ε. Περὶ τοῦ ἡγεμονικοῦ.

E XV 61 1—10

Πλάτων Δημόκριτος ἐν ὅλῃ τῇ κεφαλῇ. 1

Στράτων ἐν μεσοφρύῳ. 2

Ἐρασίστρατος περὶ τὴν μήνιγγα τοῦ ἐγκεφάλου, ἣν ἐπικρανίδα λέγει. 3

Ἡρόφιλος ἐν τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ, ἥτις ἐστὶ καὶ βάσις. 4

Παρμενίδης καὶ Ἐπίκουρος ἐν ὅλῳ τῷ θώρακι. 5

Οἱ Στωικοὶ πάντες ἐν ὅλῃ τῇ καρδίᾳ ἢ τῷ περὶ τὴν καρδίαν πνεύματι. 6

Διογένης ἐν τῇ ἀρτηριακῇ κοιλίᾳ τῆς καρδίας, ἥτις ἐστὶ πνευματική. 7

Ἐμπεδοκλῆς ἐν τῇ τοῦ αἵματος συστάσει. οἱ δὲ ἐν τῷ τραχήλῳ τῆς καρδίας, οἱ δὲ ἐν τῷ περικαρδίῳ ὑμένι, οἱ δὲ ἐν τῷ διαφράγματι. 8

Τῶν νεωτέρων τινὲς διήκειν ἀπὸ κεφαλῆς μέχρι τοῦ διαφράγματος. 9

Πυθαγόρας τὸ μὲν ζωτικὸν περὶ 10

1 περὶ τοῦ ἡγεμονικοῦ E: τί [τίς (A)?] τὸ τῆς ψυχῆς ἡγεμονικὸν καὶ ἐν τίνι ἐστίν [θεωρεῖται B] (A)BC. de toto c. 5 cf. Prol. p. 203. 207 sqq. || 3 ἐν ἐγκεφάλῳ Theodoret. vide Democr. π. ἀνθρ. φύσ. fr. 6 cf. Prol. p. 203. 207 || 7 ἐπικρανίδα cf. Prol. p. 208 sq. || 9 καὶ om. E || 10 παρμενίδης καὶ ἐπίκουρος B: καὶ ἐπίκουρος post θώρακι ponunt (A)C: item (om. καὶ) E. olim margini adscriptum esse videtur || 13 ἢ — πνεύματι om. E || περὶ τὴν καρδίαν A: περὶ καρδίαν BC || 12 cf. Prol. p. 204[1] || 16 ἐστὶ EBC: ἐστὶ καὶ (A) || 18 συστάσει om. E[cdbfg]: κοιλίᾳ E[b] || de sententiae forma cf. Prol. p. 222 || οἱ δὲ — διαφράγματι cf. Theodoret. || οἱ δὲ ἐν τῷ τραχήλῳ τῆς καρδίας om. E: οἱ δὲ ἐν τῷ τραχήλῳ — ὑμένι om. B || 19 περικαρδίῳ EA: περὶ καρδίαν C || 20 post διαφράγματι addit τῶν νεφρῶν E[c et Steph. mss.] || 21 τινὲς EABC: δέ τινες vulgo || 23 de Pythagora cf. Prol. p. 204. 207

ALIORUM EX AETIO EXCERPTA

5 Theodoret. V 22 ὅσα δὲ καὶ περὶ τῆς τοῦ ἡγεμονικοῦ χώρας διηνέχθησαν πρὸς ἀλλήλους ῥᾴδιον διαγνῶναι.

1 Idem l. c. Ἱπποκράτης μὲν γὰρ καὶ Δημόκριτος καὶ Πλάτων ἐν ἐγκεφάλῳ τοῦτο ἱδρῦσθαι εἰρήκασιν. cf. Prol. p. 203

2 Idem l. c. ὁ δὲ Στράτων ἐν μεσοφρύῳ.

3 Idem l. c. Ἐρασίστρατος δὲ ὁ ἰατρὸς περὶ τὴν τοῦ ἐγκεφάλου μήνιγγα ἣν καὶ ἐπικρανίδα λέγει.

4 Idem l. c. Ἡρόφιλος δὲ ἐν τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ.

5 Idem l. c. Παρμενίδης δὲ καὶ Ἐπίκουρος ἐν ὅλῳ τῷ θώρακι.

6. 8 Idem l. c. Ἐμπεδοκλῆς δὲ καὶ Ἀριστοκλῆς [corruptum cf. Prol. p. 204[1] vulgo Ἀριστοτέλης cf. Zeller II 2, 374[2]] καὶ τῶν Στωικῶν ἡ ξυμμορία τὴν καρδίαν ἀπεκλήρωσαν τούτῳ. καὶ τούτων ὅ' αὖ πάλιν οἱ μὲν ἐν τῇ κοιλίᾳ τῆς καρδίας, οἱ δὲ ἐν τῷ αἵματι. καὶ οἱ μὲν ἐν τῷ περικαρδίῳ ὑμένι, οἱ δὲ ἐν τῷ διαφράγματι.

τὴν καρδίαν, τὸ δὲ λογικὸν καὶ νοερὸν περὶ τὴν κεφαλήν.

11 Πυθαγόρας Ἀναξαγόρας Πλάτων Ξενοκράτης Κλεάνθης θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν.

12 Παρμενίδης καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος ταὐτὸν νοῦν καὶ ψυχήν, καθ' οὓς οὐδὲν ἂν εἴη ζῷον ἄλογον κυρίως.

ξ. Περὶ κινήσεως ψυχῆς.

Πλάτων ἀεικίνητον μὲν τὴν ψυχήν, τὸν δὲ νοῦν ἀκίνητον τῆς μεταβατικῆς κινήσεως.

Ἀριστοτέλης ἀκίνητον τὴν ψυχὴν πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν καθάπερ τὰ εἴδη τῶν σωμάτων.

Περὶ κινήσεως ψυχῆς.

1 Πλάτων [ἄφθαρτον καὶ] ἀεικίνητον.

2 Ἀριστοτέλης ἀκίνητον τὴν ψυχὴν πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν καθάπερ τὰ σχήματα καὶ τὰ πέρατα καὶ καθάπαξ τὰ περὶ τοῖς σώμασιν εἴδη.

ζ. Περὶ ἀφθαρσίας ψυχῆς.

Πυθαγόρας Πλάτων ἄφθαρτον εἶναι τὴν ψυχήν.

*ἐξιοῦσαν γὰρ εἰς τὴν τοῦ παντὸς ψυχὴν ἀναχωρεῖν πρὸς τὸ ὁμογενές.

---

4 μὲν ABC: om. vulgo

5 ἀκίνητον πάσης ex v. 5 C

8 προηγουμένην A cf. Iustin: προηγουμένης BC

15 Heraclitl lemma intercidit cf. Theodor.|| ὁμογενές cf. IV 3 12

1 dubium num hoc capitulum ad c. 5 referendum sit. ceterum cf. Krische p. 84

5 νοῦς καὶ ψυχή A: correxi. de sententia cf. Prol. p. 142. 222

9 Stob., qui titulos quoque cc. 6. 7 coniunxit περὶ κινήσεως καὶ ἀφθαρσίας ψυχῆς, ex 7 1 ἄφθαρτον καὶ addidit

15 περὶ τὰ σώματα desidero ut IV 8 9, nisi forte παρὰ insolitum et ipsum rescriptum mavis

TESTIMONIA PLUTARCHI

6 1 **[Iustin.]** coh. ad gent. c. 6 fortasse respexit. καὶ ὁ μὲν (Πλάτων) ἀεικίνητον αὐτὴν εἶναι λέγει.

2 **Idem** l. c. Ἀριστοτέλης δὲ ἀκίνητον αὐτὴν εἶναί φησιν ἁπάσης κινήσεως προηγουμένην.

ALIORUM EX AETIO EXCERPTA

7 1 **Theodoret.** V 23 καὶ Πυθαγόρας μὲν καὶ Ἀναξαγόρας καὶ Διογένης καὶ Πλάτων καὶ Ἐμπεδοκλῆς καὶ Ξενοκράτης ἄφθαρτον εἶναι τὴν ψυχὴν ἀπεφήναντο.

2 **Idem** l. c. ὁ δὲ Ἡράκλειτος τὰς ἀπαλλαττομένας τοῦ σώματος εἰς τὴν τοῦ παντὸς ἀναχωρεῖν ψυχὴν ἔφησεν οἵα δὴ ὁμογενῆ τε οὖσαν καὶ ὁμοούσιον.

PLUTARCHI EPIT. IV 7. 8

Οἱ Στωικοὶ ἐξιοῦσαν ἐκ τῶν σω- 3
μάτων ὑποφέρεσθαι * * * τὴν μὲν
ἀσθενεστέραν * * [ἅμα τοῖς συγκρί-
μασι γίνεσθαι] (ταύτην δὲ εἶναι τῶν
ἀπαιδεύτων), τὴν δὲ ἰσχυροτέραν (οἷα
ἐστὶ περὶ τοὺς σοφούς) καὶ μέχρι
τῆς ἐκπυρώσεως.

Δημόκριτος Ἐπίκουρος φθαρ- 4
τὴν τῷ σώματι συνδιαφθειρομένην.

Πυθαγόρας Πλάτων τὸ μὲν λο- 5
γικὸν ἄφθαρτον, καὶ γὰρ τὴν ψυχὴν
† οὐ θεὸν ἀλλ' ἔργον τοῦ ἀιδίου θεοῦ
ὑπάρχειν, τὸ δὲ ἄλογον φθαρτόν.

6

7

8

STOBAEI ECL. I 50 [42] 1

Περὶ αἰσθήσεως καὶ αἰσθη-
τῶν. D A 27

Οἱ Στωικοὶ ὁρίζονται οὕτως τὴν 1
αἴσθησιν· αἴσθησίς ἐστιν ἀντίληψις

1 in Stobaeo servantur § 3. 6, cetera completa ex I. Dam. [IV p. 232, 7—234,11 Mein.]

ALIORUM EX AETIO EXCERPTA

3 **Theodoret.** V 23 οἱ δὲ Στωικοὶ τὰς χωριζομένας τῶν σωμάτων ψυχὰς διαρκεῖν μὲν καὶ καθ' ἑαυτὰς ζῆν ἔφασαν, ἀλλὰ τὴν μὲν ἀσθενεστέραν ἐπ' ὀλίγον, τὴν δέ γε ἰσχυροτέραν μέχρι τῆς τοῦ παντὸς ἐκπυρώσεως.

4 **Idem** V 24 Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ Ἀριστοτέλης φθαρτὴν εἶναι ταύτην ἀνέδην εἰρήκασι.

5 **Idem** l. c. Πλάτων δὲ καὶ Πυθαγόρας τὸ μὲν λογικὸν αὐτῆς ἄφθαρτον εἶναι, φθαρτὸν δὲ τὸ ἄλογον.

6 **Idem** l. c. καὶ ὁ μὲν Πλάτων καὶ τὰ φυτὰ ζῷα κέκληκε τοῦ τρίτου γε [?] τῆς ψυχῆς εἴδους τοῦ ἐπιθυμητικοῦ μόνον μετέχοντα.

7 **Idem** l. c. ὁ δέ γε Ἀριστοτέλης ζῷα μὲν αὐτὰ εἰπεῖν οὐκ ἠνέσχετο (τὸ γὰρ δὴ τῆς αἰσθητικῆς μετέχον ψυχῆς τοῦτο καλεῖσθαι ζῷον ἠξίωσε) τῆς φυτικῆς μέντοι καὶ θρεπτικῆς ψυχῆς μετέχειν ὑπέλαβε τὰ φυτά.

8 **Idem** l. c. ἀλλὰ τοῦτόν γε τὸν λόγον οἱ τῆς Ποικίλης οὐ προσεδέξαντο· τὴν γάρ τοι φυτικὴν δύναμιν καλεῖν ψυχὴν οὐκ ἠνέσχοντο.

8 1 **Nemes.** p. 77 A. 176 M. καλεῖται δὲ

Περὶ αἰσθήσεως καὶ αἰσθη-
τῶν. G 90

Οἱ Στωικοὶ ὁρίζονται οὕτως τὴν 1
αἴσθησιν· αἴσθησίς ἐστιν ἀντίληψις

1 ἐκ AB: om. C || 2 hiatum indicavit Reiske explens ἐφ' ᾧ. sed gravius vulnus latet. ad Theodoreti exemplar haec propono: ἐξιοῦσαν ἐκ τῶν σωμάτων οὔπω φθείρεσθαι, ⟨ἀλλ' ἐπιδιαμένειν τινὰς χρόνους καθ' αὑτήν. καὶ⟩ τὴν μὲν ἀσθενεστέραν ⟨ἐπ' ὀλίγον⟩ (ταύτην δὲ εἶναι τῶν ἀπαιδεύτων), τὴν δὲ ἰσχυροτέραν κτλ. cf. Ar. Didym. fr. 39. Tertull. d. an. 54 [Prol. 205] Diog. VII 157 || ἅμα τοῖς συγκρίμασι γίνεσθαι [sic AB: γενέσθαι C] tanquam aliena ab hoc loco notavi. fieri potest ut σώμασι in συγκρίμασι lateat cf. v. 1 et 9 || 6 περὶ (A)C: παρὰ B || καὶ om. B || 12 pro οὐ θεὸν ἀλλ' conicio ἀθάνατον || 13 corollarium quod Theodoreti excerptis adnexum est §§ 6—8 a Plutarcho non respicitur fortasse quia similia V 26 tractantur || 14 αἰσθήσεως G: αἰσθήσεων (A)BC quod contra Stobaei Galenique consensum commendare non debebam Prol. p. 114 [1] || 17 ἀντίληψις αἰσθητηρίου (A)BC: ἀ. αἰσθητοῦ δι' αἰσθητηρίου Beck Galeno abusus. sed αἰσθητοῦ abundat cf. Laert. VII 51

PLUTARCHI EPIT. IV 8

⟨δι'⟩ αἰσθητηρίου ἡ κατάληψις. πολλαχῶς δὲ λέγεται ἡ αἴσθησις· ἥ τε γὰρ ἕξις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ φαντασία ἡ καταληπτικὴ δι' αἰσθητηρίου γίνονται καὶ αὐτὸ τὸ ἡγεμονικόν, *ἀφ' οὗ πάλιν αἰσθητήρια* λέγεται πνεύματα νοερὰ ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένα.

Ἐπίκουρος· τὸ μόριόν ἐστιν ἡ αἴσθησις, ἥτις ἐστὶν ἡ δύναμις, καὶ τὸ ἐπαίσθημα, ὅπερ ἐστὶ τὸ ἐνέργημα· ὥστε διχῶς παρ' αὐτῷ λέγεσθαι, αἴσθησιν μὲν τὴν δύναμιν, αἰσθητὸν δὲ τὸ ἐνέργημα.

Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὸ δ' ὄργανον σώματος· ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν γίνεται.

STOBAEI ECL. I 50 [42] 1

δι' αἰσθητηρίου ⟨ἥ⟩ κατάληψις. πολλαχῶς δὲ λέγεται ἡ αἴσθησις· ἥ τε γὰρ ἕξις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ φαντασία καταληπτικὰ δι' αἰσθητηρίου γίνονται καὶ αὐτὸ τὸ ἡγεμονικόν *ἀφ' οὗ πάλιν αἰσθητήρια* λέγονται τὰ πνεύματα τὰ νοερὰ ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένα.

2 Ἐπίκουρος· τὸ μόριόν ἐστιν ἡ αἴσθησις, ἥτις ἐστὶ δύναμις, καὶ τὸ ἐπαίσθημα, ὅπερ ἐστὶ τὸ ἐνέργημα. ὥστε διχῶς παρ' αὐτῷ λέγεσθαι, αἴσθησιν μὲν τὴν δύναμιν, αἰσθητὸν δὲ τὸ ἐνέργημα.

3 Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν.

4 Κατὰ τοὺς Περιπατητικοὺς τετραχῶς· ἐξ οὗ τὸ ἡγεμονικόν, δι' οὗ τὸ ὄργανον καὶ αἰσθητήριον, καθ' ὃ ἡ ἐνέργεια καὶ ⟨οὗ⟩ ἕνεκα τὸ αἰσθητόν.

5 Λεύκιππος Δημόκριτος τὰς αἰσθήσεις καὶ τὰς νοήσεις ἑτεροιώσεις εἶναι τοῦ σώματος.

2 γίνεται B || 4 φαντασία ἡ (A)BC cf. Sext. adv. math. VII 402 sq.: om. ἡ G || 6 τὸ ἡγεμονικόν G: τὸ ὄγδοον ἡγεμονικόν (A)BC || 6 post ἀφ' οὗ interpolant (A)BC συνίσταται. dixi de hoc loco antiqua labe affecto Proleg. p. 55 || πάλιν δὲ (A)BC: δὲ ut antea συνίσταται ignorat G aliter ariolans: ἀφ' οὗ πᾶσα αἰσθητὴ βία [ex αἰσθητήρια!] γίνεται. πάλιν τὰ πνεύματα κτλ. || 8 τεταμένα C cl. G: τεταγμένα AB || 9 μόριον i. e. αἰσθητήριον || 11 ὅπερ vulgo: ὅθεν ABC || 12 ὥστε— 14 ἐνέργημα om. pr. A || αὐτῷ B: αὐτοῦ C || 13 αἰσθητὸν B: αἰσθητικὸν C || 17 γὰρ om. B || 19 φαντασίαν (A)BC: corr. Reiske || 20 γίνεται (A)B: γίνονται C

1 ἡ om. initio versus D || 4 voluitne καταληπτικαὶ Stob.? || 6 ἀφ' οὗ συνίσταται. πάλιν δ' Meineke. cf. Prol. p. 55 || 19 διὲν D

ALIORUM EX AETIO EXCERPTA

πολλάκις αἴσθησις καὶ τὰ αἰσθητήρια. ἔστι δὲ αἴσθησις ἀντίληψις τῶν αἰσθητῶν . . . διὸ καὶ οὕτως ὁρίζονται τὴν αἴσθησιν· πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον. ἔτι δὲ καὶ οὕτω· δύναμιν ψυχῆς ἀντιληπτικὴν τῶν αἰσθητῶν· αἰσθητήριον δὲ ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν. cf. Prol. p. 55.

3 Nemes. p. 77 A. p. 176 M. Πλάτων δὲ τὴν αἴσθησιν λέγει ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν.

6 Ἀριστοτέλης τὴν αἴσθησιν ἑτεροίωσιν αἰσθητοῦ καὶ μεσότητα. κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου εἰς ἕτερον οἷον σχήματος καὶ κινήσεως σώματος, ἐν μεθορίῳ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου μνήμης καὶ νοῦ μετέχουσα διατείνουσα καὶ ἐπὶ τὰ ἄλογα τῶν ζῴων, καθ' ὃ ποσὴν διανοίας ἀναλογίαν ἔχει. κοινὰ δ' ἐστὶν ὄψεως μὲν καὶ ἁφῆς σχῆμα, ὄψεως δὲ καὶ ἀκοῆς διάστημα, πασῶν δὲ κίνησις καὶ μέγεθος καὶ ἀριθμός.

7 Οἱ Στωικοὶ τήνδε τὴν κοινὴν αἴσθησιν ἐντὸς ἀφὴν προσαγορεύουσι, καθ' ἣν καὶ ἡμῶν αὐτῶν ἀντιλαμβανόμεθα.

8 Οἱ Στωικοὶ σωμάτων τὰς αἰσθήσεις.

9 Οἱ ἀπὸ τῶν ἀρχαίων τῶν περὶ τὰ σώματα ἀσωμάτων λόγων ἅπερ ἤδη σχήματα προσαγορεύουσιν.

Λεύκιππος Δημόκριτος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου.

10 Λεύκιππος Δημόκριτος Ἐπίκουρος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων. μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος.

11 Οἱ ἄλλοι εἰδῶν ἢ σχημάτων † ἑτε-

---

1 § 1 praeter D etiam C servavit: om. F || 2 post μεσότητα lacunam indicavit Meineke. sed deest nihil cf. Aristot. d. an. II 11 p. 424ᵃ4, v. Prol. p. 215. κοινὴν — κινήσεως v. 8 iteratur in Placitis IV 10 2, unde menda D emendantur, quae memoria digna non sunt || 20 ἡ [rubr.] στωικοὶ D || 21 οἱ [rubr.] ἀπὸ τῶν ἀρχαίων. mendum subest. num οἱ ἀπὸ τῶν μαθημάτων, ut audiatur γίγνεσθαι τὰς αἰσθήσεις? cf. Prol. p. 185 || 30 plura corrupta sunt. certum videtur ἑτεροιώσει, ἐν ψυχῇ τυπώσει Stoicorum cf. Sext. VII 229. Diog. VII 50. Philo de gi-

PLUTARCHI EPIT. IV 8. 9

ροίωσιν ἐν πάσῃ τυπώσει, ἀπορροίαις πάντα μᾶλλον ἢ εἰδώλοις.

12 Οἱ Στωικοὶ πᾶσαν αἴσθησιν εἶναι συγκατάθεσιν καὶ κατάληψιν.

13 Οἱ Ἀκαδημαϊκοὶ μὴ εἶναι τὰς αἰσθήσεις μήτε καταλήψεις μήτε συγκαταθέσεις.

14 Οἱ Περιπατητικοὶ οὐκ ἄνευ μὲν συγκαταθέσεως τὰς αἰσθήσεις, οὐ μέντοι συγκαταθέσεις.

θ. Εἰ ἀληθεῖς αἱ αἰσθήσεις καὶ φαντασίαι. G 91

Οἱ Στωικοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς.

Ἐπίκουρος πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ, τῶν δὲ δοξῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς· καὶ ἡ μὲν αἴσθησις, μοναχῶς ψευδοποιεῖται κατὰ νοητά, ἡ δὲ φαντασία διχῶς· καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν.

STOBAEI ECL. I 50 [42] 1

Εἰ ἀληθεῖς αἱ αἰσθήσεις. D A 27

1 Πυθαγόρας Ἐμπεδοκλῆς Ξενοφάνης Παρμενίδης Ζήνων Μέλισσος Ἀναξαγόρας Δημόκριτος Μητρόδωρος Πρωταγόρας Πλάτων ψευδεῖς εἶναι τὰς αἰσθήσεις.

2 Οἱ ἀπὸ τῆς Ἀκαδημίας ὑγιεῖς μέν, ὅτι δι' αὐτῶν οἴονται λαβεῖν ἀληθινὰς φαντασίας, οὐ μὴν ἀκριβεῖς.

3 Ἀριστοτέλης τὴν αἴσθησιν μὴ πλανᾶσθαι περὶ τὸ ἴδιον, περὶ δὲ τὸ συμβεβηκός.

4 Οἱ Στωικοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς.

5 Ἐπίκουρος πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ, τῶν δὲ δοξῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς· καὶ ἡ μὲν αἴσθησις μοναχῶς ψευδοποιεῖται κατὰ νοητά, ἡ δὲ φαντασία διχῶς· [νοεῖται] καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν.

1 καὶ AB: καὶ αἱ C cf. G || 10 καὶ τὰ νοήματα G: τὰ κατὰ νοητά B: τὰ κατὰ τὰ νοητά (A)C

gant. 9. Plut. comm. notit. 47. quid in πάντα μᾶλλον lateat, nescio || 5 Ἀκαδημαϊκοὶ cf. Prol. p. 185 || 11 servantur in Stob. §§ 3. 10, cetera ex I. Dam. [IV p. 234, 12—236,16] completa || 12 de § 1 cf. Prol. p. 142 || 20 de § 3 cf. Arist. d. anim. II 6 v. Prol. p. 215 || 29 ψευδοποιεῖ τὰ D || 31 νοεῖται fortasse ex correcto olim ποιεῖται super ψευδοποιεῖ τὰ ortum || 31. 32 αἰσθητόν et νοητόν D

PLUTARCHI EPIT. IV 9

Ἐμπεδοκλῆς Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστῃ ἁρμόζοντος.

STOBAEI ECL. I 50 [42] 1

6 Παρμενίδης Ἐμπεδοκλῆς Ἀναξαγόρας Δημόκριτος Ἐπίκουρος Ἡρακλείδης παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστου ἑκάστῃ ἐναρμόττοντος.

7 Οἱ Περιπατητικοὶ παρὰ τὰς δυνάμεις τῶν αἰσθητηρίων.

8 Οἱ μὲν ἄλλοι φύσει τὰ αἰσθητά, Λεύκιππος δὲ Δημόκριτος καὶ Διογένης νόμῳ, τοῦτο δ' ἐστὶ δόξῃ καὶ πάθεσι τοῖς ἡμετέροις. μηδὲν δ' εἶναι ἀληθὲς μηδὲ καταληπτὸν ἐκτὸς τῶν πρώτων στοιχείων ἀτόμων καὶ κενοῦ. ταῦτα γὰρ εἶναι μόνα φύσει, τὰ δ' ἐκ τούτων θέσει καὶ τάξει καὶ σχήματι διαφέροντα ἀλλήλων συμβεβηκότα.

9 Οἱ τὰ ἄτομα καὶ τὰ ὁμοιομερῆ καὶ οἱ τὰ ἀμερῆ καὶ τὰ ἐλάχιστα πάντ' ἐν πᾶσι τὰ αἰσθητὰ ἀναμεμῖχθαι καὶ μηδὲν αὐτῶν εἰλικρινὲς ὑπάρχειν, παρὰ δὲ τὰς ἐπικρατείας ὀνομάζεσθαι τοῖον ἢ τοῖον καὶ παρὰ τὴν πολυαύγειαν.

10 Πυθαγόρας Πλάτων καθαρὸν ἕκαστον εἶναι τῶν αἰσθητῶν ἐξ ἑκάστου στοιχείου προερχόμενον. πρὸς μὲν οὖν τὴν ὅρασιν τὸ αἰθερῶδες πεφυκέναι, πρὸς δὲ τὴν ἀκοὴν τὸ πνευματικόν, πρὸς δὲ τὴν ὄσφρησιν τὸ πυρῶδες, πρὸς δὲ τὴν γεῦσιν τὸ ὑγρόν, πρὸς δὲ τὴν ἁφὴν τὸ γεῶδες.

11 Ἐπίκουρος τῶν αἰσθητῶν ἡδονὰς ἥδη καὶ τὰς λύπας.

1 § 6 ad aliud c. referendum esse dixit Corsinus. sed generaliores etiam Stobaei sunt §§ 6—20, ut continuari magis c. 8 quam 9 videatur

4 ἑκάστης C

6 ἀναρμόττοντος D: correxi cf. I 15 3 et ad Theophr. d. sens. § 9 || 24 νομίζεσθαι Meineke || 26 Πλάτων FD: καὶ ante Πλάτων addit C || καθόλου pro καθαρὸν volebat Roeth || 28 προσερχόμενον AD: correxi || 29 mutari iussit Roeth αἰθερῶθες cum πνευματικόν, πνευματικόν cum πυρῶδες, πυρῶδες cum αἰθερῶδες, at cf. Aristot. de sensu 2 p. 438b16 Stoici ap. Nemes. p. 76 A. Zeller II 2, 418[4] III 2, 121[3]

12 Οἱ Περιπατητικοὶ τῶν νοητῶν. οὐ γὰρ πᾶσι φαίνεται τὰ αὐτὰ ἡδέα τε καὶ λυπηρὰ καθάπερ λευκά τε καὶ μέλανα.

13 Χρύσιππος τὸ μὲν γενικὸν ἡδὺ νοητόν, τὸ δὲ εἰδικὸν καὶ προσπῖπτον ἤδη αἰσθητόν.

14 Παρμενίδης Ἐμπεδοκλῆς ἐλλείψει τροφῆς τὴν ὄρεξιν * * *

15 Ἐμπεδοκλῆς τὰς ἡδονὰς γίνεσθαι τοῖς μὲν ὁμοίοις ⟨ἐκ⟩ τῶν ὁμοίων, κατὰ δὲ τὸ ἐλλεῖπον πρὸς τὴν ἀναπλήρωσιν, ὥστε τῷ ἐλλείποντι ἡ ὄρεξις τοῦ ὁμοίου. τὰς δ' ἀλγηδόνας τοῖς ἐναντίοις, ἠλλοτριῶσθαι γὰρ πρὸς ἄλληλα ὅσα διαφέρει κατά τε τὴν σύγκρισιν καὶ τὴν τῶν στοιχείων κρᾶσιν.

16 Ἀναξαγόρας πᾶσαν αἴσθησιν μετὰ πόνου. Ἄλλοι ἐπιγίγνεσθαι ἤτοι ἡδονὴν ἢ πόνους * * συμπεφυκέναι.

17 Οἱ Στωικοὶ τὸν σοφὸν αἰσθήσει καταληπτικὸν ἀπὸ τοῦ εἴδους τεκμηριωδῶς.

18 Οἱ Ἀκαδημαϊκοὶ λόγῳ γνώριμον.

19 Ἐπίκουρος σοφῷ μόνῳ τὸν σοφόν * * *

20 Δημόκριτος ⟨καὶ⟩ τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεσθαι.

---

6 προσπῖπτον ἡδὺ coniecit Petersen. sed cf. Prol. p. 185 || 11 τῶν ὁμοίων inclusit Karsten. ἐκ addidit Meineke. cf. Theophrast. d. sens. 8 (ἐκ τῶν ἀντικειμένων) 9. 16 infra V 28. Prol. p. 222 || 15 ἡ ἀλλοτριοῦσθαι D: corr. Meineke. ἢ incluserat Karsten || 16 ἄλλα D: corr. Karsten || 20 intercidisse οὐ μέντοι coniecit Meineke, qui lacunam indicavit || 22 καταληπτὸν D: correxi cf. Sext. adv. mathem. XI 75 || 24 λόγων D: correxi, opp. αἰσθήσει || 25 lacuris et fortasse corruptis verbis conferri potest Cicer. Lucull. 14 45 *Epicurus .... dixitque sapientis esse opinionem* [δόξα] *a perspicuitate* [ἐνάργεια] *seiungere.* cf. tamen etiam Diog. IX 20 || 27 cf. IV 4 7 unde καὶ addidi

PLUTARCHI EPIT. IV 10

ι. Πόσαι εἰσὶν αἱ αἰσθήσεις.

Οἱ Στωικοὶ πέντε τὰς εἰδικὰς αἰσθήσεις, ὅρασιν ἀκοὴν ὄσφρησιν γεῦσιν ἁφήν.

Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας· ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου πρὸς ἕτερον οἱονεὶ σχήματος καὶ κινήσεως [δείκνυται].

Δημόκριτος πλείους εἶναι αἰσθήσεις, περὶ τὰ ἄλογα ζῷα καὶ περὶ τοὺς σοφοὺς καὶ περὶ τοὺς θεούς.

STOBAEI ECL. I 51 [43] 1

Πόσαι εἰσὶν αἱ αἰσθήσεις. D A 28.

1 Οἱ Στωικοὶ πέντε τὰς εἰδικὰς αἰσθήσεις, ὅρασιν ἀκοὴν ὄσφρησιν γεῦσιν ἁφήν.

2 Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν τῶν συνθέτων εἰδῶν κριτικήν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας· ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου πρὸς ἕτερον, οἱονεὶ σχήματος καὶ κινήσεως.

3 † Ἀπελλῆς πλείους αἰσθήσεις εἶναι, περὶ τὰ ἄλογα ζῷα ... (?)

4 Δημόκριτος πλείους εἶναι αἰσθήσεις, περὶ τὰ ἄλογα ζῷα καὶ περὶ τοὺς σοφοὺς καὶ περὶ τοὺς θεούς.

5 Δημόκριτος πλείους μὲν εἶναι τὰς αἰσθήσεις τῶν αἰσθητῶν, τῷ δὲ μὴ † ἀναλογίζειν τὰ αἰσθητὰ τῷ πλήθει λανθάνειν.

6 Οἱ δὲ ἄλλοι παρίσους.

1 αἱ om. B || εἰσὶν post αἰσθήσεις A ind. 2 εἰδικὰς AB: ἰδικάς C

11 δείκνυται a Plutarcho profectum cf. Stob.

14 σοφοὺς καὶ περὶ τοὺς θεούς AB: θεοὺς καὶ σοφούς C

1 Stobaeus § 2 servavit, cetera accesserunt ex I. Dam. [p. 237, 7—15 233, 20—25] || 3 ἰδικάς D: corr. Meineke || 6 ἕκτον AD: corr. Heeren || 7 κοινὴν — κινήσεως iterum et plenius quidem excerptum est IV 8 6, unde hunc locum invito scriptore [cf. Plut.] supplevit Heeren || 13 πελλῆς [prima rubricatori relicta] D: vereor ne Ἀπελλῆς κτλ. nihil sit nisi Ἀριστοτέλης lemma errore praefixum insequentis paragraphi 4 iterato primo versui (cf. ad p. 371b22) nam §§ 3. 5 alienum in locum ex pristina sede post 2 et 4 delatae sunt || 16 περὶ ut IV 7 3, cf. Dionys. de compos. verb. 18 τοσαύτη περὶ αὐτὸν ἦν ἀναισθησία. sensum Zellero [I ⁴817 ⁵] rectius explicavit Krische p. 154 cf. c. 11 5 || 21 ἀναλογίζειν insolenter activa forma, ergo ἀναλογεῖν scribendum esset, si cetera plana essent. cf. Zeller I ⁴817 ⁴ intellego haec: *sensuum affectiones plures sunt perceptis, sed cum percepta multitudini (affectionum) non respondeant, illae non omnes adgnoscuntur*

ια. Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ ἔννοια καὶ ὁ κατὰ ἐνδιάθεσιν λόγος. G 92

Οἱ Στωικοί φασιν· ὅταν γεννηθῇ 1
ὁ ἄνθρωπος, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς ὥσπερ χάρτην εὔεργον εἰς ἀπογραφήν· εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται.

Πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος 2
ὁ διὰ τῶν αἰσθήσεων. αἰσθόμενοι γάρ τινος οἷον λευκοῦ ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν· ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φαμὲν ἔχειν ἐμπειρίαν· ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν φαντασιῶν πλῆθος.

Τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικῶς 3
γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως, αἱ δὲ ἤδη δι' ἡμετέρας διδασκαλίας καὶ ἐπιμελείας· αὗται μὲν οὖν ἔννοιαι καλοῦνται μόνον, ἐκεῖναι δὲ καὶ προλήψεις.

Ὁ δὲ λόγος, καθ' ὃν προσαγορευό- 4
μεθα λογικοὶ ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι δ' ἐννόημα φάντασμα διανοίας λογικοῦ ζῴου· τὸ γὰρ φάντασμα ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, τότε ἐννόημα καλεῖται εἰληφὸς τοὔνομα παρὰ τοῦ νοῦ.

---

1 de c. 11 dixi Prol. p. 61 || 2 διάθεσιν G(A)BC: corr. Wyttenbach || 6 χάρτην ἐνεργὸν G: χαρτίον ἐνεργὸν AB: χάρτης ἐνεργῶν C: correxi. χάρτην νευρῶν Reiske || 8 ἀπογράφεται B || 10 αἰσθανόμενοι (A)BC: correxi || 11 τινος B: τινες (A)C || 14 φαμὲν GAB: φασὶν C || 15 φαντασιῶν G: om. (A)BC, ἐννοιῶν coniecerat Reiske || 17 φυσικῶς G: φυσικαὶ (A)BC || εἰρημένους scil. μνήμην καὶ ἐμπειρίαν. sed cf. Zeller III 1, 67⁴ || 22 μόνον vulgo: μόναι GABC || 25 κατὰ τὴν πρώτην (A)B: κατὰ τὴν τὴν πρώτην C: κατὰ τὴν δευτέραν Ritter-Preller conl. Diog. VII 55 || 26 δὲ νόημα (A)BC: cf. G: correxi cf. Diog. VII 61 || 30 τὸν νοῦν (A)BC: correxi

Διόπερ τοῖς ἀλόγοις ζῴοις ὅσα προσπίπτει, φαντάσματα μόνον ἐστίν· ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς, ταῦτα καὶ φαντάσματα κατὰ γένος καὶ ἐννοήματα κατ' εἶδος· ὥσπερ τὰ δηνάρια καὶ οἱ στατῆρες αὐτὰ μὲν καθ' αὑτὰ ὑπάρχει δηνάρια ⟨καὶ⟩ στατῆρες· ἐὰν δὲ εἰς πλοίων δοθῇ μίσθωσιν, τηνικαῦτα πρὸς τῷ δηνάρια εἶναι καὶ ναῦλα λέγεται.

ιβ. Τίνι διαφέρει φαντασία φανταστὸν φανταστικὸν φάντασμα. G 93

Περὶ φαντασίας καὶ κριτηρίου.

Χρύσιππος διαφέρειν ἀλλήλων φησὶ τέτταρα ταῦτα. φαντασία μὲν οὖν ἐστι πάθος ἐν τῇ ψυχῇ γιγνόμενον, ἐνδεικνύμενον ἐν αὑτῷ καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν δι' ὄψεως θεωρῶμεν τὸ λευκόν, ἔστι πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ. καὶ ⟨κατὰ⟩ τοῦτο τὸ πάθος εἰπεῖν ἔχομεν, ὅτι ὑπόκειται λευκὸν κινοῦν ἡμᾶς· ὁμοίως καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὀσφρήσεως.

1 ἀλόγοις GB: ἀλλοίοις A: ἄλλοις C || οὐ προσπίπτει (A)BC: ex οὗ quod om. G ὅσα correxi || 2 quae post προσπίπτει ABC interpolata habent φαντάσματα, ὅσα δὲ καὶ τοῖς θεοῖς καὶ ἡμῖν γε om. G || φαντάσματα μόνον — 3 ταῦτα om. A || 3 καὶ τοῖς θεοῖς G: om. BC || 5 δηνάρια cf. Prol. p. 101 || 7 ὑπάρχειν C || καὶ om. ABC || 8 εἰ δ' B || πλοίων AB: πλοίου C || 10 λέγεται (A)B: λέγονται C || 11 inscribit G περὶ φαντασιῶν fortasse rectius. dixi de hoc c. Prol. p. 61 || φανταστὸν om. B cont., habet ind.: φαντασία φανταστικὸν καὶ φανταστικὸν pr. C, sed deletis vocis secundae tx litteris itemque καὶ || 15 addit G post ταῦτα· φαντασίαν φανταστὸν φανταστικὸν φάντασμα cf. Nemes. || μὲν οὖν om. C || 17 ἐν αὐτῷ AB: αὐτό τε GC sed cf. Nemesii codd. || 19 τι λευκόν coni. Reiske || 21 κατὰ addidit Wyttenbach || τὸ post τοῦτο deletum malebat Reiske || 23 ὁμοίως post ἁφῆς B || ἐπὶ τῆς ἁφῆς coni. Wyttenbach, sed cf. 20 διὰ τῆς ὁράσεως

ALIORUM EX AETIO EXCERPTA

12 Nemes. p. 75 Antv. 171 Matth. Φανταστικὸν μὲν οὖν ἐστι δύναμις τῆς ἀλόγου ψυχῆς διὰ τῶν αἰσθητηρίων ἐνεργοῦσα· φανταστὸν δὲ τὸ τῇ φαντασίᾳ ὑποπῖπτον ὡς αἰσθήσει αἰσθητόν· φαντασία δέ ἐστι πάθος τῆς ἀλόγου ψυχῆς ὑπὸ φανταστοῦ τινος γινόμενον· φάντασμα δὲ πάθος διάκενον ἐν τοῖς ἀλόγοις τῆς ψυχῆς μέρεσιν ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον.

1 **Idem** p. 76 A. 172 M. οἱ δὲ Στωικοὶ τέσσαρα ταῦτά φασι φαντασίαν φανταστὸν φανταστικὸν φάντασμα, φαντασίαν μὲν λέγοντες τὸ πάθος τῆς ψυχῆς τὸ ἐνδεικνύμενον ἐν ἑαυτῷ [sic codd. Dresd. 1. Monac. 1, τὸ ἐν ἑαυτῷ ante ἐνδεικνύμενον August. 1. 3, vulgo αὐτό τε] καὶ τὸ πεποιηκὸς φανταστόν. ὅταν γὰρ λευκὸν ἴδωμεν, ἐγγίνεταί τι πάθος τῇ ψυχῇ ἐκ τῆς λήψεως αὐτοῦ. ὡς γὰρ ἐν τοῖς αἰσθητηρίοις ἐγγίνεται πάθος, ὅταν αἰσθάνηται, οὕτω καὶ ἐν τῇ ψυχῇ, ὅταν ἐννοήσῃ· εἰκόνα γὰρ ἐν ἑαυτῇ δέχεται τοῦ νοητοῦ.

Εἴρηται δὲ ἡ φαντασία ἀπὸ τοῦ 2
φωτός· καθάπερ γὰρ τὸ φῶς αὑτὸ
δείκνυσι καὶ τὰ ἄλλα τὰ ἐν αὐτῷ
περιεχόμενα, καὶ ἡ φαντασία δείκνυσιν
ἑαυτὴν καὶ τὸ πεποιηκὸς αὐτήν.

Φανταστὸν δὲ τὸ ποιοῦν τὴν φαν- 3
τασίαν· οἷον τὸ λευκὸν καὶ τὸ ψυχρὸν
καὶ πᾶν ὅ τι ἂν δύνηται κινεῖν τὴν
ψυχήν, τοῦτ' ἔστι φανταστόν.

Φανταστικὸν δέ ἐστι διάκενος ἑλκυ- 4
σμός, πάθος ἐν τῇ ψυχῇ ἀπ' οὐδενὸς
φανταστοῦ γινόμενον καθάπερ ἐπὶ
τοῦ σκιαμαχοῦντος καὶ κενοῖς ἐπι-
φέροντος τὰς χεῖρας· τῇ γὰρ φαν-
τασίᾳ ὑπόκειταί τι φανταστόν, τῷ δὲ
φανταστικῷ οὐδέν.

Φάντασμα δέ ἐστιν, ἐφ' ὃ ἑλκό- 5
μεθα κατὰ τὸν φανταστικὸν διάκενον
ἑλκυσμόν· ταῦτα δὲ γίνεται ἐπὶ τῶν
μελαγχολώντων καὶ μεμηνότων· ὁ
γοῦν τραγικὸς Ὀρέστης ὅταν λέγῃ

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις
κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί
μου,

λέγει μὲν αὐτὰ ὡς μεμηνώς, ὁρᾷ δὲ
οὐδέν, ἀλλὰ δοκεῖ μόνον·

Διὸ καί φησιν αὐτῷ Ἠλέκτρα 6
μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν
δεμνίοις,
ὁρᾷς γὰρ οὐδέν, ὧν δοκεῖς σάφ'
εἰδέναι,

ὡς καὶ παρ' Ὁμήρῳ Θεοκλύμενος.

1 ἡ AB: om. GC || μὲν post φαντασία add. B || 2 αὐτὸ ABC || 8 δύνηται C: δύναται AB cf. Nemes. ὅτι δύναται || 13 κενὰς (A)BC: correxit Reiske || 14 τὰς C: om. AB || 15 τὸ δὲ φανταστικὸν B || 21 τραγικὸς Eur. Or. 255—259 || 22 ὦ μῆτερ om. B || 25 γὰρ αὗται B || 30 ἀτρέμας B || 34 Ὁμήρῳ υ 350

ALIORUM EX AETIO EXCERPTA

12 3 **Nemes.** p. 173 M. φανταστὸν δὲ τὸ πεποιηκὸς τὴν φαντασίαν αἰσθητόν, οἷον τὸ λευκὸν καὶ πᾶν ὅτι [δ alii codd.] δύναται κινεῖν τὴν ψυχήν.

4 **Idem** l. c. φανταστικὸν δὲ τὸν διάκενον διελκυσμὸν ἄνευ φανταστοῦ.

5 **Idem** l. c. φάντασμα δὲ ᾧ ἑφελκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμὸν ὡς ἐπὶ τῶν μεμηνότων καὶ μελαγχολώντων.

PLUTARCHI EPIT. IV 13

ιγ. Περὶ ὁράσεως, πῶς ὁρῶμεν. G 94.

Δημόκριτος Ἐπίκουρος κατὰ εἰδώλων εἴσκρισιν οἴονται τὸ ὁρατικὸν συμβαίνειν.

Καὶ κατά τινων ἀκτίνων ἔκκρισιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.

Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε προσαγορεύσας τὸ γιγνόμενον ἀκτινείδωλον συνθέτως.

STOBAEI ECL. I 52 [44] 1

Περὶ ὁράσεως. D 0 14'

1 Λεύκιππος Δημόκριτος Ἐπίκουρος κατὰ εἰδώλων εἴσκρισιν οἴονται τὸ ὁρατικὸν συμβαίνειν πάθος.

2 Καὶ κατά τινων ἀκτίνων ἔκκρισιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.

Τῶν Ἀκαδημαϊκῶν τινες κατά τινων ⟨ἀκτίνων⟩ ἔκχυσιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.

3 Ποσειδώνιος γοῦν αὐτὴν σύμφυσιν ὀνομάζει.

4 Ἐμπεδοκλῆς καὶ πρὸς τὸ διὰ τῶν ἀκτίνων καὶ πρὸς τὸ διὰ τῶν εἰδώλων ἐκδοχὰς παρέχεται. πλείους δὲ πρὸς ⟨τὸ⟩ δεύτερον. τὰς γὰρ ἀπορροίας ἀποδέχεται.

5 Ἐστιαῖος ὁ Περίνθιος τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε προσαγορεύσας τὸ γιγνόμενον ἀκτινείδωλον.

6 Τιμαγόρας εἷς τῶν παραχαραξάντων ἐν συχνοῖς τὴν Ἐπικούρειον αἵρεσιν ἀντὶ τῶν εἰδώλων ταῖς ἀπορροίαις χρῆται.

7 Στράτων χρώματά φησιν ἀπὸ τῶν σωμάτων φέρεσθαι συγχρῴζοντ' αὐτοῖς τὸν μεταξὺ ἀέρα.

---

1 ὁράσεως AB: ὁράσεως καὶ C || 2 εἴσκρισιν G: εἰσκρίσεις (A)BC || 3 οἴονται G: ᾠοντο (A)BC || 5 καὶ ABC: ἕτεροι interpolat G et vulgo cf. Prol. p. 55 || 5 ἔκχυσιν G: εἴσκρισιν (A)BC ex v. 3 repetitum: correxi cf. § 11 || 8 de lemmate cf. Prol. p. 64 || 9 ἀκτῖνας εἰδώλου (A)BC: correxi. ἀκτῖνας ἐξ εἰδώλων Reiske, εἰδωλάκτινας (!) Karsten || συνθέτως AC: συνθέτους B

1 omnia praeter § 11 ex uno Damasc. petita [p. 172, 16 – 174, 5 M.] || 5 dixi de antiqua dittographia Proleg. p. 55 || ἔγκρισιν D: correxi || 9 ἀκτίνων post τινων intercidit in D || ἔκχυσιν retinui, quamquam glossema videtur ut in Gal. [cf. Plut. § 2] similiter Plut. V 12 3 ἐκχύσεις superscribit cod. B, qui habet ἐκκρίσεις in contextu || 12 γοῦν cf. Prol. p. 185[1] || 17 δεύ^{τρ} D unde τὸ δεύτερον scripsi || 20 προσέμιξε D (sed προσ in litura)ex insequ. vocabulo transvectum. reduxi Plut. lectionem || 21 ἀκτὶν' εἰδώλων D: corr. Meineke || 22 (δ)ιμαγόρας (initiali rubr.) D cf. Prol. p. 100[1]. 185 || 23 τὸ ἐπικούρειον D || 27 (ἀ)τράτων (rubr. in.) D || συγχροίζοντ' D || αὐτοῖς coni. Meineke

PUTALRCHI EPIT. IV 13

Ἵππαρχος ἀκτῖνάς φησιν ἀφ' ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀποδιδόναι.

Πλάτων κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ [μὲν] τῶν σωμάτων φερομένου, ⟨τοῦ δὲ περὶ⟩ τὸν μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον συνεκτεινομένου τῷ πυρώδει τῆς ὄψεως. αὕτη λέγεται Πλατωνικὴ συναύγεια.

8 Ἀρισταγόρας σχήματα συνδιατυποῦντά πως αὐτοῖς τὸν ἀέρα.

9 Ἵππαρχος ⟨ἀκτῖνας⟩ ἀφ' ἑκατέρου φησὶ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν οἱονεὶ χειρῶν ἐπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι.

10 Ἔνιοι καὶ Πυθαγόραν τῇ δόξῃ ταύτῃ συνεπιγράφουσιν ἅτε δὴ βεβαιωτὴν τῶν μαθημάτων καὶ πρὸς τούτῳ Παρμενίδην ἐμφαίνοντα τοῦτο διὰ τῶν ποιημάτων.

11 Πλάτων συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον συνεντεινομένου τῷ πυρώδει τῆς ὄψεως. αὕτη λέγεται Πλατωνικὴ συναύγεια.

12 Ἀλκμαίων κατὰ τὴν τοῦ διαφανοῦς ἀντίληψιν.

---

2 ἑκατέρου G: ἑκατέρων (A)BC || 3 αὐτῶν (A)BC: correxi cf. Nemes || 4 περικαθαπτούσαις G(A)BC: corr. Reiske || 10 τοῦ δ' — 12 ἀέρα om. B || ἀπὸ μὲν AC: μὲν om. vulgo || 11 ἀντιφερομένου ex Stob. Wyttenbach || τοῦ δὲ περὶ ex Stob. additum om. (A)C cuius loco ἀπορρεῖν conflictum ex ἀπορρέοντος v. 9 insertum est || τὸν δὲ μεταξὺ (A)C restituit haec ex Stob. Wyttenbach || 13 συνεκτείνοντος (A)BC: correxit Wyttenbach cf. Stob. et Nemes.

3 ἀκτῖνας om. D || 5 αὐτῶν D || 6 περικαθαπτούσας sic recte D || 9 cf. Prol. p. 70 || 11 τοῦτο D || 12 τοῦτο D: ταὐτὸ Meineke || 14 post Πλάτων om. Stobaeus κατὰ cf. Plut. Nemes. || 21 ταύτῃ DA || 23 ἀντίλαμψιν conieci Prol. p. 223. sequitur Aristotelium cf. Ar. Didym. fr. 17

TESTIMONIA PLUTARCHI

13 11 **Psell.** d. omn. doctr. c. 81 ἡ ὅρασις γίνεται, ὅταν ἀπὸ τῶν ὀφθαλμῶν φῶς ἐκφερόμενον συναντήσῃ τῷ ἀπὸ τῶν σωμάτων συρρέοντι, ὅπερ ὁ Πλάτων ὀνομάζει συναύγειαν.

ALIORUM EX AETIO EXCERPTA

13 9 **Nemes.** p. 78 A. 178 M. Ἵππαρχος δέ φησιν ἀκτῖνας ἀπὸ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν ἑαυτῶν καθάπερ χειρῶν ἐπαφαῖς καθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι.

11 **Idem** p. 79 A. 180 M. post geometrarum Epicureorum Aristotelis placita cf. Prol. p. 48* Πλάτων δὲ κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον συνεκτεινομένου τῷ πυροειδεῖ τῆς ὄψεως.

PLUTARCHI EPIT. IV 14. 15.

ιδ. Περὶ κατοπτρικῶν ἐμφάσεων. G 95

Ἐμπεδοκλῆς κατὰ ἀπορροίας τὰς συνισταμένας μὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, τελειουμένας δὲ ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρώδους καὶ τὸν προκείμενον ἀέρα, εἰς ὃν φέρεται τὰ ῥεύματα, συμμεταφέροντος.

Δημόκριτος Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ὑποστάσεις, ἅτινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ ἀντιπεριστροφήν.

Οἱ ἀπὸ Πυθαγόρου κατ' ἀνταναklάσεις τῆς ὄψεως. φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληχθεῖσαν ὑποστρέφειν αὐτὴν ἐφ' ἑαυτὴν ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῇ ἐπὶ τὸν ὦμον ἀντεπιστροφῇ.

Δύναταί τις πᾶσι τούτοις τοῖς κεφαλαίοις χρῆσθαι ἐπὶ τοῦ πῶς ὁρῶμεν.

ιε. Εἰ ὁρατὸν τὸ σκότος. G 96

Οἱ Στωικοὶ ὁρατὸν εἶναι τὸ σκότος. ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα

STOBAEI ECL. I 52 [40]

Περὶ κατοπτρικῶν ἐμφάσεων. D O 14

Ἐμπεδοκλῆς κατ' ἀπορροίας τὰς συνισταμένας μὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, πιλουμένας δ' ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρώδους καὶ τὸν προκείμενον ἀέρα, εἰς ὃν φέρεται τὰ ῥεύματα, συμμεταφέροντος.

Λεύκιππος Δημόκριτος Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ἐμφάσεις, ἅτινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατ' ἀντεπιστροφήν.

Οἱ ἀπὸ Πυθαγόρου καὶ τῶν μαθηματικῶν κατ' ἀνάκλασιν τῆς ὄψεως. φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληχθεῖσαν ὑποστρέφειν αὐτὴν ἐφ' ἑαυτὴν ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῇ ἐπὶ τὸν ὦμον ἀντεπιστροφῇ.

Δύναταί δέ τις πᾶσι τούτοις τοῖς κεφαλαίοις χρήσασθαι ἐπὶ τοῦ πῶς ὁρῶμεν.

Σφαῖρος ὁ Στωικὸς ὁρατὸν εἶναι τὸ σκότος. ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα εἰς αὐτὸ αὐγήν.

Οἱ Στωικοὶ ὁρατὸν εἶναι τὸ σκότος. ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα

3 ἀπορροίας μὲν (A)BC: transposuit μὲν post συνισταμένας Reiske || 4 ἐμφανείας B || 5 τελειουμένας sive Plutarchi sive librarii errorem mire defendebat Karsten Emp. p. 489 || ἀπὸ B || 12 ὑποστάσεις (A)BC: ἐπιστάσεις G cf. Stob. || 14 κατὰ GABC: κατὰ τὴν vulgo || ἀντιστροφήν G || 18 ἐντυχοῦσαν G: στείχουσαν (A)BC || 20 πάσχουσαν C: πάσχουσα AB || 23 πᾶσι τούτοις C: τούτοις πᾶσι B: τούτοις ante χρῆσθαι A || 28 περικεῖσθαι (A)BC: corr. Reiske

3 omnia servantur in I. Dam. p. 174, 6—23 || de § 1 cf. Prol. p. 222 || 6 ἐκ D: ἀπὸ vulgo || 8 συντρέφοντος D: correxi ex Plut. || 11 ἐκστάσεις coni. Meineke cf. 13 2 at v. Theophr. d. sens. 51 || 18 τεταγμένην D: corr. Meineke || 22 τῆς – ἀντεπιστροφῆς D: corr. Meineke || 24 ἐπὶ τοῦ πῶς ὁρῶμεν li. e. ad illustrandum augendumque caput 13 || 26 §§ 1—3 continuat 14 4 nullo inter posito titulo D || 28 αὐτήν D

PLUTARCHI EPIT. IV 15. 16

εἰς αὐτὸ αὐγήν· καὶ οὐ ψεύδεται ἡ ὄρασις· βλέπεται γὰρ ταῖς ἀληθείαις, ὅτι ἐστὶ σκότος.

Χρύσιππος κατὰ τὴν συνέντασιν 3 τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, νυγέντος μὲν ὑπὸ τοῦ ὁρατικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, κατὰ δὲ τὴν πρὸς τὸν περικείμενον ἀέρα ἐπιβολὴν ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅταν ᾖ ὁμογενὴς ὁ ἀήρ. προχέονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι, οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις· διόπερ ὁρατὸν εἶναι τὸ σκότος.

ις. Περὶ ἀκοῆς. G 97

Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίνεσθαι 1 κατὰ πρόσπτωσιν πνεύματος τῷ χονδρώδει, ὅπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτὸς κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον.

Ἀλκμαίων ἀκούειν ἡμᾶς τῷ κενῷ 2 τῷ ἐντὸς τοῦ ὠτός· τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν· πάντα γὰρ τὰ κενὰ ἠχεῖ.

Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος 3 ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου.

Πλάτων καὶ οἱ ἀπ' αὐτοῦ πλήτ- 4 τεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα· τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικὰ καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

8 μετὰ δὲ (A)BC: corr. Meziriac || 9 τὸν παρακείμενον (A)BC: correxi cf. p. 409ª 13 || 17 πνεύματι (ex πνεύματος corr.) B || χονδρώδει G: χρονιώδει AB: κοχλιώδει C cf. Prol. p. 222 sq. || 21 de §§ 2. 3 cf. Prol. p. 223 || 24 εἰσβολήν G: ἐμβολήν (A)BC Psellus || ἠχεῖν G

STOBAEI ECL. I 52 [44] 53 [45] 1

ἐπ' αὐτὸ αὐγήν. καὶ οὐ ψεύδεται ἡ ὄρασις· βλέπεται γὰρ ταῖς ἀληθείαις, ὅτι ἐστὶ σκότος.

Χρύσιππος κατὰ συνέντασιν [τὰ ὄντα] τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, νυγέντος μὲν ὑπὸ τοῦ ὀπτικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, κατὰ δὲ τὴν πρὸς τὸν περικείμενον ἀέρα ἐπιβολὴν ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅταν ᾖ ὁμογενὴς ὁ ἀήρ. προχέονται δ' ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι, οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις· διόπερ ὁρατὸν εἶναι τὸ σκότος.

Περὶ ἀκοῆς. D A 30

Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίνεσθαι κατὰ τὴν πρόσπτωσιν πνεύματος τῷ χόνδρῳ, ὅνπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτὸς κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον.

Ἀλκμαίων ἀκούειν ἡμᾶς τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός. τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν. πάντα γὰρ τὰ κοῖλα ἠχεῖ.

Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου.

Οἱ ἀπὸ Πλάτωνος πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικὰ καὶ γίγνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

4 κατὰ τὴν vulgo || τὰ ὄντα fuerit olim τῷ ὄντι ad ταῖς ἀληθείαις v. 2 adscriptum || 6 νυγέντες D || 15 § 4 in Stobaeo exstat, cetera ex Dam. [p. 238, 9—20] suppleta || 17 καὶ τὴν D: corr. Meineke || πρόπτωσιν D: correxi || 23 διηθοῦν D: corr. Meineke || 28 ἡ rubr. D: οἱ Gaisford

TESTIMONIA PLUTARCHI

16 2 **Psell.** d. omn. doctr. 81 ἀκούομεν δὲ τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός. τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος ἐμβολήν.

PLUTARCHI EPIT. IV 17. 18. 19

ιζ. Περὶ ὀσφρήσεως. G 98

Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ εἶναι 1
τὸ ἡγεμονικόν· τούτῳ οὖν ὀσφραίνεσθαι
ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς.
Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς 2
ἀπὸ τοῦ πνεύμονος συνεισκρίνεσθαι
τὴν ὀσμήν· ὅταν γοῦν ἡ ἀναπνοὴ βα-
ρεῖα γίνηται, κατὰ τραχύτητα μὴ συν-
αισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματι-
ζομένων.

ιη. Περὶ γεύσεως. G 99

Ἀλκμαίων τῷ ὑγρῷ καὶ τῷ 1
χλιαρῷ τῷ ἐν τῇ γλώττῃ πρὸς τῇ
μαλακότητι διακρίνεσθαι τοὺς χυμούς.
Διογένης τῇ ἀραιότητι τῆς γλώτ- 2
της καὶ τῇ μαλακότητι καὶ διὰ τὸ
συνάπτειν τὰς ἀπὸ τοῦ σώματος εἰς
αὐτὴν φλέβας διαχεῖσθαι τοὺς χυμοὺς
ἑλκομένους ἐπὶ τὴν αἴσθησιν καὶ τὸ
ἡγεμονικὸν καθάπερ ἀπὸ σπογγιᾶς.

ιθ. Περὶ φωνῆς. G 100

Πλάτων τὴν φωνὴν ὁρίζεται 1
πνεῦμα διὰ στόματος ἀπὸ διανοίας

2 de §§ 1. 2 cf. Prol. p. 223 || 3 γοῦν B || 8 γίνηται BC: γένηται (A) || τραχύτητα (A)C: τρ
παχύτητα B: παχύτητα explicat *poris obstructis* Karsten Emp. p. 482 [282] || 8 συναισθάνεσθαι vulgo: συναισθέσθαι AB: αἰσθάνεσθαι C || 12 de §§ 1. 2 cf. Prol. p. 223 || τῷ χλιαρῷ καὶ τῷ ὑγρῷ ἐν τῇ γλώσσῃ B || 14 διακρίνεσθαι — 15 ἀραιότητι om. A || 18 χυμοὺς BC: χυλοὺς (A)

TESTIMONIA PLUTARCHI

17 1 **Psell.** d. omnif. doctr. c. 81 ὀσφραίνομεν δὲ τῷ ἡγεμονικῷ τῷ ὄντι ἐν τῷ ἐγκεφάλῳ, ἕλκοντι δὲ διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς.

18 2 **Idem** l. c. γεύομεν δὲ τῇ ἀραιότητι τῆς γλώττης καὶ τῇ μαλακότητι καὶ διὰ τὸ συνάπτειν τὰς ἀπὸ τοῦ σώματος εἰς αὐτὴν φλέβας τὴν φύσιν.

19 1 **Idem** l. c. ἡ δὲ φωνὴ πνεῦμά ἐστι διὰ τοῦ στόματος ἀπὸ διανοίας ἠγμένον.

STOBAEI ECL. I 54 55 [45] 57 [46] 1

Περὶ ὀσφρήσεως. D O 16.

Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ εἶναι 1
τὸ ἡγεμονικόν, τούτῳ οὖν ὀσφραίνεσθαι
ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς.
Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς 3
ἀπὸ τοῦ πνεύμονος συνεισκρίνεσθαι
τὴν ὀσμήν. ὅταν γοῦν ἡ ἀναπνοὴ βα-
ρεῖα γένηται κατὰ τραχύτητα μὴ συν-
αισθάνεσθαι ὡς ἐπὶ τῶν ῥευματι-
ζομένων.

Περι γεύσεως. D Γ 12

Περὶ φωνῆς.

Πλάτων τὴν φωνὴν ὁρίζεται πνεῦ- 1
μα διὰ στόματος ἀπὸ διανοίας καὶ

1 in Stob. reliquiae nullae, in Damasc. p. 176, 5—12 M.
7 πνοή D: correxi
8 παχύτητα D cf. Plut.: correxi
12 Stobaei titulus cc. 19—21 comprehendit

PLUTARCHI EPIT. IV 19

ἠγμένον καὶ πληγὴν ὑπὸ ἀέρος δι' ὠτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην. λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζῴων φωνὴ καὶ τῶν ἀψύχων ὡς χρεμετισμοὶ καὶ ψόφοι· κυρίως δὲ φωνὴ ἡ ἔναρθρός ἐστιν ὡς φωτίζουσα τὸ νοούμενον.

Ἐπίκουρος τὴν φωνὴν εἶναι ῥεῦμα 2 ἐκπεμπόμενον ἀπὸ τῶν φωνούντων ἢ ἠχούντων ἢ ψοφούντων· τοῦτο δὲ τὸ ῥεῦμα εἰς ὁμοιοσχήμονα θρύπτεσθαι θραύσματα· ὁμοιοσχήμονα δὲ λέγεται τὰ στρογγύλα τοῖς στρογγύλοις καὶ σκαληνὰ καὶ τρίγωνα τοῖς ὁμοιογενέσι· τούτων δ' ἐμπιπτόντων ταῖς ἀκοαῖς ἀποτελεῖσθαι τὴν αἴσθησιν τῆς φωνῆς· φανερὸν δὲ τοῦτο γίνεσθαι ἀπὸ τῶν ἀσκῶν ἐκρεόντων καὶ τῶν ἐμφυσώντων κναφέων τοῖς ἱματίοις.

Δημόκριτος καὶ τὸν ἀέρα φησὶν 3 εἰς ὁμοιοσχήμονα θρύπτεσθαι σώματα, καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς θραύσμασι.

'κολοιὸς γὰρ παρὰ κολοιὸν ἱζάνει'

καὶ

'ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.'

καὶ γὰρ ἐν τοῖς αἰγιαλοῖς αἱ ὅμοιαι ψῆφοι κατὰ τοὺς αὐτοὺς τόπους ὁρῶνται, κατ' ἄλλο μὲν αἱ σφαιροειδεῖς,

STOBAEI ECL. I 57 [46] 1

πληγὴν ὑπ' ἀέρος δι' ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην. λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζῴων φωνὴ καὶ τῶν ἀψύχων ὡς χρεμετισμοὶ καὶ ψόφοι. κυρίως δὲ φωνὴ ἔναρθρός ἐστιν, ἔστι γὰρ φωτίζουσα τὸ νοούμενον.

1 προηγμένον coni. Reiske || 3 καὶ C: καὶ ἡ AB || 9 ῥεῦμα i. e. ῥεῦμ' ἀτόμων Democriti ap. Gell. V 15 || 19 ἐμφυσώντων AB: ἐκφυσώντων C || dubitavit de his exemplis I. G. Schneider Ecl. phys. II 257. sed illustrantur τὰ ὁμοιοσχήμονα θραύσματα cf. Senec. Qu. N. I 3 2 Placit. III 5 9 || 22 post σώματα repetunt vulgo ὁμοιοσχήμονα—στρογγύλοις ex v. 13: recte pergunt ABC || 25 cf. Arist. Eth. magn. II 11 p. 1208^{b}9 || 27 ὡς αἰεὶ AB: om. ὡς C cf. Hom. ρ 218 || 31 κατ' ἄλλον bis Reiske, sed cf. Burchard Democrit. d. sensib. p. 10

3 λέγεται κτλ. non iam ad Platonem pertinent

κατ' ἄλλο δὲ αἱ ἐπιμήκεις· καὶ ἐπὶ τῶν κοσκινευόντων δὲ ἐπὶ τὸ αὐτὸ συναλίζεται τὰ ὁμοιοσχήμονα, ὥστε χωρὶς εἶναι τοὺς χυάμους καὶ ἐρεβίνθους. ἔχοι δ' ἄν τις πρὸς τούτους εἰπεῖν· πῶς ὀλίγα θραύσματα πνεύματος μυρίανδρον ἐκπληροῖ θέατρον;

Οἱ δὲ Στωικοί φασι τὸν ἀέρα μὴ 4
συγκεῖσθαι ἐκ θραυσμάτων, ἀλλὰ συνεχῆ δι' ὅλου, μηδὲν κενὸν ἔχοντα· ἐπειδὰν δὲ πληγῇ πνεύματι, κυματοῦται κατὰ κύκλους ὀρθοὺς εἰς ἄπειρον, ἕως πληρώσῃ τὸν περικείμενον ἀέρα, ὡς ἐπὶ τῆς κολυμβήθρας τῆς πληγείσης λίθῳ. καὶ αὕτη μὲν κυκλικῶς κινεῖται, ὁ δ' ἀὴρ σφαιρικῶς.

Ἀναξαγόρας τὴν φωνὴν γίνεσθαι 5
πνεύματος ἀντιπεσόντος μὲν στερεμνίῳ ἀέρι, τῇ δ' ὑποστροφῇ τῆς πλήξεως μέχρι τῶν ἀκοῶν προσενεχθέντος· καθὸ καὶ τὴν λεγομένην ἠχὼ γίνεσθαι.

x. Εἰ ἀσώματος ἡ φωνὴ καὶ πῶς ἠχὼ γίνεται. G 101

Εἰ ἀσώματος ἡ φωνή.

Πυθαγόρας Πλάτων Ἀριστοτέλης ἀσώματον. οὐ γὰρ τὸν ἀέρα, ἀλλὰ τὸ σχῆμα τὸ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν κατὰ ποιὰν πλῆξιν γίνεσθαι φωνήν· πᾶσα δὲ ἐπιφάνεια ἀσώματος· συγκινεῖται μὲν γὰρ τοῖς σώμασιν, αὐτὴ δὲ ἀσώματος πάντως 1

1 al ἐπιμήκεις C: om. AB spatio relicto, cf. Sextus adv. mathem. VII 117 || 2 κοσκινευομένων suadebat Burchard ex Sexti l. c. || δὲ ἐπὶ C: δ' om. AB || συναλίζεται AC: συναυλίζεται B || 5 τούτους C: τούτοις (A)B || 9 θραυμάτων C || συνεχῆ εἶναι vulgo: εἶναι om. GABC || 12 κυματοῦται GAC: κυματοῦσθαι vulgo, at cf. v. 15: κυκλοῦται B || ὀρθοὺς suspectum om. G cf. Diog. VII 158 || 13 πληρώσει B cf. G || 17 Anaximandro haec tribuit G, Archelao Diog. II 17 || 31 αὕτη A || πάντως ABC: παντός vulgo

καθέστηκεν· ὥσπερ ἐπὶ τῆς καμπτομένης ῥάβδου ἡ μὲν ἐπιφάνεια οὐδὲν πάσχει, ἡ δὲ ὕλη ἐστὶν ἡ καμπτομένη.

Οἱ δὲ Στωικοὶ σῶμα τὴν φωνήν· 2
πᾶν γὰρ τὸ δρῶν ἢ καὶ ποιοῦν σῶμα· ἡ δὲ φωνὴ ποιεῖ καὶ δρᾷ· ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης τῇ ἀκοῇ καὶ ἐκτυπούσης καθάπερ δακτυλίου εἰς κηρόν. ἔτι πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστι· κινεῖ δὲ ἡμᾶς ἡ εὐμουσία, ἐνοχλεῖ δὲ ἡ ἀμουσία. ἔτι πᾶν τὸ κινούμενον σῶμά ἐστι· κινεῖται δὲ ἡ φωνὴ καὶ προσπίπτει εἰς τοὺς λείους τόπους καὶ ἀνταναχλᾶται καθάπερ ἐπὶ τῆς σφαίρας τῆς βαλλομένης εἰς τοῖχον· ἐν γοῦν ταῖς κατ' Αἴγυπτον πυραμίσιν ἔνδον μία φωνὴ ῥηγνυμένη τέτταρας ἢ καὶ πέντε ἤχους ἀπεργάζεται.

κα. Πόθεν αἰσθητικὴ γίνεται ἡ ψυχὴ καὶ τί αὐτῆς τὸ ἡγεμονικόν. G 102

Τί αὐτῆς τὸ ἡγεμονικόν.

Οἱ Στωικοί φασιν εἶναι τῆς ψυ- 1
χῆς ἀνώτατον μέρος τὸ ἡγεμονικόν, τὸ ποιοῦν τὰς φαντασίας καὶ συγκαταθέσεις καὶ αἰσθήσεις καὶ ὁρμάς· καὶ τοῦτο λογισμὸν καλοῦσιν.

Ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἑπτὰ μέρη 2
ἐστὶ τῆς ψυχῆς ἐκπεφυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα καθάπερ αἱ ἀπὸ τοῦ πολύποδος πλεκτάναι· τῶν δὲ ἑπτὰ μερῶν τῆς ψυχῆς πέντε μέν

5 de § 2 dixi Prol. p. 178 || 6 ὁρῶν G: ὁρώμενον (A)BC || 10 δακτυλίου AB: δακτύλιον C || 15 προσπίπτει AB: ἐμπίπτει C || 19 μία φωνὴ ABC: ordine inverso vulgo || 20 ἤχους (A)BC: an ἠχοὺς? cf. titulus || 23 καὶ τί αὐτῆς τὸ ἡγεμονικόν (A)B: καὶ τί τὸ ταύτης ἡγ. C || 27 καὶ A: καὶ τὰς BC || 31 ἐστὶ GAB: εἰσὶ C

εἰσι τὰ αἰσθητήρια, ὅρασις ὄσφρησις ἀκοὴ γεῦσις καὶ ἁφή.

Ὧν ἡ μὲν ὅρασις ἐστὶ πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρις ὀφθαλμῶν, ἀκοὴ δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ὤτων, ὄσφρησις δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι μυκτήρων [λεπτῦνον], γεῦσις δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι γλώττης, ἁφὴ δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ἐπιφανείας εἰς θίξιν εὐαίσθητον τῶν προσπιπτόντων. 3

Τῶν δὲ λοιπῶν τὸ μὲν λέγεται σπέρμα, ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν παραστατῶν· τὸ δὲ 'φωνᾶεν' ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν, ἔστι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης καὶ τῶν οἰκείων ὀργάνων. αὐτὸ δὲ τὸ ἡγεμονικὸν ὥσπερ ἐν κόσμῳ * κατοικεῖ ἐν τῇ ἡμετέρᾳ σφαιροειδεῖ κεφαλῇ. 4

χβ. Περὶ ἀναπνοῆς. G 103

Ἐμπεδοκλῆς τὴν πρώτην ἀναπνοὴν τοῦ [πρώτου] ζῴου γίνεσθαι τῆς ⟨μὲν⟩ ἐν τοῖς βρέφεσιν ὑγρασίας ἀποχώρησιν λαμβανούσης, πρὸς δὲ τὸ

Περὶ ἀναπνοῆς. D A 53

1 Stobaei titulus cc. 22 et 23 comprehendit

4 ἀπὸ — v. 5 διατεῖνον om. B || 6 τοῦ om. C || 8 μυκτήρων — 10 μέχρι om. B || λεπτῦνον ut interpolatum seclusit Beck cum Reiskeo. si scribas λεπτὸν ὄν, interpolandi ratio pateat || 11 τοῦ B om. AC || 13 τῶν B ut Reiske coniecit: om. (A)C || 15 τὸ μὲν G: ὃ μὲν ABC || ὅπερ G(A)C: ὃ B || 20 μέχρι BC: ἕως A cf. Prol. p. 34 || 22 post κόσμῳ addiderim ἥλιος, quod compendiose scriptum facile intercidit. cf. II 4 16 Laert. VII 139. minus placet additum θεός cl. Lactant. opif. c. 16 || 27 πρώτου explicat ἀρτιγενοῦς schol. B. sed rectius induxit Karsten conlato V 15 3 || γενέσθαι (A)BC: correxi ex V 15 3 || 28 μὲν addidi ex V 15 3

παρακενωθὲν ἐπεισόδου [τῆς ἔξωθεν] τοῦ ἐκτὸς ἀερώδους γινομένης εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων· τὸ δὲ μετὰ τοῦτο ἤδη τοῦ ἐμφύτου θερμοῦ τῇ πρὸς τὸ ἐκτὸς ὁρμῇ τὸ ἀερῶδες ὑπαναθλίβοντος τὴν ἐκπνοήν, τῇ δ' εἰς τὸ ἐκτὸς ἀνθυποχωρήσει τῷ ἀερώδει τὴν ἀντεπείσοδον παρεχομένου τὴν εἰσπνοήν. τὴν δὲ νῦν κατέχουσαν φερομένου τοῦ αἵματος ὡς πρὸς τὴν ἐπιφάνειαν καὶ τὸ ἀερῶδες διὰ τῶν ῥινῶν ταῖς ἑαυτοῦ ἐπιρροίαις ἀναθλίβοντος κατὰ τὴν ἐκχώρησιν αὐτοῦ γίνεσθαι τὴν ἐκπνοήν, παλινδρομοῦντος δὲ καὶ τοῦ ἀέρος ἀντεπεισιόντος εἰς τὰ διὰ τοῦ αἵματος ἀραιώματα τὴν εἰσπνοήν. ὑπομιμνήσκει δὲ τὸ ἐπὶ τῆς κλεψύδρας.

Ἀσκληπιάδης τὸν μὲν πνεύμονα 2
χώνης δίκην συνίστησιν, αἰτίαν δὲ τῆς ἀναπνοῆς τὴν ἐν τῷ θώρακι λεπτομέρειαν ὑποτίθεται, πρὸς ἣν τὸν ἔξωθεν ἀέρα ῥεῖν τε καὶ φέρεσθαι παχυμερῆ ὄντα, πάλιν δὲ ἀπωθεῖσθαι μηκέτι τοῦ θώρακος οἷόν τε ὄντος μήτ' ἐπεισδέχεσθαι μήθ' ὑποστέγειν· ὑπολειπομένου δέ τινος ἐν τῷ θώρακι λεπτομεροῦς ἀεὶ βραχέος (οὐ γὰρ ἅπαν ἐκκρίνεται), πρὸς τοῦτο πάλιν τὸ εἴσω ὑπομένον ⟨τὴν⟩ βαρύτητα τοῦ ἐκτὸς ἀντεπεισφέρεσθαι· ταῦτα

---

1 τῆς ἔξωθεν ut interpolatum inclusi cf. V 15 3 || 7 τὸ om. A || 10 τοῦ ὕδατος B || 13 καὶ τὴν (A)BC: emend. corrector Vossiani || ἐγχώρησιν B || 15 ἀντεπεισιόντος AB. ἀντεπεισαχθέντος vulgo || 17 ὑπομιμνήσκει δὲ αὐτὸ (A)BC: correxi. ὑ. δ' αὐτῷ τὸ ἐπὶ volebat Reiske || 18 κλεψύδρας cf. v. 295 Stein || 26 ἐπιδέχεσθαι A || μήθ' ὑστερεῖν ABC: restitui e G || 30 εἴσω BC: ἴσω (A) || 29 ἐκκρίνεσθαι G || 30 βαρύτητα τοῦ (A)C: βαρύτητας τὰς B: addidi τὴν cf. G. βραχύ τι con. Meziriac, sed cf. v. 23 παχυμερῆ ὄντα || 31 ἀντεπεισφέρεσθαι A: ἀντεπεισφέρεται B (sed corr. ex ἀντεπεισφέρεσθαι) et C cf. G

δὲ ταῖς σικύαις ἀπεικάζει· τὴν δὲ κατὰ προαίρεσιν ἀναπνοὴν γίνεσθαί φησι συναγομένων τῶν ἐν τῷ πνεύμονι λεπτοτάτων πόρων καὶ τῶν βραγχίων στενουμένων· τῇ γὰρ ἡμετέρᾳ ταῦθ' ὑπακούει προαιρέσει.

Ἡρόφιλος δυνάμεις ἀπολείπει 3
περὶ τὰ σώματα τὰς κινητικὰς ἐν νεύροις ἐν ἀρτηρίαις ἐν μυσί· τὸν οὖν πνεύμονα νομίζει πρῶτον ὀρέγεσθαι διαστολῆς τε καὶ συστολῆς φυσικῶς. [εἶτα δὲ καὶ τἆλλα·] ἐνέργειαν μὲν οὖν εἶναι τοῦ πνεύμονος τὴν ἔξωθεν τοῦ πνεύματος ὁλκήν. ὑπὸ δὲ τῆς πληρώσεως τῆς θύραθεν γινομένης ἐφέλκεται· παρακειμένως δὲ διὰ τὴν δευτέραν ὄρεξιν ἐφ' αὑτὸν ὁ θώραξ τὸ πνεῦμα μετοχετεύει, πληρωθεὶς δὲ καὶ μηκέτι ἐφέλκεσθαι δυνάμενος, πάλιν εἰς τὸν πνεύμονα τὸ περιττὸν ἀντιμεταρρεῖ, δι' οὗ πρὸς τὰ ἐκτὸς τὰ τῆς ἀποκρίσεως γίνεται τῶν σωματικῶν μερῶν ἀντιπασχόντων ἀλλήλοις. ὅτε μὲν γὰρ διαστολή, ⟨ὅτε δὲ συστολὴ⟩ γίνεται πνεύμονος, ταῖς ἀλλήλων ἀντιμεταλήψεσι πληρώσεώς

1 de cucurbitarum exemplo cf. Chrysippus ap. Achill. p. 126 E Petav. || δὴ AB || ἀπεικάζει G vulgo: παρεικάζει (A)BC || 4 βραγχίων (A): βραγχέων BC: βρογχίων corrector Vossian. cf. ind. Aristot. p. 142b22, 143b36 || 6 ὑπακούειν G || 8 τὰς neglegit G. num αὐτὰς *(sponte)* cf. φυσικῶς v. 11 et V 15 5 || 10 μόνον ὀρέγεσθαι (A)BC: προορέγεσθαι G: correxi. opponitur θώρακος δευτέρα ὄρεξις v. 17 || 12 εἶτα δὴ τὰ ἄλλα B: εἶτα δὲ καὶ τἆλλα C: δὲ — 14 πνεύματος om. A: delevi εἶτα δὲ καὶ τἆλλα omissa a G scribente φυσικὴν ἐνέργειαν. — καὶ τἆλλα a librario breviata esse coni. Meziriac. τἆλλα ἐνεργεῖν Beck || μὲν οὖν G: οὖν om. (A)BC || 16 ἐφέλκεσθαι G qui addit μὴ δυνάμενον εἰς τὸν θώρακα τὸ περιττὸν ἀναπέμπειν || 17 ἐφ' ἑαυτὸν B: ἐπ' αὐτὸν (A)C || 18 μετοχετεύει B idemque Reiske coniecerat. de A mihi non constat: μετοχετεύων C || 21 ἀντιμεταρρεῖ cf. p. 414a 6 || 24 addidi ὅτε δὲ συστολή || 25 πνεύματος B

τε καὶ κενώσεως γινομένης· ὡς τέτταρας μὲν γίνεσθαι κινήσεις περὶ τὸν πνεύμονα· τὴν μὲν πρώτην καθ' ἣν ἔξωθεν ἀέρα δέχεται, τὴν δὲ δευτέραν καθ' ἣν τοῦθ' ὅπερ ἐδέξατο θύραθεν ἐντὸς αὑτοῦ πρὸς τὸν θώρακα μεταρρεῖ, τὴν δὲ τρίτην καθ' ἣν τὸ ἀπὸ τοῦ θώρακος συστελλόμενον αὖθις εἰς αὑτὸν ἐκδέχεται, τὴν δὲ τετάρτην καθ' ἣν τὸ ἐξ ὑποστροφῆς ἐν αὐτῷ γινόμενον θύραζε ἐξερᾷ. τούτων δὲ τῶν κινήσεων δύο μὲν εἶναι διαστολάς, τήν τε ἔξωθεν τήν τε ἀπὸ τοῦ θώρακος· δύο δὲ συστολάς, τὴν μὲν ὅταν ὁ θώραξ ἐφ' αὑτὸν τὸ πνευματικὸν ἑλκύσῃ, τὴν δὲ ὅταν αὐτὸς εἰς τὸν ἐκτὸς ἀέρα ἀποκρίνῃ· δύο γὰρ μόναι γίνονται περὶ τὸν θώρακα· διαστολὴ μὲν ὅταν ἀπὸ τοῦ πνεύμονος ἐφέλκηται, συστολὴ δὲ ὅταν τούτῳ πάλιν ἀνταποδιδῷ.

χγ. Περὶ παθῶν σωματικῶν καὶ εἰ συναλγεῖ τούτοις ἡ ψυχή. G 104

Περὶ παθῶν. D A 53

1 Οἱ Στωικοὶ τὰ μὲν πάθη ἐν τοῖς πεπονθόσι τόποις, τὰς δὲ αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ.

2 Ἐπίκουρος καὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις ἐν τοῖς πεπονθόσι τόποις, τὸ δὲ ἡγεμονικὸν ἀπαθές.

---

2 μὲν delevit Reiske, at cf. δὲ v. 12 || 6 αὑτοῦ vulgo: αὐτοῦ ABC || 6 μεταρρεῖν A || 9 αὑτὸν (A)C: τὸν αὐτὸν B: correxi || 10 ἣν AB: ἣν καὶ C || 11 γινόμενον C: γενόμενον AB || 15 ὁ om A || ὑπ' αὐτὸν BC: ὑπ' αὐτὸ A: correxi cf. p. 413a 17 || 17 ἐκτὸς AB cf. p. 413a 21: κόλπον mire C || 21 ταὐτὸ AB: αὐτὸ C: correxi || 22 σωματικῶν — 24 ψυχή recte omisisse videtur G || 23 τούτοις A cont., B: αὐτοῖς A ind.: τούτῳ C || 26 τὰς δὲ — 29 τόποις om. B || 30 τὸ δὲ G cf. v. 26: τὸ γὰρ (A)BC || ἀπαθές errorem demonstrat Zeller III 1, 386[2] male intellecta videntur qualia docet Lucret. III 252 — 257 cf. Prol. p. 219 sq.

Στράτων καὶ τὰ πάθη τῆς ψυχῆς 3
καὶ τὰς αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ,
οὐκ ἐν τοῖς πεπονθόσι τόποις συν-
ίστασθαι. ἐν γὰρ ταύτῃ κεῖσθαι τὴν
ὑπομονήν, ὥσπερ ἐπὶ τῶν δεινῶν καὶ
ἀλγεινῶν [καὶ ὥσπερ ἐπὶ τῶν ἀν-
δρείων καὶ δειλῶν.]

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ᾱ. Περὶ μαντικῆς. G 105

Περὶ μαντικῆς.

Πλάτων καὶ οἱ Στωικοὶ τὴν 1
μαντικὴν εἰσάγουσι κατὰ τὸ ἔνθεον
ὅπερ ἐστὶν ἐνθεαστικόν [κατὰ θειό-
τητα τῆς ψυχῆς, ὅπερ εἶπεν ἐνθου-
σιαστικόν] καὶ τὸ ὀνειροπολικόν. οὗτοι
τὰ πλεῖστα μέρη τῆς μαντικῆς ἐγκρί-
νουσι.

Ξενοφάνης καὶ Ἐπίκουρος ἀν- 2
αιροῦσι τὴν μαντικήν.

Πυθαγόρας δὲ μόνον τὸ θυτικὸν 3
οὐκ ἐγκρίνει.

---

4 τούτῳ coni. Zeller II 2, 743⁴. sed videtur contracta sententia, qualem tradit [Plutarch.] utr. an. an corp. sitli bid. I 4 Στράτων ὁ φυσικὸς οὐ μόνον τὰς ἐπιθυμίας ἀλλὰ καὶ τὰς λύπας, οὐδὲ τοὺς φόβους καὶ τοὺς φθόνους καὶ τὰς ἐπιχαιρεκακίας, ἀλλὰ καὶ πόνους καὶ ὀδύνας [sic Wyttenbach et Duebner, antea ἡδονάς] καὶ ἀλγηδόνας καὶ ὅλως πᾶσαν αἴσθησιν ἐν τῇ ψυχῇ συνίστασθαι . . . || 4 κεῖσθαι BC: [cf. Prol. p. 37]: κινεῖσθαι (A) || 6 καὶ—δειλῶν ut variam priorum lectionem inclusi, neglexit ea G || τῶν AB: om. C || 9 de c. 1 cf. Prol. p. 224 || 11 μαντικὴν εἶναι λέγουσι B, sed εἰσάγουσι super ἐγκρίνουσι v. 15|| 12 ἐνθεαστικόν G: ἐνθουσιαστικόν (A)BC|| κατὰ—ἐνθουσιαστικόν paraphrasis ante G in contextum irrepsit || 14 post ὀνειροπολικόν addit G καὶ τὸ ἀστρονομικὸν καὶ τὸ ὀρνεοσκοπτικόν. at refertur Platonis doctrina (Tim. p. 71 E). iam οὗτοι sunt Stoici cf. Prol. p. 63 sq. || 20 οὐκ om. C

1 de Stobaei c. cf. Prol. p. 61

Ἀριστοτέλης καὶ Δικαίαρχος 4
τὸ κατ' ἐνθουσιασμὸν μόνον παρεισ-
άγουσι καὶ τοὺς ὀνείρους, ἀθάνατον
μὲν εἶναι οὐ νομίζοντες τὴν ψυχήν,
θείου δέ τινος μετέχειν αὐτήν.

β. Πῶς ὄνειροι γίνονται. G 106

Δημόκριτος τοὺς ὀνείρους γί- 1
νεσθαι κατὰ τὰς τῶν εἰδώλων παρα-
στάσεις.

Στράτων ἀλόγῳ φύσει τῆς δια- 2
νοίας ἐν τοῖς ὕπνοις αἰσθητικωτέρας
μέν πως γινομένης, παρ' αὐτὸ δὲ
τοῦτο τῷ γνωστικῷ κινουμένης.

Ἡρόφιλος τῶν ὀνείρων τοὺς μὲν 3
θεοπέμπτους κατ' ἀνάγκην γίνεσθαι,
τοὺς δὲ φυσικοὺς ἀνειδωλοποιουμένης
ψυχῆς τὸ συμφέρον αὐτῇ καὶ τὸ
πάντως ἐσόμενον, τοὺς δὲ † συγκρα-
ματικοὺς [ἐκ τοῦ αὐτομάτου] κατ' εἰ-
δώλων πρόσπτωσιν, ὅταν ἃ βουλόμεθα
βλέπωμεν ὡς ἐπὶ τῶν τὰς ἐρωμένας
ὁρώντων ἐν ὕπνῳ γίνεται.

---

12 παρ' αὐτῶ δὲ τούτω BC: παρ' αὐτὸ τοῦτο δὲ (A): δι' αὐτὸ δὲ τοῦτο G || 13 γνωστικῆς γινομένης G. τοῦ γνωστικοῦ γινομένου coni. Beck, γνωστικῶς κινουμένης Reiske, οὐ γνωστικῶς κινουμένης ego. cf. Zeller II 2, 745[5] (memorabile scholion in B: ἐκ τοῦ νοὸς μὴ μεταβαινούσης). || 14 τῶν ὀνείρων τοὺς μὲν GAB: τοὺς ὀνείρους τοὺς C || 15 θεοπέμπτους G cf. Arist. de divinat. 2 p. 463[b] 13: θεοπνεύστους (A)BC cf. Prol. p. 15 || 18 πάντως G: πρὸς τούτοις (A)BC || συγκραματικοὺς (A)BC: συγκριματικοὺς G: συγκρουματικούς Reiske, συγκυρματικούς Wyttenbach. conicio πνευματικοὺς ex V 15 5 || 19 ἐκ τοῦ αὐτομάτου induxi ut ad explicandum alterum genus v. 16—18 additum cf. p. 423[a] 13 || 22 ἐρώντων G: ἐχόντων B: ἔχειν (A)C corrector Vossiani cf. Aristot. de somn. 2 p. 460[b] 5. βλεπόντων Reiske || γίνονται vulgo

γ. Τίς ἡ οὐσία σπέρματος. G 107

Ἀριστοτέλης· σπέρμα ἐστὶ τὸ 1
δυνάμενον κινεῖν ἐν ἑαυτῷ εἰς τὸ
ἀποτελέσαι τι τοιοῦτον, οἷόν ἐστι τὸ
ἐξ οὗ συνεκρίθη.

Πυθαγόρας ἀφρὸν τοῦ χρηστο- 2
τάτου αἵματος τὸ σπέρμα, περίττωμα
τῆς τροφῆς ὥσπερ [τὸ] αἷμα καὶ
μυελόν.

Ἀλκμαίων ἐγκεφάλου μέρος. 3

Πλάτων μυελοῦ τοῦ νωτιαίου ἀπόρ- 4
ροιαν.

Ἐπίκουρος ψυχῆς καὶ σώματος 5
ἀπόσπασμα.

Δημόκριτος ἀφ' ὅλων τῶν σω- 6
μάτων καὶ τῶν χυριωτάτων μερῶν
οἷον ὀστῶν σαρκῶν καὶ ἰνῶν.

δ. Εἰ σῶμα τὸ σπέρμα. G 108

Λεύκιππος καὶ Ζήνων σῶμα· 1
ψυχῆς γὰρ εἶναι ἀπόσπασμα.

Πυθαγόρας Πλάτων Ἀριστο- 2
τέλης ἀσώματον μὲν εἶναι τὴν δύ-
ναμιν τοῦ σπέρματος ὥσπερ νοῦν τὸν
κινοῦντα, σωματικὴν δὲ τὴν ὕλην
τὴν προχεομένην.

Εἰ σῶμα τὸ σπέρμα. D Γ10

1 σπέρματος G(A): τοῦ σπέρματος BC || 2 Ἀριστοτέλης cf. de gen. anim. IV 1 p. 766b 12 cf. Prol. p. 215 || 5 συνεκρίθη G(A)B: desideres ἀπεκρίθη cf. Diog. VII 158, ind. Aristot. p. 693b 7, infra V 11 2 || 7 περίττωμα GC [cf. Prol. p. 37]: περίττευμα AB || 8 τὸ inclusi || 10 de § 3 et 6 cf. Prol. p. 190 || 16 μερῶν ὁ γόνος τῶν σαρκῶν καὶ ἰνῶν B: μερῶν ὁ γόνος τῶν σαρκικῶν [cf. G] ἰνῶν (A)C: correxi e G cf. Prol. p. 15 || 20 ψυχῆς γὰρ εἶναι ⟨καὶ σώματος⟩ coniecit Reiske conl. V 11 3 sed cf. Diog. VII 158 et Arii Didym. fr. 39 τὸ δὲ σπέρμα φησὶν ὁ Ζήνων εἶναι ὃ μεθίησιν ἄνθρωπος πνεῦμα μεθ' ὑγροῦ ψυχῆς μέρος καὶ ἀπόσπασμα. neque γὰρ addubitandum cum ψυχὴν Stoicis corpus esse constet ex IV 3 3

Στράτων καὶ Δημόκριτος καὶ τὴν δύναμιν σῶμα· πνευματικὴ γάρ. 3

ε̄. Εἰ καὶ αἱ θήλειαι προΐενται σπέρμα. G 109

Εἰ καὶ θήλεα προΐενται σπέρμα. I. Dam. Γ 10

Πυθαγόρας Ἐπίκουρος Δημόκριτος καὶ τὸ θῆλυ προΐεσθαι σπέρμα· ἔχει γὰρ παραστάτας ἀπεστραμμένους· διὰ τοῦτο καὶ ὄρεξιν ἔχει περὶ τὰς χρήσεις. 1

Ἀριστοτέλης καὶ Ζήνων ὕλην μὲν ὑγρὰν προΐεσθαι οἰονεὶ ἀπὸ τῆς συγγυμνασίας ἰδρῶτας, οὐ μὴν σπέρμα πεπτικόν. 2

Ἵππων προΐεσθαι μὲν σπέρμα τὰς θηλείας οὐχ ἥκιστα τῶν ἀρρένων, μὴ μέντοι εἰς ζωογονίαν τοῦτο συμβάλλεσθαι διὰ τὸ ἐκτὸς πίπτειν τῆς ὑστέρας· ὅθεν ἐνίας προΐεσθαι πολλάκις δίχα τῶν ἀνδρῶν σπέρμα καὶ μαλιστα τὰς χηρευούσας· καὶ εἶναι τὰ μὲν ὀστᾶ παρὰ τοῦ ἄρρενος, τὰς δὲ σάρκας παρὰ τῆς θηλείας. 3

ς̄. Πῶς αἱ συλλήψεις γίνονται. G 110

Περὶ συλλήψεως. D Γ 10

Ἀριστοτέλης τὰς μὲν συλλήψεις γίνεσθαι προανελκομένης μὲν ὑπὸ τῆς 1

---

1 κατὰ δύναμιν G: καὶ κατὰ δύναμιν Reiske cf. Zeller II 2 734 [8] || 2 πνευματικὴν γὰρ veri similiter Wyttenbach, πνευματικὸν δὲ Reiske. cf. Zeller II 2 734[8] 745[2] || 3 καὶ om. A ind. || 5 de §§ 1. 3 cf. Prol. p. 190 || 7 ἀπεστραμμένους GAB quod coniecerat Menage ad Diog. VII 159: ἀπεστραμμένως C || 8 ἴσχει A || περὶ GAB: παρὰ C || 12 σπέρμα πεπτικόν GA: σπέρμα παππικόν B: σπερμαντικήν C || 14 § 3 totam om. C || 15 ἧττον maluit Reiske at cf. ind. Aristot. p. 312[a] 50. Kuehner gr. gr. § 349[b] || 16 μέντοι AB: μέντοι γ' vulgo || 18 ἐνίας scripsi cf. 9 1: ὀλίγας (A)B: οὐκ ὀλίγας Wyttenbach || 19 post πολλάκις exciderit καὶ || 20 τὰς μαλιστα (A)B: transposuit Wyttenbach

TESTIMONIA PLUTARCHI

6 Psellus de omn. doctr. c. 83 πῶς αἱ

καθάρσεως τῆς μήτρας, τῶν δὲ καταμηνίων συνεπισπωμένων ἀπὸ τοῦ παντὸς ὄγκου μέρος τι τοῦ καθαροῦ αἵματος, ᾧ συμβαίνειν τὸν τοῦ ἄρρενος γόνον· μὴ γίνεσθαι δὲ τὰς κυήσεις παρ' ἀκαθαρσίαν τῆς μήτρας ἢ ἐμπνευμάτωσιν ἢ φόβον ἢ λύπην ἢ ἀσθένειαν τῶν γυναικῶν ἢ δι' ἀτονίαν τῶν ἀνδρῶν.

ζ. Πῶς ἄρρενα γεννᾶται καὶ θήλεα. G 111

Πῶς ἄρρενα γεννᾶται καὶ θήλεα. D Γ 10

Ἐμπεδοκλῆς ἄρρενα καὶ θήλεα γίνεσθαι παρὰ θερμότητα καὶ ψυχρότητα· ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους ἄρρενας πρὸς ἀνατολῇ καὶ μεσημβρίᾳ γεγενῆσθαι μᾶλλον ἐκ τῆς γῆς, τὰς δὲ θηλείας πρὸς ταῖς ἄρκτοις. 1

Παρμενίδης ἀντιστρόφως· τὰ μὲν πρὸς ταῖς ἄρκτοις ἄρρενα βλαστῆσαι (τοῦ γὰρ πυκνοῦ μετέχειν πλείονος), τὰ δὲ πρὸς ταῖς μεσημβρίαις θήλεα παρὰ τὴν ἀραιότητα. 2

Ἱππῶναξ παρὰ τὸ συνεστὸς ἢ καὶ ἰσχυρὸν ⟨ἢ⟩ παρὰ τὸ ῥευστικόν τε καὶ καὶ ἀσθενέστερον σπέρμα. 3

4 ὡς συμβαίνειν G(A)BC: corr. Reiske || 8 ἢ δι' ἀσθένειαν A || 10 γεννᾶται AB: γίνεται G cf. Psellus l. c. c. 111: γεννῶνται C || 21 μετέχειν G: μετέχει ABC || 22 ταῖς om. B || 24 Ἱππῶναξ hic et § 7 in exemplari invenit Aëtius: recte Hippon apud Censorin. d. d. nat. c. 7 cf. Prol. p. 191 || 24 συνεστὼς (A)BC: συνεστός scripsi. cf. Arist. d. gen. anim. IV 1 p. 765b3. fortasse τε καὶ ἰσχυρόν || 25 ἢ ante παρὰ om. libri; videtur in v. 24 ante καὶ delatum. quominus καὶ ἰσχυρὸν et τε καὶ ἀσθενέστερον ut interpretamenta recidantur, obstat Ionum in ea re sollemnis usus cf. Hippocr. VI p. 502 VII p. 470. 478 L. || ῥευστὸν B

TESTIMONIA PLUTARCHI

συλλήψεις γίνονται . . . τῶν καταμηνίων συνεπισπωμένων ἀπὸ παντὸς ὄγκου μέρος τι τοῦ καθαροῦ αἵματος.

'Αναξαγόρας Παρμενίδης τὰ 4
μὲν ἐκ τῶν δεξιῶν καταβάλλεσθαι εἰς τὰ δεξιὰ μέρη τῆς μήτρας, τὰ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ ἀριστερά· εἰ δ' ἐναλλαγείη τὰ τῆς καταβολῆς, γίνεσθαι θήλεα.

Λεωφάνης οὗ μέμνηται 'Αριστοτέλης, τὰ μὲν ἐκ τοῦ δεξιοῦ διδύμου, τὰ δὲ ἐκ τοῦ ἀριστεροῦ. 5 Λεωφάνης

Λεύκιππος διὰ τὴν παραλλαγὴν τῶν μορίων, καθ' ἣν ὁ μὲν καυλόν, ἡ δὲ μήτραν ἔχει· τοσοῦτον γὰρ μόνον λέγει.

Δημόκριτος τὰ μὲν κοινὰ μέρη 6
ἐξ ὁποτέρου ἂν τύχῃ, τὰ δ' ἰδιάζοντα [καὶ] κατ' ἐπικράτειαν.

Ἱππῶναξ εἰ μὲν ἡ γονὴ κρατήσειεν ἄρρεν, εἰ δ' ἡ τροφὴ θῆλυ. 7

η'. Πῶς τέρατα γίνεται. G 112

Πῶς τέρατα γίνεται. D Γ 10

Ἐμπεδοκλῆς τέρατα γίνεσθαι 1
παρὰ πλεονασμὸν σπέρματος ἢ παρ' ἔλλειψιν ἢ παρὰ τὴν τῆς κινήσεως ταραχὴν ἢ παρὰ τὴν εἰς πλείω διαίρεσιν ἢ παρὰ τὸ ἀπονεύειν. οὕτω προειλῆφθαι φαίνεται σχεδόν τι πάσας τὰς αἰτιολογίας.

---

1 de § 4 dixi Prol. p. 139. 189. 191 sq. || 2 εἰς τὰ μέρη τῆς μήτρας τὰ δεξιά B || 5 ἐναλλαγεῖ A: ἐναλλαγῇ B: ἐναλλαγῇ C: correxi cf. v. 17 || 5 γίνεσθαι AB: γενέσθαι C: γίνεται vulgo || 6 θήλεα vix sanum cf. Prol. p. 194 || 7 Λεωφάνης C cf. Aristot. d. an. gen. IV 1 p. 765ª 25 cf. Schneideri Theophr. t. IV p. 126: λεοφάνης A: λεοφανίας B || 8 τοῦ ante δεξιοῦ om. B || 9 τοῦ ante ἀριστεροῦ AB: om. C || 12 γὰρ om. C || μέσον λέγει B || 16 καὶ induxit Reiske cf. Prol. p. 191 || 17 κρατήσειεν AB cf. v. 5: κρατήσει C || 19 πῶς ἄρρενα A ind. || 23 ταραχὴν G: ἀρχὴν (A)BC quod frustra Karsten Emp. p. 473* defendebat || 26 ἀπολογίας (A)BC: correxit Reiske

1 lemma Λεωφάνους servavit index Photii 167 p. 114ᵇ 8

Στράτων παρὰ πρόσθεσιν ἢ ἀφαί- 2
ρεσιν ἢ μετάθεσιν ἢ ἐμπνευμάτωσιν.

Τῶν ἰατρῶν τινες παρὰ τὸ διαστρέφεσθαι τότε τὴν μήτραν ἐμπνευ- 3
5 ματουμένην.

θ. Διὰ τί πολλάκις γυνὴ συνουσιάζουσα οὐ συλλαμβάνει G 113

Διοκλῆς ὁ ἰατρὸς ἢ παρὰ τὸ μηδ' 1
ὅλως ἐνίας σπέρμα προΐεσθαι ἢ παρὰ
10 τὸ ἔλαττον τοῦ δέοντος ἢ διὰ τὸ τοιοῦτον, ἐν ᾧ τὸ ζωοποιητικὸν οὐκ ἔστιν, ἢ διὰ θερμασίας ἢ ψύξεως ἢ ὑγρασίας ἢ ξηρότητος ἔνδειαν ἢ κατὰ παράλυσιν τῶν μορίων.

15 Οἱ δὲ Στωικοὶ κατὰ λοξότητα τοῦ 2
καυλοῦ μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων ὡς πρὸς τὴν ἀπόστασιν τῆς μήτρας.

Ἐρασίστρατος παρὰ τὴν μήτραν 3
20 ὅταν τύλους ἔχῃ καὶ σαρκώσεις ἢ ἀραιοτέρα ἢ τοῦ κατὰ φύσιν ἢ μικροτέρα.

ι. Πῶς δίδυμα καὶ τρίδυμα γίνεται. G 114

25 Ἐμπεδοκλῆς δίδυμα καὶ τρίδυμα 1
γίνεσθαι κατὰ πλεονασμὸν καὶ περισχισμὸν τοῦ σπέρματος.

Ἀσκληπιάδης παρὰ τὴν τῶν 2

Διὰ τί πολλάκις γυνὴ συνουσιάζουσα οὐ συλλαμβάνει. D Γ 10

Πῶς δίδυμα γίνεται καὶ τρίδυμα. D Γ 10

---

1 πρόθεσιν A || 2 ἐμπνευμάτωσιν G cf. v. 4 et p. 419a 7: πνευμάτωσιν (A)BC || 6 πολλάκις γυνὴ G: γυνὴ [ἡ γυνὴ C] πολλάκις ABC Psellus c. 112: γυνὴ ἡ πολλάκις vulgo || 9 ἐνίας om. B || σπέρματα C || προσίεσθαι Wyttenbach; sed agitur de muliebri semine || 11 ζωοποιητὸν B || 15 de lemmate dubito. immo κατὰ — 18 μήτρας § 1 continuanda videntur cf. 13 2 14 2 || 19 περὶ B || 20 σαρκώδεις B: σαρκώδης AC: σάρκας G: emendavi ex c. 13 1 || 21 εὐρυτέρα G at cf. 13 1 || ἢ C: om AB || 25 de § 1 cf. Prol. p. 194 sq.

σπερμάτων διαφορὰν ὥσπερ τὰς κριθὰς τὰς διστίχους καὶ τρίστιχους· εἶναι γὰρ σπέρματα γονιμώτατα.

Ἐρασίστρατος διὰ τὰς ἐπισυλ- 3
λήψεις ὥσπερ ἐπὶ τῶν ἀλόγων ζῴων· ὅταν γὰρ ἡ μήτρα ᾖ κεκαθαρμένη, τότε ἐπισύλληψιν δέχεσθαι.

Οἱ Στωικοὶ παρὰ τοὺς ἐν τῇ 4
μήτρᾳ τόπους, ὅταν γὰρ εἰς πρῶτον καὶ δεύτερον ἐμπέσῃ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ τὰ δίδυμα καὶ τὰ τρίδυμα.

ια. Πόθεν γίνονται τῶν γονέων αἱ ὁμοιώσεις καὶ τῶν προγόνων. G 115

Ἐμπεδοκλῆς ὁμοιότητας γίνεσθαι 1
κατ' ἐπικράτειαν τῶν σπερματικῶν γόνων, ἀνομοιότητας δὲ τῆς ἐν τῷ σπέρματι θερμασίας ἐξατμισθείσης.

Παρμενίδης ὅταν μὲν ἀπὸ τοῦ 2
δεξιοῦ μέρους τῆς μήτρας ὁ γόνος ἀποκριθῇ τοῖς πατράσιν, ὅταν δὲ ἀπὸ τοῦ ἀριστεροῦ ταῖς μητράσιν.

Οἱ Στωικοὶ ἀπὸ τοῦ σώματος 3
ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὰ σπέρματα καὶ [τὰς ὁμοιότητας] ἀνα-

Πόθεν γίνονται τῶν γονέων αἱ ὁμοιώσεις ἢ τῶν προγόνων. D Γ 10

1 σπερμάτων GC: σωμάτων (A)B || 2 τὰς G: om. (A)BC || 4 ἐπισυλλήψεις G: συλλήψεις (A)BC || 6 εἴη (A)BC: correxi || 7 ἐπὶ σύλληψιν ἔρχεται (A)BC: correxi postquam δέχεται corrector Voss. cf. Prol. p. 39 invenit || 8 τῇ AB: om. C || 9 γὰρ AB: om. C || 9 εἰς om. G || 10 τὸ σπέρμα G || 11 καὶ διδύμους καὶ τριδύμους G unde iam corrector Voss. καὶ δίδυμα inseruerat: καὶ τὰ δίδυμα om. (A)BC || 14 αἱ ὁμοιώσεις AB: αἱ om. GC || ἢ τῶν A ind. || 16 ὁμοιότητας BC cf. v. 26 et p. 423a 25: ὁμοιότητα G(A) || 17 ἐπικράτειαν cf. Prol. p. 192 sq. || 18 ἀνομοιότητας (A)BC: ἀνομοιότητα G || τοῖς σπέρμασι B || 19 θεραπείας A || 20 cf. Prol. p. 193 || 26 τὰς ὁμοιότητας BC: τὰς ἀνομοιότητας A: τὰς ὁμοιομερείας G: seclusit Beck, fortasse varia lectio est olim v. 16 adscripta

πλάττεσθαι ἐκ τῶν αὐτῶν γενῶν τοὺς τύπους καὶ τοὺς χαρακτῆρας, ὥσπερ ἂν εἰ ζωγράφον ἀπὸ τῶν ὁμοίων χρωμάτων εἰκόνα τοῦ βλεπομένου.

Προΐεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα· κἂν μὲν ἐπικρατήσῃ τὸ τῆς γυναικὸς ὅμοιον εἶναι τὸ γεννώμενον τῇ μητρί, ἐὰν δὲ τὸ τοῦ ἀνδρὸς τῷ πατρί. 4

ιβ̄. Πῶς ἄλλοις γίνονται ὅμοιοι οἱ γεννώμενοι καὶ οὐ τοῖς γονεῦσιν. G 116

Πῶς ἄλλοις ὅμοιοι γίνονται οἱ γεννώμενοι καὶ οὐ τοῖς γονεῦσιν. D Γ 10

Οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν τυχικῶς καὶ αὐτομάτως [ἐκ τοῦ], ὅταν διαψυχθῇ τὸ σπέρμα καὶ τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικός, ἀνόμοια γίνεσθαι τὰ παιδία. 1

Ἐμπεδοκλῆς τῇ κατὰ τὴν σύλληψιν φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη· πολλάκις γὰρ ἀνδριάντων καὶ εἰκόνων ἠράσθησαν γυναῖκες καὶ ὅμοια τούτοις ἀπέτεκον. 2

Οἱ Στωικοὶ συμπαθείᾳ τῆς διανοίας * κατὰ ῥευμάτων εἰσκρίσεις καὶ ἀκτίνων † οὐκ εἰδώλων γίνεσθαι τὰς ἄλλων ὁμοιότητας. 3

---

1 καὶ τῶν B || γενῶν vix sanum. tentabam γόνων cf. p. 422ª 18. 21 vel μερῶν || 2 τὰς C || 3 τῶν GAB: om. C || 5 προΐεσθαι — πατρί non sunt Stoicorum cf. Laert. VII 159. Censor. 5 4 [Prol. p. 190] || 8 πατρί B: ἀνδρί AC || 10 οἱ γεννώμενοι A ind. cf. G: om. BC || 13 ἐκ τοῦ reliquum est ex glossemate ἐκ τοῦ αὐτομάτου cf. G et p. 416ª 19 || 14 διαψυχθῇ C: διαψυχῇ A: διαψυγῇ GB || 17 τὴν om. B || 19 γοῦν ex γὰρ correct. B || ἀνδριάντων καὶ εἰκόνων GAB: εἰκόνων καὶ ἀνδριάντων C || 23 proxima non Stoicorum, sed Empedoclis [cf. IV 13 4 14 1] vel Democriteorum videntur || 24 οὐκ εἰδώλων om. G et Wyttenbach. conicias ἢ καὶ εἰδώλων || ἀλλήλων (A)BC: om. G: correxi cf. v. 9 et p. 422ª 13. 14

ιγ. Πῶς στεῖραι γίνονται αἱ γυναῖκες καὶ ἄγονοι οἱ ἄνδρες. G 117

Περὶ στειρῶν γυναικῶν καὶ ἀνδρῶν. D Γ 10

Οἱ ἰατροὶ στείρας γίνεσθαι παρὰ 1
τὴν μήτραν, ἢ παρὰ τὸ πυκνοτέραν εἶναι ἢ παρὰ τὸ ἀραιοτέραν ἢ παρὰ τὸ σκληροτέραν ἢ παρά τινας ἐπιπωρώσεις ἢ σαρκώσεις ἢ παρὰ μικροθυμίαν ἢ παρ' ἀτροφίαν ἢ παρὰ καχεξίαν ἢ παρὰ τὸ διαστρέφεσθαι τὸν σχηματισμὸν ἢ διὰ παρασπασμόν.

Διοκλῆς ἀγόνους τοὺς ἄνδρας ἢ 2
παρὰ τὸ μηδ' ὅλως ἐνίους σπέρμα προΐεσθαι ἢ παρὰ τὸ ἔλαττον τοῦ δέοντος ἢ παρὰ τὸ ἄγονον εἶναι τὸ σπέρμα ἢ κατὰ παράλυσιν τῶν μορίων ἢ κατὰ λοξότητα τοῦ καυλοῦ μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων πρὸς τὴν ἀπόστασιν τῆς μήτρας.

Οἱ Στωικοὶ αἰτιῶνται τὰς ἀσυμ- 3
φύλους εἰς ἑκάτερον τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας, αἷς ὅταν συμβῇ χωρισθῆναι μὲν ἀπ' ἀλλήλων, συνελθεῖν δὲ ἑτέροις ὁμοφύλοις, συγκραθῆναι τὸ κατὰ φύσιν καὶ βρέφος τελεσιουργεῖσθαι.

ιδ. Διὰ τί αἱ ἡμίονοι στεῖραι. G 118

Διὰ τί αἱ ἡμίονοι στεῖραί. D Γ 10

Ἀλκμαίων τῶν ἡμιόνων τοὺς μὲν 1
ἄρρενας ἀγόνους παρὰ τὴν λεπτότητα τῆς θορῆς ἢ ψυχρότητα· τὰς δὲ

1 αἱ γυναῖκες et 3 οἱ ἄνδρες AB: articulis carent GC || 4 ἰατροὶ v. Erasistratum c. 9 3 || 26 συνεκράθη C: συνεκρατήθη (A)B: correxi || τὸ κατὰ φύσιν paulo aliter 9 3 || 27 τελεσιουργεῖται (A)BC: correxi. ἐτελεσιουργεῖτο Reiske || 32 τοῦ θοροῦ B || ὅ ἐστι σπέρματος post θορῆς om. G: interpolant (A)BC cf. ad p. 425ª 2 || καὶ ψυχρότητα G: καὶ om. (A)BC: correxi

θηλείας παρὰ τὸ μὴ 'ἀναχάσκειν' τὰς μήτρας· οὕτω γὰρ αὐτὸς εἴρηκεν.

Ἐμπεδοκλῆς διὰ τὴν σμικρότητα καὶ ταπεινότητα καὶ στενότητα τῆς μήτρας κατεστραμμένως προσπεφυκυίας τῇ γαστρὶ μήτε τοῦ σπέρματος εὐθυβολοῦντος εἰς αὐτήν, μήτε, εἰ καὶ φθάσειεν, αὐτῆς ἐκδεχομένης. 2

Διοκλῆς δὲ μαρτυρεῖ αὐτῷ λέγων· ἐν ταῖς ἀνατομαῖς πολλάκις ἑωράκαμεν τοιαύτην μήτραν τῶν ἡμιόνων· καὶ ἐνδέχεσθαι διὰ τὰς τοιαύτας αἰτίας καὶ τὰς γυναῖκας εἶναι στείρας. 3

ιε. Εἰ τὸ ἔμβρυον ζῷον. G 119

Εἰ τὸ ἔμβρυον ζῷον. D I' 10

Πλάτων ζῷον τὸ ἔμβρυον· καὶ γὰρ κινεῖσθαι ἐν τῇ γαστρὶ καὶ τρέφεσθαι καὶ αὔξεσθαι. 1

Οἱ Στωικοὶ μέρος εἶναι αὐτὸ τῆς γαστρός, οὐ ζῷον· ὥσπερ γὰρ τοὺς καρποὺς μέρη τῶν φυτῶν ὄντας πεπαινομένους ἀπορρεῖν, οὕτω καὶ τὸ ἔμβρυον. 2

Ἐμπεδοκλῆς [μὴ] εἶναι μὲν ζῷον τὸ ἔμβρυον, ἀλλ' ἄπνουν ὑπάρχειν ἐν τῇ γαστρί· πρώτην δὲ ἀναπνοὴν τοῦ ζῴου γίνεσθαι κατὰ τὴν ἀποκύησιν τῆς μὲν ἐν τοῖς βρέφεσιν ὑγρασίας 3

2 ὅ ἐστιν ἀναστομοῦσθαι post μήτρας neglexit G: interpolant (A)BC || 3 Empedoclis lemma conlato Arist. de gen. II 8 p. 747ª 25 sq. merito suspectum iudicat Karsten Emp. p. 469. conicit Διοκλῆς olim ex § 2 [an ad αὐτὸς v. 2 ?] adscriptum fuisse itaque διὰ τὴν — ἐκδεχομένης Alcmaeoni continuat. at obstare videtur singularis τῆς μήτρας || 5 ἀπεστραμμένως G || 8 ἐκδεχομένης αὐτῆς C || 9 αὐτῷ μαρτυρεῖ B || 12 τὰς GB: om. (A)C || 17 καὶ αὔξεσθαι. οἱ Στωικοὶ G: καὶ οἱ στωικοὶ A: οἱ στωικοὶ (om. καὶ αὔξεσθαι) BC || 21 ἀπορρεῖν (A)C: ἀπορρεῖ B || 23 μὴ (A)BC: delevi, ante ἔμπνουν transposuit Karsten || 24 ἄπνουν G: ἔμπνουν (A)BC || 25 πρώτην AG cf. IV 22 3: πρώτα B: πρώτως C || 27 περὶ τοῖς G: sed cf. IV 22 1

ἀποχώρησιν λαμβανούσης, πρὸς δὲ τὸ παρακενωθὲν ἐπεισόδου τοῦ ἐκτὸς ἀερώδους γινομένης εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων.

Διογένης γεννᾶσθαι μὲν τὰ βρέφη ἄψυχα, ἐν θερμασίᾳ δέ· ὅθεν τὸ ἔμφυτον θερμὸν εὐθέως προχυθέντος τοῦ βρέφους τὸ ψυχρὸν εἰς τὸν πνεύμονα ἐφέλκεσθαι.

Ἡρόφιλος κίνησιν ἀπολείπει φυσικὴν τοῖς ἐμβρύοις, οὐ πνευματικήν· τῆς δὲ κινήσεως αἴτια νεῦρα· τότε δὲ ζῷα γίνεσθαι, ὅταν προχυθέντα προσλάβῃ τι τοῦ ἀέρος.

ις. Πῶς τρέφεται τὰ ἔμβρυα. G 120

Δημόκριτος Ἐπίκουρος τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ διὰ τοῦ στόματος τρέφεσθαι. ὅθεν εὐθέως γεννηθὲν ἐπὶ τὸν μαστὸν φέρεσθαι τῷ στόματι· εἶναι γὰρ καὶ ἐν τῇ μήτρᾳ θηλάς τινας καὶ στόματα, δι' ὧν τρέφεσθαι·

Οἱ Στωικοὶ διὰ τοῦ χορίου καὶ τοῦ ὀμφαλοῦ· ὅθεν τοῦτον εὐθέως ἀποδεῖν τὰς μαιουμένας καὶ ἀνευρύνειν τὸ στόμα, ἵνα ἑτέρα γένηται ἡ μελέτη τῆς τροφῆς.

Ἀλκμαίων δι' ὅλου τοῦ σώματος τρέφεσθαι· ἀναλαμβάνειν γὰρ αὐτῷ

Πῶς τρέφεται τὰ ἔμβρυα. D Γ 10

---

3 γενομένης (A)BC: correxi conl. IV 22 1 et G || 6 fortasse ἐνθερμανθέντα δέ cf. G || 7 εὐθέως δὲ B || 8 τὸ ψυχρὸν G: om. (A)BC cf. fr. 6 p. 60 Panz. Zeller I⁴ 247⁵ || 9 ἐφέλκεσθαι G: ἐφέλκεται (A)BC || 10 ἀπολείπ″ B | φυσικὴν cf. ad IV 22 3 || 13 προσχυθέντα A || 15 πόθεν C || τὰ ἔμβρυα τρέφεται B || 20 φέρεσθαι G: φέρεται (A)BC || 21 γὰρ GB: γάρ τινας C: γάρ τινα A || 22 τινὰς (A)BC || τρέφεσθαι G: τρέφεται corr. ex τρέφονται B: τρέφονται (A)C cf. Prol. p. 50 || 23 τοῦ om. C || de sententia cf. Prol. p. 191 || 26 ἑτέρα post ἵνα AB: post τροφῆς C || 29 αὐτῷ vulgo: αὐτὸ ABC

ὥσπερ σπογγιᾷ τὰ ἀπὸ τῆς τροφῆς θρεπτικά.

ιζ. Τί πρῶτον τελεσιουργεῖται ἐν τῇ γαστρί. G 121

Τί πρῶτον τελεσιουργεῖται ἐν τῇ γαστρί. D Γ 10

Οἱ Στωικοὶ ἅμα ὅλον γίγνεσθαι. 1

Ἀριστοτέλης πρῶτον τὴν ὀσφὺν ὡς τρόπιν νεώς. 2

Ἀλκμαίων τὴν κεφαλήν, ἐν ᾗ ἐστι τὸ ἡγεμονικόν. 3

Οἱ ἰατροὶ τὴν καρδίαν, ἐν ᾗ αἱ φλέβες καὶ αἱ ἀρτηρίαι. 4

Οἱ δὲ τὸν μέγαν δάκτυλον τοῦ ποδός. 5

Ἄλλοι δὲ τὸν ὀμφαλόν. 6

ιη. Διὰ τί τὰ ἑπταμηνιαῖα γόνιμα. G 122

Διὰ τί τὰ ἑπταμηνιαῖα γόνιμα. D Γ 10

Ἐμπεδοκλῆς ὅτε ἐγεννᾶτο τὸ τῶν ἀνθρώπων γένος ἐκ τῆς γῆς, τοσαύτην γενέσθαι τῷ μήκει τοῦ χρόνου διὰ τὸ βραδυπορεῖν τὸν ἥλιον τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ δεκάμηνος· προϊόντος δὲ τοῦ χρόνου, τοσαύτην γενέσθαι τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ ἑπτάμηνος· διὰ τοῦτο καὶ τὰ δεκάμηνα καὶ τὰ ἑπτάμηνα, τῆς φύσεως τοῦ κόσμου οὕτω μεμελετηκυίας, αὔξεσθαι ἐν μιᾷ ἡμέρᾳ, * * * † ᾗ τίθεται νυκτὶ τὸ βρέφος. 1

---

1 σπογγιά AB: σπογγιάν C || 5 ἅμα ὅλον G: τοῖς πολλοῖς ABC quod relictum videtur ex aliquo scholio τοῖς πολλοῖς συμφώνως. cf. Prol. p. 190. ceterum cf. Galen. IV 674 Kuehn. || 6 de Aëtii errore cf. Prol. p. 190². 198 || 8 de § 3 cf. Prol. p. 190¹ || 10 αἱ φλέβες καὶ αἱ ἀρτηρίαι B: φλέβες καὶ αἱ ἀρτηρίαι A: om. articulis C || 14 ἄλλοι Democritus cf. Prol. p. 190 || 15 τὰ om. A ind. || ἑπταμηναῖα A || 17 τὸ τῶν AB: τὸ om. C || 21 ὅση B || 24 καὶ διὰ B || post δεκάμηνα addit γόνιμα ex titulo B || 27 hiatum per complures deinceps versus pertinentem, quem iam G invenit, indicavi, explere nolui. ἢ τίκτεται νῦν [debebat νυνὶ] τὸ

PLUTARCHI EPIT. V 18

Τίμαιος δὲ οὐ ***† δώδεκα μῆνάς 2
φησιν, ἐννέα δὲ νομίζεσθαι παρὰ τὰς
ἐπισχέσεις τῶν μηνιαίων *** τὰ πρὸ
τῆς συλλήψεως· οὕτω καὶ τὰ ἑπτά-
μηνα νομίζεσθαι, οὐκ ὄντα ἑπτάμηνα·
† ἔγνω τε γὰρ καὶ μετὰ τὴν σύλληψιν
πόσαι καθάρσεως.

Πόλυβος Διοκλῆς οἱ Ἐμπει- 3
ρικοὶ καὶ τὸν ὄγδοον μῆνά φασι
γόνιμον, ἀτονώτερον δέ πως τῷ πολ-
λάκις διὰ τὴν ἀτονίαν πολλοὺς φθεί-
ρεσθαι· καθολικώτερον δὲ μηδένα
βούλεσθαι τὰ ὀκτάμηνα τρέφειν, γε-
γενῆσθαι δὲ πολλοὺς ὀκταμηνιαίους
ἄνδρας.

Ὁ δὲ Ἀριστοτέλης καὶ Ἱπποκρά- 4
της φασίν, ἐὰν ἐκπληρωθῇ ἡ μήτρα
ἐν τοῖς ἑπτὰ μησί, τότε προκύπτειν
καὶ γεννᾶσθαι γόνιμα· ἐὰν δὲ προκύψῃ
μέν, μὴ τρέφηται δὲ ἀσθενοῦντος τοῦ
ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτῷ γεγενῆσθαι τὸ κύημα, τότε ἔμβρυον ἄτροφον εἶναι· ἐὰν δὲ μείνῃ τοὺς ἐννέα μῆνας ἐν τῇ μήτρᾳ, προκῦψαν τότε ὁλόκληρόν ἐστι.

STOBAEI ECL. I 42 [36 3]

Οἱ δὲ περὶ τὸν Ἀριστοτέλην καὶ 4
Ἱπποκράτην φασίν, ἐὰν μὲν ἐκπλη-
ρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησί,
τότε προκύπτειν καὶ γεννᾶσθαι γόνιμα·
ἐὰν δὲ προκύψῃ μέν, μὴ τρέφηται δὲ 5
ἀσθενήσαντος [δὲ] τοῦ ὀμφαλοῦ διὰ
τὸ ἐπίπονον αὐτῷ γενέσθαι τὸ ἔμβρυον,
ἄτροφον εἶναι· ἐὰν δὲ μείνῃ τοὺς
ἐννέα μῆνας ἐν τῇ μήτρᾳ, προκῦψαν
τότε ὁλόκληρόν ἐστι. 10

βρέφος Xylander, τε καὶ νυκτὶ τὸ βρέφος Wyttenbach, τῇ τότε καὶ νυκτὶ τὸ βρέφος Reiske. vulgatam defendere audebat Karsten Emp. p. 476 || 1 οὐ δώδεκα AB cf. G: οὐ δέκα C || 3 τὰ πρὸ τῆς συλλήψεως G: τῆς πρώτης συλλήψεως (A)BC: τῶν πρὸ τῆς σ. frustra mrg. cod. Voss. || 6 ἔγνω τε AC: ἐγνώκατε B: ἐνίοτε Meziriac. ἠγνόηται corr. Vossian. cf. Prol. p. 39. num γίνονται? cf. G δυναμένης τῆς μήτρας εἰς καταμήνια καὶ μετὰ σύλληψιν || 7 πόσαι (A)BC: scripserim ποσαὶ, Wyttenbach πως αἱ || καθάρσεως (A)BC: καθάρσεις recte Wyttenbach || 9 ἴσασι (A)BC: corr. Gustavus Iacob || 16 de § 4 cf. Prol. p. 195 || ὁ Ἱπποκράτης A || φασὶν (ex φησιν corr.) B: φησὶν AC cf. G || πληρωθῇ B || 19 προκύπτει C || γεγεννῆσθαι (A)BC: correxi || 22 αὐτὸν B: αὐτὴν (A)C: αὐτῇ Reiske: correxi cf. p. 429a 10 || τὸ κρῖμα (A)C [cf. Prol. p. 37]: τὸ ἔκκριμα B: τὸ κύημα Xylander ex manuscr. suo protulit || 23 εἰ δὲ B

3 ἡ ἡμέρα A: corr. Canter
5 τρέφηται F: στρέφηται C
6 δὲ inclusit Heeren
7 αὐτὸ A: αὐτῷ corr. Heeren τὸ κύημα [τὸ κῦμα Meineke] add. ex Plut. Heeren, tum vero etiam τότε ἔμβρυον corrigendum erat. sed intellegitur Stobaei, quam distinxi, lectio

Πόλυβος ἑκατὸν ὀγδοήκοντα δύο καὶ ἥμισυ ἡμέρας γίνεσθαι εἰς τὰ γόνιμα· εἶναι γὰρ ἑξάμηνα, ὅτι καὶ τὸν ἥλιον ἀπὸ τροπῶν ἐν τοσούτῳ χρόνῳ παραγίνεσθαι· λέγεσθαι δὲ ἑπταμηνιαῖα, ὅτι τὰς ἐλλειπούσας ἡμέρας τούτου τοῦ μηνὸς ἐν τῷ ἑπτὰ προσλαμβάνεσθαι· τὰ δὲ ὀκταμηνιαῖα μὴ ζῆν, ὅταν προκύψῃ μὲν τῆς μήτρας τὸ βρέφος, ἐπὶ πλέον δὲ ὁ ὀμφαλὸς βασανισθῇ· ἄτροφον γὰρ γίνεσθαι † ὡς τοῦ τρέφοντος αἴτιος. 5

Οἱ δὲ μαθηματικοὶ τοὺς ὀκτὼ μῆνας ἀσυνδέτους φασὶν εἶναι πάσης γενέσεως, τοὺς δὲ ἑπτὰ συνδετικούς· τὰ δὲ ἀσύνδετα ζῳδιά ἐστιν, ἐὰν τῶν οἰκοδεσποτούντων ἀστέρων τυγχάνῃ· ἐὰν γάρ τις τούτων τὴν ζωὴν καὶ τὸν βίον κληρώσῃ, δυστυχεῖς καὶ ἀχρόνους σημαίνει· ἀσύνδετα δ' ἐστὶ ζῳδια ὀκτὼ ἀριθμούμενα, οἷον κριὸς πρὸς σκορπίον ἀσύνδετος, ταῦρος πρὸς τοξότην ἀσύνδετος, δίδυμοι πρὸς αἰγόκερων, καρκίνος πρὸς ὑδροχόον, λέων πρὸς ἰχθύας, παρθένος πρὸς κριόν, ⟨ζυγὸς πρὸς ταῦρον⟩· διὰ τοῦτο καὶ τὰ ἑπτάμηνα ὄντα καὶ δεκάμηνα γόνιμα εἶναι· τὰ δὲ ὀκτάμηνα διὰ τὸ ἀσύνδετον τοῦ κόσμου φθείρεσθαι. 6

7 Εὐρυφῶν ὁ ἰατρός . . .

1 de Polybo cf. Rose A. ps. p. 386 || ἐν ἑ. ὁ. δ. ἡμέραις γίνεσθαι γόνιμα τὰ ἔμβρυα G || 2 καὶ om. B || 3 ἑξάμηνον (A)BC: correxi || 6 ἑπταμηνιαίους (A)BC: correxi || 6 ὅταν (A)BC: corr. Beck cf. v. 3: διὰ τὸ corr. Vossian. || 8 ὀκτωμηνιαῖα B || 11 ἄτροφον γὰρ γίνεσθαι G: ἄτροφος γὰρ γίνεται (A)BC || 12 ὡς — αἴτιος nisi glossema indices corrigo ὡς τούτου τρέφοντος αὐτό || αἴτιος GBC: αἶνος A || 14 φασὶν post μῆνας A || 16 ἀσύνθετα hic et postea A || G paulo clarius: τὰ δὲ ἀσύνδετα ζῳδια ἔχειν τοὺς οἰκοδεσποτοῦντας φαύλους τῶν ἀστέρων, sed cf. Prol. p. 196[2] || 19 κληρώσῃ G: κληρώσηται (A)BC || 20 εἰσι B || 26 ζυγὸς πρὸς ταῦρον addidi cf. G || 29 an τοῦ κύκλου?

1 lemma addidi ex Stobaei indice Photiano p. 115[b] 10 B. propter Censorinum cf. Prol. p. 195. Euryphontis tamen etiam ecl. I 8 40 p. 248 H. apparet apophthegma quod om. F

ιθ. Περὶ ζῴων γενέσεως, πῶς ἐγένοντο ζῷα καὶ εἰ φθαρτά. G 123

Περὶ ζῴων γενέσεως, πῶς ἐγένοντο ζῷα καὶ εἰ φθαρτά. D Γ 10

Καθ' οὓς μὲν γενητὸς ὁ κόσμος, 1
γενητὰ τὰ ζῷα καὶ φθαρτά εἰσιν.

Οἱ περὶ Ἐπίκουρον καθ' οὓς 2
ἀγένητος, ἐκ μεταβολῆς τῆς ἀλλήλων γεννᾶσθαι τὰ ζῷα· μέρη γὰρ εἶναι τοῦ κόσμου ταῦτα.

Ὡς καὶ Ἀναξαγόρας καὶ Εὐρι- 3
πίδης·

θνήσκει δ' οὐδὲν τῶν γιγνομένων
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὰς ἑτέρας ἀπέδειξεν.

Ἀναξίμανδρος ἐν ὑγρῷ γενη- 4
θῆναι τὰ πρῶτα ζῷα φλοιοῖς περιεχόμενα ἀκανθώδεσι, προβαινούσης δὲ τῆς ἡλικίας ἀποβαίνειν ἐπὶ τὸ ξηρότερον καὶ περιρρηγνυμένου τοῦ φλοιοῦ ἐπ' ὀλίγον χρόνον μεταβιῶναι.

Ἐμπεδοκλῆς τὰς πρώτας γενέ- 5
σεις τῶν ζῴων καὶ φυτῶν μηδαμῶς ὁλοκλήρους γενέσθαι, ἀσυμφυέσι δὲ τοῖς μορίοις διεζευγμένας, τὰς δὲ δευτέρας συμφυομένων τῶν μερῶν εἰδωλοφανεῖς, τὰς δὲ τρίτας τῶν ὁλοφυῶν, τὰς δὲ τετάρτας οὐκέτι ἐκ τῶν ὁμοίων οἷον ἐκ γῆς καὶ ὕδατος,

---

7 ἀγένητος B cf. G: ἀγένητα AC || τῶν ἀλλήλων B || 9 ταῦτα G: τούτου (A)BC || 10 cf. Prol. p. 94. 172. 190 || 12 διδάσκει B || δ' οὐδὲν τῶν γιγνομένων G: om. (A)BC || 13 διακρινόμενον G: μεταμισγόμενα AB: μεταμειβόμενα C || πρὸς ἄλλο G (A)BC: cf. codd. [Philon.] d. mund. incorr. p. 221, 3. 230, 8. 274, 1 Bern.: poetae restituendum puto πρὸς ἄλλου cf. Clem. Strom. VI p. 750 P. Nauckii F. T. p. 499 || 14 ἑτέρας G: om. (A)BC || ἐπέδειξεν G: ἔδειξεν (A)BC: correxi || 15 de §§ 4. 5 cf. Prol. p. 135. 189 Zeller Abh. d. K. Akad. d. W. 1878, 114 sqq. || 24 τοῖς om. B || 27 ἀλληλοφυῶν (A)BC: correxi post Karstenium || τετάρτας BC: τέτταρας (A) || 28 ὁμοίων (A)BC: οἰκείων Reiske. an στοιχείων? || καὶ om. B

ἀλλὰ δι' ἀλλήλων ἤδη, τοῖς μὲν πυκνωθείσης [τοῖς δὲ καὶ· τοῖς ζώοις] τῆς τροφῆς, τοῖς δὲ καὶ τῆς εὐμορφίας τῶν γυναικῶν ἐπερεθισμὸν τοῦ σπερματικοῦ κινήματος ἐμποιησάσης. τῶν δὲ ζώων πάντων τὰ γένη διακριθῆναι διὰ τὰς ποιὰς κράσεις· † τὰ μὲν οἰκειότερα εἰς τὸ ὕδωρ τὴν ὁρμὴν ἔχειν, τὰ δὲ εἰς ἀέρα ἀναπνεῖν, ἕως ἂν πυρῶδες ἔχῃ τὸ πλέον, τὰ δὲ βαρύτερα ἐπὶ τὴν γῆν, τὰ δὲ ἰσόμοιρα τῇ κράσει πᾶσι τοῖς θώραξι πεφωνηκέναι.

---

1 εἶδη B || τῆς μὲν πυρωθείσης τοῖς δὲ καὶ τοῖς ζώοις τροφῆς τοῖς δὲ καὶ τῆς εὐμορφίας τῶν γυναικῶν A: τοῖς μὲν πυκνωθείσης τοῖς δὲ καὶ τοῖς ζώοις, τροφῆς· τοῖς δὲ καὶ τῆς τῶν γυναικῶν B: τῆς μὲν, πυκνωθείσης. τῆς δὲ, καὶ τοῖς ζώοις τροφῆς. τοῖς δὲ, τῆς εὐμορφίας τῶν γυναικῶν C: scholium inclusi || 7 hic locus pessime est inquinatus, ut Karsten non de animalium generibus, sed corporum membris olim dictum fuisse suspicetur. Emped. p. 488 [185]. cf. Cramer a. O. III 184, 25. certe distribuendi ratio Empedocliae contraria videtur cf. Theophr. d. caus. pl. II 22, 2. ego conlato Diodor. I 7 [Tzetz. in Iliad. p. 56 sqq. Herm.] et Vitruv. I 7 talia refingo: τὰ μὲν ⟨ὑγρὰ⟩ οἰκειότερον [ὑγρότερα Reiske, οἰκειοτέραν Duebner] εἰς τὸ ὕδωρ τὴν ὁρμὴν ἔχειν [ἔχει BC], τὰ δ' εἰς ἀέρα ἀναπτῆναι [ἀναπνεῖν (A)BC: ἄνω βλέπειν Zeller, ἀναΐσσειν Karsten] ὅσ' ἂν [ὡς ἂν B] πυρῶδες ἔχῃ τὸ [τὸ AC, cf. p. 419 a 21: om. B: τι vulgo] πλέον, τὰ δὲ βαρύτερα κτλ. . . . πᾶσι τοῖς χωρίοις [sic Wyttenbach, πᾶσι τοῖς τόποις Reiske] σύμφωνα εἶναι [συμπεφωνηκέναι Reiske, συμπεφυκέναι Wyttenbach, πεφυκέναι cod. Petavii]. sed incerta omnia, cum oblitteratae litterae librariorum somniis utcunque completae sint. cf. c. prox. initium || 13 addit Galenus Δημόκριτος γεγενημένα εἶναι τὰ ζῷα συστάσει εἰ δὲ ἓν ἄστρον (?) πρῶτον τοῦ ὑγροῦ ζωογονοῦντα [l. ζῳογονοῦντος]. cf. Prol. p. 16. 189

PLUTARCHI EPIT. V 20

κ. Πόσα γένη ζώων καὶ εἰ πάντα αἰσθητὰ καὶ λογικά. G 124

Πλάτων καὶ Ἀριστοτέλης τεσ- 1
σαρα γένη ζώων φασί, χερσαῖα ἔνυδρα πτηνὰ οὐράνια· καὶ γὰρ τὰ ἄστρα ζῷα λέγεσθαι * καὶ κόσμον καὶ τῶν γηίνων * ζῷον λογικὸν ἀθάνατον.

Δημόκριτος Ἐπίκουρος τὰ οὐ- 2
ράνια . . .

Ἀναξαγόρας πάντα τὰ ζῷα λόγον 3
ἔχειν τὸν ἐνεργητικόν, τὸν δ' οἱονεὶ νοῦν μὴ ἔχειν τὸν ἢ παθητικόν, τὸν λεγόμενον τοῦ νοῦ ἑρμηνέα.

Πυθαγόρας Πλάτων λογικὰς 4
μὲν εἶναι καὶ τῶν ἀλόγων ζώων καλουμένων τὰς ψυχάς, οὐ μὴν λογικῶς ἐνεργούσας παρὰ τὴν δυσκρασίαν τῶν σωμάτων καὶ τὸ μὴ ἔχειν τὸ φραστικόν, ὥσπερ ἐπὶ τῶν πιθήκων καὶ τῶν κυνῶν· νοοῦσι μὲν γὰρ οὗτοι, οὐ φράζουσι δέ.

Διογένης μετέχειν μὲν αὐτὰ τοῦ 5
νοητοῦ καὶ ἀέρος, διὰ δὲ τὸ τὰ μὲν πυκνότητι, τὰ δὲ πλεονασμῷ τῆς ὑγρα-

STOBAEI ECL. I 43 [37] 1

Πόσα γένη ζώων καὶ εἰ πάντα λογικὰ καὶ αἰσθητά. D Γ 11

Πλάτων καὶ Ἀριστοτέλης τέτ- 1
ταρα γένη ζώων, χερσαῖα ἔνυδρα πτηνὰ οὐράνια. καὶ γὰρ τὰ ἄστρα ζῷα λέγεσθαι * τὸν κόσμον καὶ τὸν * ἔνθεον, ζῷον λογικὸν ἀθάνατον.

4 Πλάτων καὶ Ἀριστοτέλης G: ἔστι πραγματεία Ἀριστοτέλους [ἀριστο superscr. τλ B] ἐν ᾗ (A)BC. dixi de interpolatione Prol. p. 143 || 5 φησί (A)BC: correxi cf. G || 7 ἄστρα G: om. (A)BC || καὶ κόσμον B: καὶ κόσμων (A)C: καὶ αὐτὸς ὁ κόσμος G || καὶ τῶν γηίνων (A)C: καὶ τὴν γηίνην B: om. G Stobaeana ΚΑΙΤΟΝΕΝΘΝ mixta cum interpolatis latere videntur cf. ad Stob. ex cuius lectione Wyttenbach τὸν θεὸν corruptis τῶν γηίνων substituit; sed cf. Bernays Die Dial. d. Arist. p. 167 || 10 lacunam indicavit Zeller, deest οὐκ ἐγκρίνει vel μὴ λογικὰ εἶναι || 11 τὰ AB: om. C || 13 παθητικόν corruptum est. v. Zeller I ⁴ 905 ⁴ intellegendus videtur Stoicorum προφορικὸς λόγος cf. Heracl. allegor. p. 142 M. v. § 4 || 19 καὶ τὸ C cf. G: καὶ τῷ AB || 21 νοοῦσι G: λαλοῦσι (A)BC || 24 καὶ ἀέρος om. B: τοῦ νοητικοῦ ἀέρος verisimiliter Wyttenbach cf. αἰσθητικοῦ πνεύματος 24 4

6 τὸν κόσμον καὶ τὸν [τὸ C] ἔνθεον A: Aëtii exemplar vitiosum ita corrigam ⟨καὶ⟩ [cf. Plut.] τὸν κόσμον καὶτὸν ἔνθεον: καὶ αὐτὸν τὸν κόσμον ἔνθεον praeiverat Heeren

σίας*, μήτε διανοεῖσθαι μήτε αἰσθάνεσθαι, προσφερῶς δὲ αὐτὰ διακεῖσθαι τοῖς μεμηνόσι παρεπταικότος τοῦ ἡγεμονικοῦ.

κα. Ἐν πόσῳ χρόνῳ μορφοῦται τὰ ζῷα ἐν γαστρὶ ὄντα. G 125

Ἐν πόσῳ χρόνῳ μορφοῦται τὰ ζῷα ἐν γαστρὶ ὄντα. D Γ 11

Ἐμπεδοκλῆς ἐπὶ μὲν τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ ἕκτης καὶ τριακοστῆς, τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ πεντηκοστῆς μιᾶς δεούσης. 1

Ἀσκληπιάδης ἐπὶ μὲν τῶν ἀρρένων διὰ τὸ θερμότερα εἶναι τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς, πολλάκις δὲ καὶ ἐνδοτέρω· τελειοῦσθαι δ' ἐντὸς τῆς πεντηκοστῆς ⟨τοῖς⟩ μορίοις· ἐπὶ δὲ τῶν θηλυκῶν ἐν διμήνῳ διαρθροῦσθαι, ἐν τετραμήνῳ δὲ τελειοῦσθαι διὰ τὸ ἐνδεῖν τοῦ θερμοῦ· τὰ δὲ τῶν ἀλόγων ζῴων ὁλοτελῆ παρὰ τὰς συγκράσεις τῶν στοιχείων. 2

1 intercidit verbum velut ἐμποδίζεσθαι (Reiske) vel χρῆσθαι (Wyttenbach) || 3 παρεπεπταικότος A || 6 ἐν AB: ἐν τῇ C || 9 ἀπὸ CB Psellus: ἀπὸ τῆς GA || 10 ἐπὶ coni. Usener || 13 θερράτατα (A)BC Psellus: correxi cf. G || 15 πολλάκις AB: πολλὰς C || ἐν δευτέρῳ [compend.] B || 16 πληροῦσθαι G(A)BC: correxi cf. v. 9 et 19 || ἐν τοῖς τῆς πεντηκοστῆς μορίοις [ὁρίοις B] (A)BC: emendavit Reiske || 17 θηλέων G || 21 πρὸς τὰς B

TESTIMONIA PLUTARCHI

21 1 **Psell.** d. omn. doctr. c. 86 [alt. part.] μορφοῦται δὲ τὰ ζῷα ἐν γαστρὶ ὄντα ἀπὸ ἕκτης καὶ τριακοστῆς ἡμέρας, τελειοῦται δὲ τοῖς μορίοις ἀπὸ τῆς πεντηκοστῆς.

2 **Idem** l. c. Ἱπποκράτης [sic] δὲ ἐπὶ μὲν τῶν ἀρρένων διὰ τὸ θερμότατα εἶναι τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ τῆς ἕκτης καὶ εἰκοστῆς, ἐπὶ δὲ τῶν θηλυκῶν ἐν διμήνῳ μὲν διαρθροῦσθαι, ἐν τετραμήνῳ δὲ τελειοῦσθαι λέγει.

Digitized by Google

PLUTARCHI EPIT. V 22. 23

κβ. Ἐκ ποίων συνίσταται στοιχείων ἕκαστον τῶν ἐν ἡμῖν γενικῶν μορίων. G 126

Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γενᾶσθαι ἐκ τῶν ἴσων τῇ κράσει τεττάρων στοιχείων, τὰ δὲ νεῦρα πυρὸς καὶ γῆς τῶν διπλασίων μιχθέντων, τοὺς δὲ ὄνυχας τοῖς ζῴοις γεννᾶσθαι τῶν νεύρων καθ' ὃ τῷ ἀέρι συνέτυχε περιψυχθέντων, ὀστᾶ δὲ δυεῖν μὲν ὕδατος καὶ τῶν ἴσων γῆς, τεττάρων δὲ πυρὸς †γῆς τούτων συγκραθέντων μερῶν. ἰδρῶτα ⟨δὲ⟩ καὶ δάκρυον γίνεσθαι τοῦ αἵματος τηκομένου καὶ παρὰ τὸ λεπτύνεσθαι διαχεομένου.

STOBAEI ECL. I 43 [37]

Ἐκ ποίων στοιχείων ἕκαστον συνίσταται τῶν ἐν ἡμῖν γενικῶν μερῶν. D I 11

κγ. Πότε ἄρχεται ὁ ἄνθρωπος τῆς τελειότητος. G 127

Ἡράκλειτος καὶ οἱ Στωικοὶ ἄρχεσθαι τοὺς ἀνθρώπους τῆς τελει-

Πότε ἄρχεται ἄνθρωπος τῆς τελειότητος. D I 11

1 ποίων GABC: πόσων vulgo || συνίσταται post στοιχείων G || 5 ἴσων Wyttenbach: ἔσω (A)C: αἱμάτων interpolavit B. fort. κατ' ἰσοκράτειαν τῶν [τῶν habet B] τεττάρων στ. cf. G || 6 πυρὸς om. B spatio relicto || 6 καὶ G: om. (A)BC || 7 τὰ διπλασίονα μιχθέντα (A)BC: correxi ex G qui pro τῶν legit ὕδατος. ⟨ἐκ⟩ πυρὸς ⟨καὶ⟩ γῆς ⟨οἷς ὕδατος⟩ τὰ διπλασίονα μιχθέντα Duebner || 9 περιψυχθέντων (A)C cf. G: ψυγέντων B cf. p. 437a 3 || 10 δὲ δοκεῖ μὲν (A)BC: emendavit Wyttenbach || 11 καὶ τῆς ἔσω γῆς (A)BC: correxi Wyttenbachium et alios secutus cf. Karsten. Emped. p. 451 193 || 12 γῆς τούτων corrupta. ⟨καὶ⟩ γῆς τοσούτων scripsit Duebner. fortasse ut ex γῆς τεττάρων v. 11 repetita delenda || 13 δὲ addidi || 14 τηκομένου τοῦ αἵματος G: τοῦ σωματικοῦ οὗτος AB: τοῦ σωματικοῦ οὕτως C: restitui Galeni lectionem, propius tamen a litterulis abesset ταχέντος || καὶ παρὰ τὸ λεπτύνεσθαι διαχεομένου addit G: om. (A)BC cf. Prol. p. 16 || 16 c. 24 ante 23 ponit C rectum ordinem servant GAB || πότε G: πότε καὶ πῶς (A)BC || 18 de Heraclito cf. fr. 87 ed. Bywat. || 19 τῆς GB: om. (A)C

ότητος περὶ τὴν δευτέραν ἑβδομάδα, περὶ ἣν ὁ σπερματικὸς κινεῖται ὀρρός. καὶ γὰρ τὰ δένδρα ἄρχεται τότε τελειότητος, ὅταν ἄρχηται γεννᾶν τὰ σπέρματα, [ἀτελῆ δέ ἐστιν ἄωρα καὶ ἄκαρπα ὄντα· τέλειος οὖν τότε ἄνθρωπος]· περὶ δὲ τὴν δευτέραν ἑβδομάδα ἔννοια γίνεται καλοῦ τε καὶ κακοῦ καὶ τῆς διδασκαλίας αὐτῶν.

κδ. Πῶς ὕπνος γίνεται καὶ θάνατος. G 128

Περὶ ὕπνου καὶ θανάτου.

Ἀλκμαίων ἀναχωρήσει τοῦ αἵματος εἰς τὰς αἱμόρρους φλέβας ὕπνον γίνεσθαί φησι, τὴν δὲ ἐξέγερσιν διάχυσιν, τὴν δὲ παντελῆ ἀναχώρησιν θάνατον. 1

Ἐμπεδοκλῆς τὸν μὲν ὕπνον κατάψυξιν τοῦ ἐν τῷ αἵματι θερμοῦ σύμμετρον γίνεσθαι, τὴν δὲ παντελῆ θάνατον. 2

2 κινεῖται G cf. p. 431ª 5: κρίνεται (A)BC: ἐκκρίνεται Meziriac. || ὀρρός BC: ὀρός pr. A: πόρος G || 3 καὶ γὰρ τὰ G: τὰ γὰρ (A)BC || 5 intrusa interpolatione lemma Ἀριστοτέλης, quod testatur G, intercidisse videtur cf. Arist. d. hist. anim. VIII 1 p. 581ª 12 || ἐστιν B: ἐστι καὶ (A)C || ἄωρα (A)C: ἄγονα B || alterum καὶ del. A alt. man. et Duebner || 7 G Ἀριστοτέλης δὲ κατὰ τὴν πρώτην ἑβδομάδα. at cf. Aristot. 544ᵇ 26, 581ª 13, 1335ᵇ 34 || 9 διδασκαλίας ἀρχή G qui addit ἕτεροι δὲ νομίζουσι τελειοῦσθαι ἡμᾶς τῇ τρίτῃ ἑβδομάδι, ὅταν καὶ γένεια σχῶμεν καὶ τῇ ἰσχύι χρώμεθα cf. Bergk ad Solon. fr. 27 P.L.G.³ p. 431 Theodor. Priscian. ex Diocle ut videtur [Octav. Horat. ed. Argent. 1532] p. 107, Censorin. d. d. n. 7 2—4 || 10 καὶ GB: ἢ (A)C || post θάνατος addunt τῆς ψυχῆς ἢ τοῦ σώματος AC: carent dittographia (cf. c. 25) GB || 13 ὁμόρους ABC: corr. Reiske cf. G αἱμορροούσας || 17 κατάψυξιν CG: κατὰ ψύξιν A: καταψύξει B || 18 σύμμετρον G: συμμέτρῳ ABC || 19 τὸν ὕπνον ante γίνεσθαι add. AC || τῇ δὲ παντελῇ G: ἢ παντελῇ [παντελεῖ C] AC: τῇ δὲ ἀσυμμέτρῳ καὶ παντελεῖ interpolat B

Διογένης εἰ ἐπὶ πᾶν τὸ αἷμα 3
διαχεόμενον πληρώσει μὲν τὰς φλέβας,
τὸν δὲ ἐν αὐταῖς περιεχόμενον ἀέρα
ὤσει εἰς τὰ στέρνα καὶ τὴν ὑποκει-
μένην γαστέρα, ὕπνον γίγνεσθαι καὶ
θερμότερον ὑπάρχειν τὸν θώρακα· 4
ἐὰν δὲ ἅπαν τὸ ἀερῶδες ἐκ τῶν
φλεβῶν ἐκλίπῃ, θάνατον συντυγχάνειν.

Πλάτων οἱ Στωικοὶ τὸν μὲν 4
ὕπνον γίνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ
πνεύματος, οὐ κατὰ ἀναχαλασμὸν
καθάπερ †ἐπὶ τῆς γῆς, φερομένου δὲ
ὡς ἐπὶ τὸ ἡγεμονικὸν μεσόφρυον·
ὅταν δὲ παντελὴς γένηται ἡ ἄνεσις
τοῦ αἰσθητικοῦ πνεύματος, τότε γί-
γνεσθαι θάνατον.

κε. Ποτέρου ἐστὶν ὕπνος καὶ θάνατος, ψυχῆς ἢ σώματος. G 129

Ἀριστοτέλης κοινὸν μὲν τὸν ὕπνον 1
σώματος καὶ ψυχῆς. αἴτιον δ' αὐ-
τοῦ τὸ ἀναθυμιαθὲν ὑγρὸν ἀπὸ τοῦ

---

1 fort. ἐὰν — πληρώσῃ — ὥσῃ || 2 μὲν om. B || 3 αὐτοῖς (A)BC: corr. Beck || περιχεόμενον B || 5 γεγενῆσθαι (A)BC: correxi itemque v. 15 || 7 εἰ δὲ B || 8 ἐκλίπῃ C: ἐκλείπῃ A: ἐκλείπει B || συντυγχάνειν AB: τυγχάνειν C || 9 Στράτων probabiliter coni. Corsinus propter μεσόφρυον v. 13 cf. IV 5 2 et Tertull. d. anim. 43 [Prol. p. 205] || 12 ἐπὶ τῆς γῆς corruptum. mire Corsinus ἐπιπολῆς, mirabilius Reiske οὐ κατακεχαλασμένου καθάπερ ἐπὶ πηγήν. fuit cum placeret ἐπὶ τῆς μέθης. comparatur somnus et ebrietas etiam Hippocr. d. vent. c. 14 [VI 112 L.] cf. Theophr. d. sens. § 44. at fortasse philosophi nomen intercidit. Ἐπιγένης [cf. III 2 6] coniec. Usener || φερομένου B: φερόμενος AC || 13 ὡς om. B || ἢ μεσόφρυον coni. Corsinus || 14 παντελὴς G: παντελῶς (A)BC || 17 ποτέρου C cf G: ὁποτέρου (A)BC || ἢ θάνατος (A)BC: correxi || 20 de §§ 1. 2. 4. cf. Prol. p. 205 || 21 αἴτιον δὲ G: ἔστι δ' αἴτιον (vera et falsa lectione copulata) B: ἔστι δ' AC || αὐτοῦ GAC: αὐτ̃ B: αὐτῷ vulgo

θώρακος εἰς τοὺς περὶ τὴν κεφαλὴν τόπους ἐκ τῆς ὑποκειμένης τροφῆς ἢ τὸ ἐν τῇ καρδίᾳ καταψυχθὲν θερμόν, τὸν δὲ θάνατον εἶναι παντελῆ κατάψυξιν· θάνατον δὲ εἶναι μόνου [τοῦ] σώματος, οὐ ψυχῆς· [ταύτης γὰρ οὐχ ὑπάρχει θάνατος].

Ἀναξαγόρας κατὰ κόπον τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον· σωματικὸν γὰρ εἶναι τὸ πάθος, οὐ ψυχικόν· εἶναι δὲ καὶ ψυχῆς θάνατον τὸν διαχωρισμόν. 2

Λεύκιππος † οὐ μόνον σώματος γίνεσθαι, ἀλλ' ἐκκρίσει τοῦ λεπτομεροῦς πλείονι τῆς εἰσκρίσεως τοῦ ψυχικοῦ θερμοῦ, τὸν ⟨δὲ⟩ πλεονασμὸν αἴτιον θανάτου· ταῦτα δὲ εἶναι πάθη σώματος, οὐ ψυχῆς. 3

Ἐμπεδοκλῆς τὸν θάνατον γίγνεσθαι διαχωρισμὸν τοῦ πυρώδους * * * ἐξ ὧν ἡ σύγκρισις τῷ ἀνθρώπῳ συνεστάθη· ὥστε κατὰ τοῦτο κοινὸν εἶναι 4

---

1 θώρακος ex σώματος corr. B || εἰς (A)B: καὶ C: cf. Prol. p. 37 || 2 ἐκ τῆς GB: καὶ τῆς (A)C || τροφῆς ἢ B: τροφῆς spatio unius vel duorum vocabulorum relicto A, ἢ om. C || 3 καταψυχθὲν (A): περιψυχθὲν B: παραψυχθὲν C || 5 τοῦ delevi || 6 ταύτης—θάνατος etiam propter directam orationem suspecta recidi || 8 de § 2 cf. Prol. p. 205 || δὲ post Ἀναξαγόρας C: om. δὲ GAB || κατὰ κόπον G: om. (A)BC || 10 τὸ om. B || 13 οὐ κόπῳ coni. Reiske. scriberem τὸν ὕπνον σώματος γ., nisi obstaret ἀλλά || τοῦ σώματος B || 14 κράσει ABC: correxi cum Heimsoethio [Democr. d. an. doctr. p. 5] cf. Arist. de resp. 4. de anima I 2 || 15 ἐκκράσεως AC: κράσεως B: correxi cf. IV 13 1 17 2 ἐγκρίσεως Heimsoeth. || 16 δὲ addidi: πλεονασμὸν sc. τῆς ἐκκρίσεως || 17 αἴτιον AB: αἰτίαν C || 19 γεγενῆσθαι (A)BC: correxi || 21 addidit Reiske καὶ γεώδους || ἐξ ὧν (A)C: ἐξ οὗ B || τῷ ἀνθρώπῳ C: τῶν ἄνω A: om. B || 22 fortasse κατὰ τοῦτον cf. IV 1 2 κατ' αὐτόν

τὸν θάνατον σώματος καὶ ψυχῆς· ὕπνον δὲ γίνεσθαι διαχωρισμὸν τοῦ πυρώδους.

κς. Πῶς ηὐξήθη τὰ φυτὰ καὶ εἰ ζῷα. G 130

Πλάτων Θαλῆς καὶ τὰ φυτὰ 1
ἔμψυχα ζῷα· φανερὸν δὲ καὶ ἀπὸ τοῦ σαλεύεσθαι καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους καὶ ἐν ταῖς ἐπαναγωγαῖς εἴκειν καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι· ὥστε καὶ συνέλκειν βάρη.

Ἀριστοτέλης ἔμψυχα μέν, οὐ μὴν 2
ζῷα· τὰ γὰρ ζῷα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά, ἔνια δὲ καὶ λογικά.

Οἱ Στωικοὶ δὲ καὶ Ἐπικούρειοι 3
οὐκ ἔμψυχα· τινὰ γὰρ ψυχῆς ὁρμητικῆς εἶναι καὶ ἐπιθυμητικῆς, τινὰ δὲ καὶ λογικῆς· τὰ δὲ φυτὰ αὐτομάτως πως κινεῖσθαι, οὐ διὰ ψυχῆς.

Ἐμπεδοκλῆς πρῶτα τὰ δένδρα 4
τῶν ζῴων ἐκ γῆς ἀναφῦναί φησι, πρὶν τὸν ἥλιον † περιαπλωθῆναι καὶ

Πῶς ηὐξήθη τὰ φυτὰ καὶ εἰ ζῷα.

Πλάτων Θαλῆς τὰ φυτὰ ἔμψυχα ζῷα. φανερὸν δὲ καὶ ἀπὸ τοῦ σαλεύεσθαι καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους καὶ ταῖς ἐπαγωγαῖς εἴκειν καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι, ὥστε καὶ συνανέλκειν βάρη.

Ἀριστοτέλης ἔμψυχα μέν, οὐ μὴν ζῷα. τὰ γὰρ ζῷα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά, ἔνια δὲ καὶ λογικά.

1 τὸν om. B || 2 διαχωρισμόν τινα vulgo || 6 Θαλῆς G: Ἐμπεδοκλῆς (A)BC cf. Prol. p. 15 || 7 ζῷα G: καὶ ζῷα (A)BC || δὲ om. B || 10 εἴκειν B et pr. C in marg.: ἥκειν GAC || σφοδρῶς ἀναχαλᾶσθαι G: σπονδιὸς ἀναχαλασθὲν AC: post lacunam VIII litterarum ἀναχαλασθὲν B || 11 συνέλκειν βάρη G: συντελεῖν om. βάρη (A)BC || 12 οὐ μὲν AB: οὐ μὲν καὶ C || 14 ἔνια δὲ G: δὲ (om. ἔνια) BC: ἔνια δὲ om. (A) || λογικὰ om. B spatio VII litt. relicto || 15 καὶ οἱ C || 18 αὐτομάτῳ A || 19 γεγενῆσθαι G(A)BC: correxi. κεκινῆσθαι Gassendi || 21 τὰ δένδρα τῶν ζώων ABC cf. G: τῶν ζώων τὰ δένδρα vulgo || 22 ἀναφῦναι G: ἀναδῦναι (A)BC || 23 περιαπλωθῆναι frustra ut poeticum tuentur Sturz et Karsten. sed

3 Πλάτων Θαλῆς F: πλάτων καὶ Θάλης C
5 ἐκτεταμένους Beckii est perversa confectura. ἀνατεταμένους coni. Karsten. immo de intentione ac vigore arborum velut nervis praeditarum agitur

TESTIMONIA PLUTARCHI

26 4 **Tzetz.** in Hesiod. op. p. 66 Bas. p. 40 a Heins. . . κἂν Ἐμπεδοκλῆς καὶ πρὸ τοῦ ἁπλωθῆναι τὸν ἥλιόν φησι φυτὰ γενέσθαι καὶ ζῷα.

πρὶν ἡμέραν καὶ νύκτα διακριθῆναι· διὰ δὲ συμμετρίαν τῆς κράσεως τὸν τοῦ ἄρρενος καὶ τοῦ θήλεος περιέχειν λόγον· αὔξεσθαι δὲ ὑπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρόμενα, ὥστε γῆς εἶναι μέρη, καθάπερ καὶ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας μέρη· τοὺς δὲ καρποὺς περιττώματα εἶναι τοῦ ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός· καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρὸν ἐξικμαζομένου αὐτοῦ τῷ θέρει φυλλορροεῖν, τὰ δὲ πλεῖον, παραμένειν ὥσπερ ἐπὶ τῆς δάφνης καὶ τῆς ἐλαίας καὶ τοῦ φοίνικος· τὰς δὲ διαφορὰς τῶν χυμῶν † παραλλαγὰς τῆς πολυμερείας καὶ τῶν φυτῶν γίνεσθαι διαφορὰς ἐχόντων τὰς ἀπὸ τοῦ τρέφοντος ὁμοιομερείας ὥσπερ ἐπὶ τῶν ἀμπέλων· οὐ γὰρ αἱ διαφοραὶ τούτων χρηστὸν τὸν οἶνον

ἁπλόω et comp. poetarum nemini nisi Babrio posterioribusque epicis, pedestrium scriptorum nulli fere ante Dioscoridem, multis Antoninorum aetatis et post usurpatum. hic vero omnino ineptum. περιπολεῖν legisse videtur G: περικυκλωθῆναι verisimiliter Reiske || 2 καὶ διὰ (om. δὲ) B || συμμετρίας (A)BC: correxi. fortasse ἀσυμμετρίαν v. V 7 1 cf. G ⟨τῆς⟩ συμμετρίας Duebner. de placito cf. Karsten p. 462 || 4 ὑπὸ G: ἀπὸ (A)BC || 5 διαιρόμενα G: διαιρουμένου (A)C: ἀραιουμένου B: scripsi διαιρόμενα *in altum elatas*. Karsten διαραιουμένου '*se diffundentis*' vel διαραινομένου || γῆν B || 8 περιττώματα G: περιττεύματα (A)BC || τοῦ G: om. (A)BC || 12 πλείονα (A)BC: corr. Wyttenbach cf. G qui addit ἀεὶ φύλλοις τεθηλότα cf. Plut. Qu. conviv. III 2 8 || 15 proxima corrupta sunt. G: τὰς διαφορὰς τῶν χυμῶν παραλλαγὰς γίγνεσθαι τῆς πολυμερείας καὶ τῶν φυτῶν διαφόρως ἐλκόντων τὰς ἀπὸ τοῦ τρέφοντος ὁμοιομερείας quae sana duco, si mutes: παραλλαγὰς γίγνεσθαι γηίνης πολυμερείας et διαφόρους cf. Alex. ad Arist. d. sens. p. 144, 4 Thur. || 16 φυτῶν G: αἰτίων AC: χυμῶν B || 16 διαφορὰς ABC || 17 τρέφοντος GC cf. p. 440a 1: τρέφεσθαι AB || 19 χρηστικὸν (A)BC: χρηστὸν τὸν correxi

ποιοῦσιν, ἀλλ' αἱ τοῦ τρέφοντος ἐδάφους.

κζ. Περὶ τροφῆς καὶ αὐξήσεως. Περὶ τροφῆς.

Ἐμπεδοκλῆς τρέφεσθαι μὲν τὰ 1
ζῷα διὰ τὴν ὑπόστασιν τοῦ οἰκείου, αὔξεσθαι δὲ διὰ τὴν παρουσίαν τοῦ θερμοῦ, μειοῦσθαι δὲ καὶ φθίνειν διὰ τὴν ἔκλειψιν ἑκατέρων· τοὺς δὲ νῦν ἀνθρώπους τοῖς πρώτοις συμβαλλομένους βρεφῶν ἐπέχειν τάξιν.

Ἀναξαγόρας τρέφεσθαι μὲν . . 2
. . . . . .
. . . . . .

κη. Πόθεν αἱ ὀρέξεις γίνονται τοῖς ζῴοις καὶ αἱ ἡδοναί. Περὶ ὀρέξεως τῶν ζῴων.

Ἐμπεδοκλῆς τὰς μὲν ὀρέξεις γί- 1
νεσθαι τοῖς ζῴοις κατὰ τὰς ἐλλείψεις τῶν ἀποτελούντων ἕκαστον στοιχείων, τὰς δὲ ἡδονὰς ἐξ † ὑγροῦ καὶ τὰς τῶν κινδύνων καὶ ὁμοίων κινήσεις, τὰς δὲ ὀχλήσεις καὶ τὰς . . . . . .
. . . . . .

1 ἀλλ' ἐκ τοῦ τρέφεσθαι (A)BC: corr. Wyttenbach cf. G; αἱ (servato ἐκ) Duebner
5 οἰκείου ὑγροῦ coni. Usener
11 tantum exstat in AB e lacuna quam vacuo spatio duorum versuum indicavit A, sesquialterius B: Ἀναξαγόρας—μὲν om. C
15 αἱ ante ἡδοναὶ A [ind., in cont. totum caput excidit], CB: αἱ om. vulgo
18 ἕκαστος C
19 corrupta archetypo oblitterato vix restitui possunt. de re cf. IV 9 15. Karsten tentat τὰς δὲ ἡδονὰς ἐξεργάζεσθαι κατὰ τὰς τῶν οἰκείων καὶ ὁμοίων κινήσεις, τὰς δ' ὀχλήσεις καὶ τὰς ἀλγηδόνας τοῖς ἐναντίοις. Schneider Theophr. II 617 τὰς δὲ ἡδονὰς διὰ τὰς τῶν ὁμοίων κινήσεις, τὰς δ' ὀχλήσεις διὰ τὰς τῶν ἐναντίων. propius a traditis abessent haec: τὰς δὲ ἡδονὰς ἐξ οἰκείου κατὰ τὰς τῶν συγγενῶν καὶ ὁμοίων κράσεις, τὰς κτλ.
21 spatium sesquialterius versus relinquunt BC

κθ. Πῶς γίνεται πυρετὸς καὶ εἰ ἐπιγέννημά ἐστιν. G 131

Ἐρασίστρατος ὁρίζεται τὸν πυρετὸν οὕτως· πυρετός ἐστι κίνημα αἵματος παρεμπεπτωκότος εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα ἀπροαιρέτως γινόμενον· καθάπερ γὰρ ἐπὶ τῆς θαλάττης, ὅταν μηδὲν αὐτὴν κινῇ, ἠρεμεῖ, ἀνέμου δὲ ἐμπνέοντος βιαίου παρὰ φύσιν, τότε ἐξ ὅλης κυκλεῖται, οὕτω καὶ ἐν τῷ σώματι ὅταν κινηθῇ τὸ αἷμα, τότε ἐμπίπτει μὲν εἰς τὰ ἀγγεῖα τῶν πνευμάτων, πυρούμενον δὲ θερμαίνει τὸ ὅλον σῶμα· ἀρέσκει δὲ αὐτῷ καὶ ἐπιγέννημα εἶναι ὁ πυρετὸς . . . 1

. . . . . .

Διοκλῆς δέ φησιν· ὄψις ἀδήλων τὰ φαινόμενα· ἔστι δὲ, οἷς φαινομένοις ὁρᾶται ὁ πυρετὸς ἐπιγενόμενος, τραύματα καὶ φλεγμοναὶ καὶ βουβῶνες. 2

Ἡρόφιλός φησιν ἐνίοτε μηδεμιᾶς αἰτίας προηγησαμένης πυρέττειν τινάς. 3

---

1 πυρετὸς AB: ὁ πυρετὸς C

3 πυρετός ἐστι om. C cf. G

5 παρεμπεπτωκότος G: παρεμπεπτωκὸς (A)BC

8 post αὐτὴν add. πνεῦμα G

10 κυκλεῖται vix sanum. immo κυκᾶται

14 ὅλον τὸ C

15 ὁ πυρετὸς nisi cum proximis cohaesisse credis, corrige τὸν πυρετόν || lacunam sesquialterius versus indicat A, unius vocabuli B: nullam C

17 ὄψις AB: ὄψεις C. sed cf. Sext. P. H. I 138 adv. math. III 23. 58. VII 374

18 ἐπὶ δὲ τοῖς φαινομένοις (A)BC: correxi Reiskeum secutus qui ἔστι δ' ἐφ' οἷς φ. praeiverat

19 ἐπιγενόμενος post ὁρᾶται B

20 post ἐπιγενόμενος addi iussit οἷα ἐστι corrector Vossiani || βουβῶνος B

22 § 3 addidi ex G cf. Prol. p. 3q.: om. ABC sed A duos versus vacuos relinquit, B ^{b}essem, C nihil

PLUTARCHI EPIT. V 30 STOBAEI ECL. IV 36. 35 [Flor. t. 101. 100]

λ. Περὶ ὑγείας καὶ νόσου καὶ γήρως. G 132. 133

Ἀλκμαίων τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ ξηροῦ ψυχροῦ θερμοῦ πικροῦ γλυκέος καὶ τῶν λοιπῶν, τὴν δ' ἐν αὐτοῖς μοναρχίαν νόσου ποιητικήν· φθοροποιὸν γὰρ ἑκατέρου μοναρχίαν. καὶ νόσον συμπίπτειν ὡς μὲν ὑφ' οὗ ὑπερβολῇ θερμότητος ἢ ψυχρότητος, ὡς δὲ ἐξ οὗ διὰ πλῆθος † οἷον ἢ ἔνδειαν, ὡς δ' ἐν οἷς ἢ αἷμα ⟨ἢ⟩ μυελὸν ἢ ἐγκέφαλον· † ἐν γὰρ τούτοις ποτὲ καὶ τῶν ἔξωθεν αἰτιῶν

Ἀλκμαίων ἔφη τῆς μὲν ὑγιείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ ξηροῦ θερμοῦ πικροῦ γλυκέος καὶ τῶν λοιπῶν, τὴν δ' ἐν αὐτοῖς μοναρχίαν νόσου παρασκευαστικὴν εἶναι. λέγει δὲ τὰς νόσους συμπίπτειν ὡς μὲν ὑφ' οὗ δι' ὑπερβολὴν θερμότητος ἢ ξηρότητος, ὡς δὲ ἐξ οὗ διὰ πλῆθος τροφῆς ἢ ἔνδειαν, ὡς δὲ ἐν οἷς αἷμα ἢ μυελὸν ἢ ἐγκέφαλον. γίνεσθαι δέ ποτε καὶ ὑπὸ τῶν ἔξωθεν αἰτιῶν ὑδάτων ποιῶν ἢ χώρας ἢ κό-

1 c. 15 descripsit Psellus in Solut. div. quaest. [Prol. p. 30], quae hic adnoto. infra excerpta ex omnif. doctr. adposui || 4 τὴν Psell.: om. (A)BC || 5 θερμοῦ post ψυχροῦ Psell.: post ὑγροῦ (A)BC || 8 an ἑκατέρων ut p. 440ª 8? || μοναρχίαν Psell. μοναρχία (A)C: μοναρ χ΄ B || 9 νόσον συμπίπτειν Psell.: νόσων αἰτία (A)BC || 10 ὑφέξω ABC i. e. ὑφ' ἧς [post interpolatum αἰτία v. 9 corruptum] commixta vera lectione ἐξ οὗ quae ad corruptum ἐξ ἧς v. 11 pertinebat: ὑφέξιν Psellus: ὑφ' ἧς vulgo: correxi ὑφ' οὗ || ὑπερβολῇ B: ὑπερβολὴ (A)C Psellus cf. Prol. p. 31 || 11 καὶ ψυχρότητος Psell. || ἐξῆς A: ἑξῆς BC: ἕξις Psell.: correxi || πλῆθος οἷον ἢ ἔνδεια Psell.: πλῆθος ἢ ἔνδειαν (A)BC: οἷον post ἐν οἷς transferendum probabiliter coniecit Usener cf. ad Stob. — ποιῶν ex p. 443ª 4 [cf. Prol. p. 223] non reficies || 12 ὡς δὲ ἐνίοις C || ἢ αἷμα AB Psell.: om. ἢ C || 13 ἢ μυελὸν scripsi: ἐνδέον Psell. (A)BC || ἐγκέφαλον Psell.: ἐγκέφαλος ABC || ἐν γὰρ — 443ª 2 παραπλησίων addidi ex Psello: om. (A)BC || ἐν γὰρ τούτοις non expedio. ἔτι πρὸς τούτοις Usener || 14 καὶ τῶν ἔσωθεν ἔτι

1 § 1 vv. 1—6 εἶναι ex Floril. t. 101 2 6 λέγει — p. 443ᵇ 2 ex Flor. t. 100 25 10 nisi post οἷς οἷου addis [cf. ad Plut.], casus vv. αἷμα et cet. corrigendus est

TESTIMONIA PLUTARCHI

30 1 **Psellus** d. omnif. doctr. c. 86 [cf. supra] περὶ ὑγείας καὶ νόσου καὶ γήρως. Ὑγείας αἴτιον καὶ συνεκτικὸν ἡ τῶν δυνάμεων ἰσονομία θερμότητος ψυχρότητος ὑγρότητος ξηρότητος, ὅταν δὲ τούτων ἓν καταδυνατεύσῃ, τῶν ἄλλων ἡ νόσος γίνεται.

PLUTARCHI EPIT. V 30

ὑδάτων ποιῶν ἢ χώρας ἢ τόπων ⟨ἢ⟩ ἀνάγκης ἢ τῶν τούτοις παραπλησίων. τὴν δὲ ὑγείαν τὴν σύμμετρον τῶν ποιῶν κρᾶσιν.

Διοκλῆς πλείστας τῶν νόσων δι' ἀνωμαλίαν τῶν ἐν τῷ σώματι στοιχείων καὶ τοῦ καταστήματος. 2

Ἐρασίστρατος τὰς νόσους διὰ πλῆθος τροφῆς καὶ ἀπεψίας καὶ φθοράν, τὴν δὲ εὐταξίαν καὶ αὐτάρκειαν εἶναι ὑγείας περιποιητικά. 3

Οἱ Στωικοὶ συμφώνως τὸ γῆρας γίγνεσθαι διὰ τὴν τοῦ θερμοῦ ἔλλειψιν. οἱ γὰρ αὐτὸ πλέον ἔχοντες [τὸ θερμὸν] ἐπὶ πλεῖον γηρῶσιν. 5

Ἀσκληπιάδης Αἰθίοπάς φησι ταχέως γηράσκειν ἐτῶν τριάκοντα διὰ τὸ ὑπερθερμαίνεσθαι τὰ σώματα ὑπὸ τοῦ ἡλίου διαφλεχθέντας· τοὺς 6

STOBAEI ECL. IV 35. 50 [Flor. t. 100. 115]

πων ἢ ἀνάγκης ἢ τῶν τούτοις παραπλησίων.

Διοκλῆς τὰς πλείστας τῶν νόσων δι' ἀνωμαλίαν ἔλεγε τίκτεσθαι. 2

Ἐρασίστρατος ἔλεγε 'πλῆθος καὶ διαφθορὰ τἀνωτάτω αἴτια.' 3

Παρμενίδης γῆρας γίνεσθαι παρὰ τὴν τοῦ θερμοῦ ὑπόλειψιν. 4

ὑδάτων φυτῶν Psell.: correxi || 2 ἢ post τόπων addidi || ὑγείαν τὴν Psell. (A)B: τὴν ante κρᾶσιν C || 5 Διοκλῆς Psell. AB: Διοκλῆς δὲ C || 6 τῷ GAB: om. Psell. C sed cf. infra testim. 2 || 9 φθορᾶς Ps. (A)BC: corr. Usener ex St. || 11 ὑγείαν (A)BC: τροφῆς ex v. 9 Psellus: correxi ex testim. 3 || 12 συμφώνως pertinet ad § 4 || συμφώνως post γεγενῆσθαι Psell. || 13 γεγενῆσθαι Psell. (A)BC: correxi || pro ἔλλειψιν ὑπονόστησιν G cf. Poll. on. II 21 at cf. § 4 || 14 αὐτοῖ Psell. (A)BC: correxi cf. 431ª10. 439ª12. αὐτοῦ Duebner qui inclusit τὸ θερμόν || 15 ἐπὶ πλέον B || 17 ἔτη τριάκοντα Psell. AB: correxi ex p. 444ª1 *(intra xxx annos)*: ἔτει τριακοστῷ C cf. G quod immerito laudavi Prol. p. 12. 31 || 18 ὑποθερμένεσθαι A || 19 ὑπὸ Psell. GB: ἀπὸ (A)C || τοὺς δὲ G: om. Psell. (A)BC

3 § 2. 3 ex Flor. t. 100 26. 27
7 § 4 ex Flor. t. 115 29

TESTIMONIA PLUTARCHI

30 2 excerpsit **Psellus** d. omnif. doctr. c. 86 αἱ δὲ πλεῖσται τῶν νόσων δι' ἀνωμαλίαν τῶν ἐν τῷ σώματι στοιχείων γίνονται.

3 **Idem** l. c. ἐπεισάγονται δὲ αἱ νόσοι τῷ σώματι καὶ διὰ πλήθους [sic] τροφῶν καὶ δι' ἀπεψίας καὶ φθορᾶς, ἡ δὲ εὐταξία καὶ ἡ αὐτάρκεια ὑγείας περιποιητικά.

PLUTARCHI EPIT. V 30 STOBAEI ECL.

δὲ ἐν Βρεττανίᾳ ἑκατὸν εἴκοσιν ἐτῶν γηρᾶν διὰ τὸ κατεψύχθαι μὲν τοὺς τόπους, ἐν ἑαυτοῖς δὲ στέγειν τὸ πυρῶδες· τὰ μὲν γάρ εἰσιν ἀραιότερα τῶν Αἰθιόπων τὰ σώματα διὰ τὸ ἀναχαλᾶσθαι ὑπὸ τοῦ ἡλίου, τὰ δὲ ὑπὸ τῶν ἄρκτων πυκνά, διὰ τοῦτο καὶ πολυχρόνια.

---

1 δὲ post Βρεττανίᾳ inseruit Psell. || ἐτῶν ante ἑκατὸν Psell.

4 τὰ σώματα Psell. B: τὰ om. AC. fortasse ex G restituendum τὰ μὲν γὰρ τῶν Αἰθιόπων σώματά εἰσιν ἀραιότερα

6 post τὰ δὲ addit Psell. τῶν Βρετανῶν || ὑπὸ G: ἀπὸ Psell. (A)BC || 7 πυκνὰ explicat Psellus ἢ ἐστεγανωμένα cf. Prol. p. 30² || καὶ G Psell.: οὖν καὶ (A)BC || 8 subscribit τέλος τῶν ἀρεσκόντων φιλοσόφοις φυσικῶν δογμάτων βιβλίου ε̄. Εὐτυχῶς A: περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις βιβλίον ε΄ C

ΑΡΕΙΟΥ ΔΙΔΥΜΟΥ ΕΠΙΤΟΜΗΣ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ ΦΥΣΙΚΑ

Sigla Eusebii Stobaeique codicum et ceterae notae fere eaedem sunt quae in Aëtio.

ΕΚ ΤΩΝ ΑΡΕΙΟΥ ΔΙΔΥΜΟΥ ΕΠΙΤΟΜΗΣ ΦΥΣΙΚΩΝ

1

Euseb. P. E. XI 23 3—6. Stob. ecl. eth. I 12 p. 330 H.

Περὶ δὲ τῶν ἰδεῶν ὡδὶ διεξήρχετο, τῶν κατὰ φύσιν αἰσθητῶν κατὰ γένος ὡρισμένα τινὰ παραδείγματα φάμενος εἶναι τὰς ἰδέας, ὧν τὰς ἐπιστήμας γίγνεσθαι καὶ τοὺς ὅρους· παρὰ πάντας γὰρ ἀνθρώπους ἄνθρωπόν τινα νοεῖσθαι καὶ παρὰ πάντας ἵππους ἵππον καὶ κοινῶς παρὰ πάντα ζῷα ζῷον ἀγένητον καὶ ἄφθαρτον· ὃν τρόπον δὲ σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνεσθαι πολλὰ καὶ συχνὰς εἰκόνας ἑνὸς ἀνδρός, οὕτως καὶ μιᾶς ἑκάστης ἰδέας αἰσθητῶν σωμάτων φύσεις παμπληθεῖς, τῆς μὲν ἀνθρώπων ἀνθρώπους ἅπαντας, ⟨τῆς δὲ ἵππων ἵππους ἅπαντας,⟩ καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων τῶν κατὰ φύσιν. εἶναι δὲ τὴν ἰδέαν ἀΐδιον οὐσίαν, αἰτίαν καὶ ἀρχὴν τοῦ ἕκαστον εἶναι τοιοῦτον, οἷα ἐστὶν αὐτή. καθάπερ οὖν τὰ κατὰ μέρος ὥσπερ ἀρχέτυπα τῶν αἰσθητῶν προηγεῖσθαι σωμάτων, οὕτως τὴν πάσας ἐν ἑαυτῇ περιέχουσαν καλλίστην καὶ τελειοτάτην οὐσίαν ὑπάρχειν τοῦδε παράδειγμα τοῦ κόσμου· πρὸς γὰρ ταύτην ἀφομοιωθέντα ὑπὸ τοῦ δημιουργήσαντος αὐτὸν ἀπειργάσθαι θεοῦ κατὰ πρόνοιαν ἐκ τῆς πάσης οὐσίας.

Alcinoi epit. Plut. dogm. c. 12.

Ἐπεὶ γὰρ τῶν κατὰ φύσιν αἰσθητῶν καὶ κατὰ μέρος ὡρισμένα τινὰ δεῖ παραδείγματα εἶναι τὰς ἰδέας, ὧν καὶ τὰς ἐπιστήμας γίνεσθαι καὶ τοὺς ὅρους (παρὰ πάντας γὰρ ἀνθρώπους ἄνθρωπόν τινα νοεῖσθαι καὶ παρὰ πάντας ἵππους ἵππον καὶ κοινῶς παρὰ τὰ ζῷα ζῷον ἀγένητον καὶ ἄφθαρτον· ὃν τρόπον σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνεται πολλὰ καὶ ἑνὸς ἀνδρὸς εἰκόνες μυρίαι ἐπὶ μυρίαις τῆς ἰδέας οὔσης αἰτίας ἀρχὴν τοῦ εἶναι ἕκαστον τοιοῦτον οἷον αὐτὴ ὑπάρχει), ἀναγκαῖον καὶ τὸ κάλλιστον κατασκεύασμα τὸν κόσμον ὑπὸ τοῦ θεοῦ δεδημιουργῆσθαι πρός τινα ἰδέαν κόσμου ἀποβλέποντος παράδειγμα ὑπάρχουσαν τοῦδε τοῦ κόσμου ὡς ἂν ἀπεικονισμένου ἀπ' ἐκείνης πρὸς ἣν ἀφομοιωθέντα ὑπὸ τοῦ δημιουργοῦ αὐτὸν ἀπειργάσθαι κατὰ θαυμαστοτάτην πρόνοιαν καὶ δίαιταν ἐλθόντος ἐπὶ τὸ δημιουργεῖν τὸν κόσμον διότι ἀγαθὸς ἦν. ἐκ τῆς πάσης οὖν ὕλης αὐτὸν ἐδημιούργει.

Euseb. praemittit XI 23 2 hunc indicem: τὴν δὲ τῶν εἰρημένων διάνοιαν ἐκ τῶν Διδύμῳ Περὶ τῶν ἀρεσκόντων Πλάτωνι συντεταγμένων ἐκθήσομαι· γράφει δὲ οὕτως· Stobaei editores lemma adponunt Πλάτων, sed deest in A. dixi de hoc fr. Prol. p. 73 II 74 VI

1 περὶ — διεξήρχετο om. E || 2 κατὰ μέρος Alcin. cf. v. 19 || 4 ὧν Eus. Alc.: ἀφ' ὧν Stob. || 8 παρὰ τὰ ζῶα E St. Alc.: correxit Meineke || 10 γίνεσθαι E: γενέσθαι St.: γίνεται Alc. || 11 οὕτως καὶ St.: οὕτως ἐκ E || 14 τῆς — ἅπαντας om. St. E: explevit Meineke || 19 αὐτή St. Alc.: αὕτη E || 21 προηγεῖσθαι infinitivus ut v. 10 quo offensus St. addidit συμβέβηκε || 21 πᾶσαν E[CDFGI] || 23 οὖσαν E St.: corr. Stob. cod. Aug. || τοῦδε — οὐσίας om. Stob. || b 22 ἐκ τῆς πάσης οὖν ὕλης αὐτὸν ἐδημιούργει vulgo (Angelic. C 1, 7): πάσης αὐτὸν ὕλης οὖν ἐδημιούργει Vindob. 314

2

Stob. Ecl. I 11 4 p. 320sq. H.

Ἀριστοτέλους. Ἐπειδὴ δ' ἡ μὲν φύσις κατ' ἐπίνοιαν ἀρχή τίς ἐστι κινήσεως καὶ στάσεως, οὔτε δὴ κινούμενον ἡ ὕλη κατὰ τὸν ἴδιον λόγον οὔτε τὸ εἶδος. ἡ μὲν γὰρ ἀνείδεος, τὸ δὲ εἶδος ἀεί, καὶ ἡ μὲν οὐ σῶμα, σωματικὴ δέ, τὸ δὲ καθάπαξ ἀσώματον. οὐ σῶμα δὲ τὴν ὕλην φασίν, [οὐχ] οὐ μόνον ὅτι ἐστερῆσθαι δοκεῖ τῶν περὶ σῶμα διαστάσεων, ἀλλ' ὅτι καὶ πολλῶν ἄλλων ἀπολείπεται κατὰ τὸν ἴδιον λόγον, ἃ τοῖς σώμασιν ὑπάρχει, σχήματος χρώματος βαρύτητος κουφότητος, ὅλως πάσης ποιότητος καὶ ποσότητος. εἰ γὰρ τούτων μετεῖχε, τῶν ποιῶν ⟨ἂν⟩ ἦν καὶ ποσῶν· οὐ μετειληφυῖα δὲ, κατὰ λόγον σῶμα μὲν οὐκ ἂν εἴη, σωματικὴ δὲ διὰ τὸ πάσαις ὥσπερ ἐκμαγεῖον ὑποκεῖσθαι ταῖς ποιότησιν· ὃν τρόπον γὰρ τὸ εἶδος τῆς ὕλης ἀφαιρεθὲν ἀσώματον εἶναι τυγχάνει, οὕτως καὶ τὴν ὕλην τοῦ εἴδους χωρισθέντος οὐ σῶμα. δεῖν γὰρ ἀμφοῖν τῆς συνόδου πρὸς τὴν τοῦ σώματος ὑπόστασιν.

3

Stob. Ecl. I 12 p. 328sq. H.

Ταύτας δὲ τὰς ἀρχὰς ποτὲ μὲν εἶναί φησιν Ἀριστοτέλης δύο, τήν τε ὕλην καὶ τὸ εἶδος, ὃ καὶ μορφὴν καλεῖ καὶ ἐντελέχειαν καὶ τὸ τί ἦν εἶναι καὶ οὐσίαν τὴν κατὰ τὸν λόγον, καὶ ἐνέργειαν· οὕτως αὐτῷ πλούσιόν τε καὶ πολυώνυμόν ἐστι τὸ εἶδος. τοσοῦτον μὲν οὖν διαφέρειν τὸ εἶδος τῆς μορφῆς, ὅτι τὸ μέν ἐστι διῆκον διὰ βάθους, ἡ δ' ἐπιπολαῖος· καὶ ἡ μὲν παραπλήσιος λευκότητι ⟨τῇ⟩ κατὰ τὴν ζωγραφίαν, τὸ δ' εἰδοποιεῖ τὴν τοῦ γάλακτος οὐσίαν· ταὐτὸν δ' εἶδος λέγεται καθ' ὅσον τὸ μὲν εἰδοποιεῖ τὸ δὲ διαμορφοῖ τὴν ὕλην. ἐντελέχειαν ⟨δ'⟩ αὐτὸ προσεῖπεν ἤτοι διὰ τὸ ἐνδελεχῶς ὑπάρχειν ἢ ὅτι τῶν μετεχόντων αὐτοῦ ἕκαστον παρέχεται τέλειον· ὁ γὰρ χαλκὸς ἀνδριὰς οὐδέπω πλὴν ὅτι μὴ δυνάμει, διαπλασθεὶς δὲ καὶ τὴν πρόσφορον λαβὼν μορφὴν ἐντελεχείᾳ λέγεται· τότε γὰρ ἀπείληφε τὸ τέλος. τὸ δὲ τί ἦν εἶναι προσηγόρευσε παρὰ τὸ τῶν ὄντων ἐπιφέρειν ἑκάστῳ τὴν τοῦ εἶναι δύναμιν. οὐσίαν δὲ τὴν κατὰ τὸν λόγον ὅτι διαλλάττει τῆς κατὰ τὴν ὕλην, ὡς ἀνδριὰς χαλκοῦ καὶ Θηρίκλειον ἀργυροῦ καὶ τῶν ἀγαλμάτων ὁτιοῦν λίθου· τὸ γὰρ ᾧ περιττεύει ταῦτα τῆς ὕλης, ἐξ ἧς δεδημιούργηται, τοῦτ' ἔστιν ἡ κατὰ τὸν λόγον οὐσία. ἐνέργειαν δὲ ἐκάλεσεν ὅτι τῶν ὄντων οὐθὲν ἂν ἐνεργεῖν ἐδύνατο μὴ πρότερον εἰδοποιηθέν.

---

1 de auctore Ario dixi Prol. p. 73sq. II V VI VII || 3 τὸ εἶδος F: κατὰ τὸ εἶδος C || 4 οὐχ ὅτι οὐ μόνον A: corr. Usener || 8 ἂν add. Meineke || κατὰ τὸν C || 10 εἶναι Ario condonabis

13 de Ario auctore dixi Prol. p. 73sq. I II IV VI VII || 15 πολυώνυμον cf. Arius de Platone ecl. eth. 6 3 p. 68 et 4 p. 82 Πλάτων πολύφωνος ὤν, οὐχ ὡς τινες οἴονται πολύδοξος || τοσοῦτον apogr. VA, τοσούτῳ (F)C || 17 ἐπιπολαίως A: corr. Gaisford || τῇ add. Usener || 18 τὸ δὲ δὴ περὶ τὴν τοῦ A: correxi || 19 τὸ μὲν—τὸ δὲ *et*—*et* || δ' addidit Heeren || 20 ἐνδελεχῶς sic A || 22 μορφὴν ἐντελέχεια C: τροφὴν ἐνδελέχεια F || 26 γὰρ δ A: correxi. articulus ante relativum hac aetate non infrequens || 28 ἐδύνατο F: ἀδύνατο C

4

Stob. ecl. I 17 p. 368. 370 H.

Ἀριστοτέλους καὶ τῶν ἀπ' αὐτοῦ. Τὰ μὲν σώματα φασὶ θρυπτόμενα κατὰ μικρὰ μόρια παρατίθεσθαι ἀλλήλοις, † τοὺς δ' ἀσωμάτους λόγους, εἴ τινές εἰσι λόγοι, συγκρίνασθαι.

5

Stob. ecl. I 14 1 p. 342. 344 H.

(Ἀριστοτέλους) Τῶν δὲ ἁπλῶν σωμάτων εἶναι τὰς ποιότητας ἁπλᾶς, διαιρεῖσθαι δὲ εἰς ἄπειρον τὰ μεγέθη καὶ τὰ μέγεθος ἔχοντα. ταῦτα δὲ καὶ συνεχῆ καλεῖσθαι· μεγέθη δὲ εἶναι μῆκος πλάτος βάθος, τὰ δ' ἔχοντα μέγεθος ἓξ ὑπάρχειν σῶμα τόπον ἐπιφάνειαν γραμμὴν κίνησιν χρόνον· ἐπιφάνειαν δ' εἶναι σώματος πέρας δυσὶν ὁριζομένην διαστάσεσι· γραμμὴν δὲ τὸ τῆς ἐπιφανείας πέρας κατὰ μίαν διάστασιν· σῶμα δὴ τοίνυν ἐστὶ ⟨τὸ⟩ τὰς τρεῖς ἔχον διαστάσεις. ἐπεὶ δὲ καὶ περὶ τὸν τόπον εἰσὶν αὗται, προσθετέον τό τε μετ' ἀντερείσεως καὶ τὸ μὴ δεχόμενον ἕτερον εἰς τὸν αὐτὸν τόπον σῶμα· πληρωτικὸν γὰρ εἶναι τοῦ τόπου τὸ σῶμα, καθάπερ καὶ τὸν τόπον τοῦ σώματος δεκτικόν. ποιεῖν δὲ καὶ πάσχειν τὰ σώματα ταῖς ἀσωμάτοις δυνάμεσι· κατὰ γὰρ τὰς ἐν ταύταις διαφορὰς ἀποτελεῖσθαι τάς τε τῶν δραστικῶν καὶ τὰς τῶν παθητικῶν φύσεις.

6

Stob. ecl. I 8 40 p. 252 H.

Ἀριστοτέλους. Τὸν δὲ χρόνον ἀριθμὸν εἶναι κινήσεως κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον, οὔτ' ἀρχὴν ἔχοντα οὔτε τελευτήν, ἀλλ' ἀεὶ ὄντα καὶ ἀεὶ γιγνόμενον, εἶναι δὲ συνεχῆ καὶ διαιρετόν· λαμβάνεσθαι γὰρ αὐτοῦ τὸ μὲν πρότερον τὸ δ' ὕστερον, ὅρον δ' ὑπάρχειν ἑκατέρων τὸ νῦν· τοῦτο γὰρ νοεῖσθαι τοῦ μὲν προτέρου πέρας, τοῦ δὲ μέλλοντος ἀρχήν.

---

1 de fr. 4 origine Ariana dixi Prol. p. 74 sq. VI VIII || 1 ἀριστοτέλους καὶ οἱ ἀπ' αὐτοῦ F: sequor C || 2 καὶ τὰ μικρὰ A: correxi cf. Aristot. d. gen. et int. I 10 p. 328ª 12 || λόγους cf. Meineke add. p. CCIX. Stoicorum utitur λόγοις σπερματικοῖς ut Ocell. Luc. II 5 λόγοι γὰρ ἀσώματοι τυγχάνουσι τούτων cf. infr. v. 13. p. 457, 12. 458, 2. 459, 7 et fr. 38 || οἵ τινες A: corr. cod. Augustanus || εἴ τινές εἰσι λόγοι inclusit Heeren || 3 συγκρίνεσθαι coni. Meineke, sed desidero praeterea τοῖς δ' ἀσωμάτοις λόγοις

4 fragm. 5 interpositum est Aëtianis cf. ad Plac. I 12 p. 310ᵇ 28. sed illic quaestio de simplicibus corporibus non praeparata est in prioribus. praeterea capitulorum reliquorum similitudo explicatam hanc definitionum expositionem [cf. de cael. I 1] excludit. cf. Prol. p. 75 VIII || 9 τὸ addidi

15 Arii origo unde cognoscatur dixi Prol. p. 73 sq. II V VI || ἀριστοτέλους in marg. F: om. C. in contextu ante (τ)ὸν lacuna 7 litter. || definitio petita est ex Phys. IV 11 p. 220ª 24 cf. ib. v. 4. 5 || 17 δὴ A: corr. Heeren || παρ' αὐτοῦ A: corr. Heeren

7

Stob. ecl. I 8 40 p. 252. 254 H.

Οἱ Ἀριστοτελικοὶ τὸν χρόνον ἀριθμὸν τῶν κατὰ τὸ νῦν ἀφοριζομένων κινήσεων, τὸ δὲ νῦν εἶναι μονάδα στάσεως ἐν κινήσει, κίνησιν δ' οὐκ εἶναι τὸν χρόνον, οὐ μὴν ⟨ἄνευ⟩ κινήσεως· λέγεσθαι γὰρ κίνησιν βραδεῖαν καὶ ταχεῖαν, οὐκ ἔτι δὲ χρόνον, ἀλλὰ πολὺν καὶ ὀλίγον. ἔτι τὸ μὲν πλεῖον καὶ τοὔλαττον ἀριθμῷ κρίνεσθαι, χρόνῳ δὲ τὴν πλείω καὶ ἐλάττω κίνησιν. οὐκ ἄρα κίνησις ὁ χρόνος, οὐ μὴν κινήσεως κεχωρισμένος· ἀριθμὸν γὰρ εἶναι κινήσεως συνεχῆ κατὰ τὸ πρότερον καὶ ὕστερον.

8

Stob. ecl. I 24 p. 512 H.

(Ἀριστοτέλους) Πάντα δὲ κινεῖσθαι, τὰ μὲν πρὸς ἡμῶν καλούμενα πλανήτας ὑπὸ τὸν ζῳδιακὸν κύκλον λοξὸν ὄντα καὶ τῶν τροπικῶν ἐφαπτόμενον, τὰ δὲ ἀπλανῆ ἀπὸ τοῦ αἰεὶ φανεροῦ παρήκοντα μέχρι τοῦ ἀφανοῦς· οὐκ ὀλίγα δὲ αὐτῶν τῆς γῆς εἶναι μείζονα.

9

Stob. ecl. I 22 1 p. 486 H.

(Ἀριστοτέλους) Περιέχεσθαι δὲ ταῦτα ὑπὸ τοῦ αἰθέρος, ἔνθα τὰ θεῖα διανενεμημένα κατὰ σφαίρας ἵδρυται τῶν λεγομένων ἀπλανῶν τε καὶ πλανωμένων ἀστέρων. ὅσας δὲ εἶναι τὰς σφαίρας, τοσούτους ὑπάρχειν καὶ τοὺς κινοῦντας θεοὺς ταύτας, ὧν μέγιστον τὸν πάσας περιέχοντα, ζῷον ὄντα λογικὸν καὶ μακάριον, συνεκτικὸν καὶ προνοητικὸν τῶν οὐρανίων. συνεστάναι δὲ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τοῦτον δὲ οὔτε βαρὺν οὔτε κοῦφον, οὔτε γενητὸν οὔτε φθαρτόν, οὔτε αὐξόμενον οὔτε μειούμενον ἐς ἀεὶ διαμένειν ἄτρεπτον καὶ ἀναλλοίωτον πεπερασμένον καὶ σφαιροειδῆ καὶ ἔμψυχον κινούμενον περὶ τὸ μέσον ἐγκυκλίως.

10

Stob. ecl. I 25 3 p. 534—538 H.

Ἀριστοτέλης ἐκ πέμπτης οὐσίας τὸν ἥλιον. πυροῦσθαι δὲ τὸν ἀέρα καὶ σφόδρα γίνεσθαι θερμὸν ἀνίσχοντός τε τοῦ ἡλίου καὶ πλησιάζοντος ἡμῖν οὐ διὰ

---

1 de fr. 7 cf. Prol. p. 74 VI || τὰ νῦν A: corr. Heeren || 3 ἄνευ add. Heeren ex Aristot. Phys. IV 10 p. 218b 18. 21 || 5 χρόνος δὲ A: corr. Heeren || οὐκ ἄρα concludit Arius cf. fr. 5

8 fr. 8 sequitur post Aëtii II 17 5 a quo cur diversum sit dixi Prol. p. 73 sq. II VII

12 fr. 9 sequitur post Aëtii Pl. II 7 5 cf. Prol. p. 73 sqq. II V VII VIII || ταῦτα IV elementa || 16 συντακτικὸν (τα litterae erasae F): συνακτικὸν C: restituit cod. August. Stoicam vocem cf. [Arist.] d. mundo 6 p. 397b 9 || 16 συνεστάναι — ἐγκυκλίως repetitur in Stob. p. 502 H. post Aëtii Pl. II 11 3. cf. Prol. p. 215 sq. priore loco ἢ φθαρτόν legitur

21 fr. 10 Ario vindicavi Prol. p. 73 sq. I VI VII

τὸ πύρινον εἶναι τὴν οὐσίαν, ἀλλὰ διὰ τὴν ὀξύτητα τῆς κινήσεως αὐτοῦ καὶ τὴν πρὸς τὸν ἀέρα παράτριψιν, ὑποβεβλημένον αὐτοῦ τῇ φορᾷ καὶ περικείμενον· οὔτε δὲ τὸν ἥλιον οὔτε τῶν ἄλλων ἄστρων ὁτιοῦν πῦρ εἶναι· σφαιροειδῆ μὲν γὰρ τούτων τὰ σχήματα, πυρὸς δὲ ἐκτός· οὔτε γὰρ τὴν περὶ τὸ μέσον οἰκείαν εἶναι κίνησιν πυρός, ἀλλὰ τὴν ἀπὸ τοῦ μέσου, οὔτε τὴν τῆς αὐξήσεως τῶν ζῴων καὶ φυτῶν δύναμιν, ἀλλὰ τὴν τῆς φθορᾶς· οὐδὲ τὴν καθ' ἑαυτὸ διαμονήν, τὸ γὰρ πῦρ ἀχώριστον εἶναι τῆς ὕλης. ἐκ πέμπτης ἄρα τινὸς καὶ διαφερούσης τοῦ πυρὸς οὐσίας τόν τε οὐρανὸν ὑπάρχειν καὶ τὰ ἐν αὐτῷ πάντα. καὶ τὸν μὲν ἥλιον ἡμέραν ἀπεργάζεσθαι ὑπὲρ γῆν ἰόντα, νύκτα δὲ χωρήσαντα ὑπὸ γῆν. καὶ τοῦ μὲν ἑτέρου τῶν τροπικῶν ἐφαψάμενον βραχυτάτην ποιεῖν τὴν ἡμέραν, μακροτάτην δὲ τὴν νύκτα· θατέρου δὲ ἀνάπαλιν· τοῦ δ' ἰσημερινοῦ ἰόντα τε καὶ ἀπιόντα· διαθεῖν δὲ τὸν ἴδιον ⟨ἐν⟩ ἐνιαυτῷ κύκλον. ἔκλειψιν δὲ τοῦ ἡλίου φαίνεσθαι σελήνης ὑποδραμούσης ὑπὸ τὸν αὐτοῦ κύκλον καὶ ταῖς ἡμετέραις ὄψεσιν ἀντιφραττούσης, προσγειοτάτην γὰρ εἶναι τῶν ἄλλων ἄστρων· ὁπότ' οὖν κατὰ διάμετρον ὑπ' αὐτὸν γένοιτο, ταῖς προσπιπτούσαις ἀπ' αὐτοῦ πρὸς τὴν γῆν ἀκτῖσιν ἐπιπροσθεῖν, ὥστε τοσοῦτον τόπον ἀφώτιστον ἀπεργάζεσθαι τῆς γῆς, ὁπόσον ἂν αὐτῆς ἐπίσχῃ τὸ σκίασμα· παρ' ὃ καὶ μήτε κατὰ πᾶν κλίμα τῆς γῆς μήτε κατὰ τὴν αὐτὴν ὥραν μήτε ἐπὶ πολὺν ἄγαν τόπον διατείνειν τὸ τῆς ἡλιακῆς ἐκλείψεως πάθος.

11

Stob. ecl. I 31 [servavit I. Dam. N 6 p. 152, 7—153, 28 Mein.]

(Ἀριστοτέλους) Ἐκ δὲ τῆς ὑγρᾶς καὶ ἀτμώδους ὑετούς τε καὶ δρόσους καὶ πάχνας ὁμίχλας τε καὶ νέφη καὶ χιόνας καὶ χαλάζας· ὑετοὺς μὲν γίνεσθαι τῆς ἀναδιδομένης ἀπὸ τῆς γῆς ἀτμίδος τοῖς ἄνω τόποις συνισταμένης κατὰ πύκνωσιν καὶ τρεπομένης εἰς ὕδωρ, εἶτα φερομένης ἀθρόως ἐπὶ γῆν διὰ τὴν ἀπόλειψιν τοῦ ἀναγαγόντος αὐτὴν θερμοῦ, σκεδασθείσης δ' εἰς μικρὰ μόρια καλεῖσθαι ψεκάδας, πρὸ τοῦ δὲ μετεωρισθῆναι σφόδρα κατενεχθείσης διὰ τὴν τοῦ ἀναγαγόντος αὐτὴν πυρὸς ὀλιγότητα προσονομάζεσθαι δρόσον καὶ πάχνην· πάχνην μὲν ὅταν παγῇ πρὶν εἰς ὕδωρ συγκριθῆναι (γίνεσθαι δὲ χειμῶνος καὶ ἐν τόποις μᾶλλον χειμερινοῖς), δρόσον δ' ὅταν τὸ συνιστάμενον ὑγρὸν νύκτωρ ψυχθὲν ἅμα τοῖς ὄρθροις ἐπὶ γῆν ἐπιφέρηται. διὸ καὶ πλείστην πίπτειν δρόσον καὶ πάχνην περὶ τὰ ἕλη καὶ τὰς λίμνας καὶ τοὺς ποταμοὺς καὶ μάλιστα περὶ τοὺς ἐναύλους καὶ κοίλους τῶν τόπων· ἀνάγεσθαί τε γὰρ πλεῖστον ὑγρὸν ἀπὸ τῶν τοιούτων χωρίων καὶ καταψύχεσθαι μᾶλλον.

Τὴν δ' ἀθρόαν ἀνάδοσιν λέγεσθαι τῆς ἀτμίδος ἐπὶ μικρὸν μὲν παχυνθεῖσαν ὁμίχλην οἷον ἀραιὰν καὶ ἄγονον ὕδατος νεφέλην, ὡς ἂν προσυνισταμένην ταύτης

2 παρακείμενον A: corr. Usener || 3 διὰ τὸν A: corr. man. rec. in F || 6 ἑαυτὰ A: corr. Usener || 8 ἡμέρας A: correxi cf. Arist. top. VI 5 p. 142^{b}3 || 12 ἐν addidit Heeren || 13 τὸν αὐτὸν A: corr. Heeren || ἀντιπραττούσης A: corr. Bake cf. Arist. p. 367^{b}23 et 1515^{a}23 || 15 προπιπτούσαις A: correxi itemque Kontos Athennei VI 101

19 de hoc fr. cf. Prol. p. 73 sq. I II III VI IX et ad p. 371^{b}23. Aristotelis nomen intercidit. excerpta sunt ex meteor. I 9 sq. || 25 πυρὸς αὐτὴν D: corr. Meineke cf. Arist. l. c. p. 347^{a}14 qui habet ἀνάγοντος || 29 ἐνύλους D: corr. Meineke || 32 ἔτι D || 33 cf. Aristot. p. 346^{b}33 et d. mund. p. 394^{a}19

καὶ προδιαλυομένην καὶ σημεῖον οὖσαν εὐδίας, τὴν δὲ μετεωρισθεῖσαν ἐπὶ πλεῖον καὶ συγκριθεῖσαν νεφέλην. πάντα δὲ περὶ γῆν ταῦτα γίνεσθαι διὰ τὸ μὴ πόρρω τὴν ἀτμίδα μετεωρίζεσθαι κατισχύειν. ἐν γοῦν τοῖς ὑψηλοτάτοις ὄρεσιν οὐδὲν γίνεσθαι τούτων. αἴτιον ⟨δ'⟩ ὅτι μάλιστα ἐκ τῶν κοίλων ἀνάγεται καὶ ἐφύδρων ἡ ἀτμὶς τόπων· ὥστε καθάπερ φορτίον πλεῖον φέρουσαν ἢ καθ' ἑαυτὴν τὴν ἀνάγουσαν θερμότητα μὴ δύνασθαι μετεωρίζειν ἐπὶ πολὺν ἄγαν τόπον, ἀλλ' ἐγγὺς οὖσαν ἔτι τῆς γῆς μεθιέναι πάλιν ἐπ' αὐτήν.

Ἐκ δὲ τοῦ περὶ τὰ νέφη τόπου τρία φοιτᾶν σώματα πρὸς ἡμᾶς, ὕδωρ καὶ χιόνα καὶ χάλαζαν. ὧν δύο μὲν ἀναλογίας ἔχειν πρὸς ἄλληλα παρὰ τὸ διὰ τὰς αὐτὰς αἰτίας γίνεσθαι τοῖς κάτω διαφέροντα τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι. χιόνα γὰρ καὶ πάχνην εἶναι ταὐτὸν καὶ ὑετὸν καὶ δρόσον, ἀλλὰ τὸ μὲν πολύ, τὸ δ' ὀλίγον· τὸν μὲν γὰρ ὑετὸν ἐκ πολλῆς ἀτμίδος γίνεσθαι ψυχομένης, τὴν δὲ δρόσον ἐξ ὀλίγης, ἐφήμερον γὰρ αὐτῆς ὑπάρχειν τὴν σύστασιν. ὁμοίως χιόνα καὶ πάχνην· χιόνα μὲν γὰρ εἶναι πῆξιν νέφους, ἀτμίδος δὲ τὴν πάχνην. διὸ ἢ χώρας ἢ ὥρας ψυχρᾶς σημεῖον γίνεσθαι τὴν χιόνα· χαλάζας δὲ κατὰ τοὐναντίον ἐν ταῖς εὐδιεινοτέραις συμβαίνειν χώραις ἢ ὥραις. θέρους γοῦν μάλιστα καὶ μετοπώρου γίνεσθαι, χειμῶνος δὲ ὀλιγάκις καὶ ὅταν ἧττον ᾖ ψῦχος. εἶναι δὲ τὴν χάλαζαν τοῦ καταφερομένου πῆξιν ἐκ τῶν νεφῶν ὕδατος. ἐκ δὲ τῆς ξηρᾶς καὶ καπνώδους πόρρω διατεινούσης καὶ μετεωριζομένης, ὡς καὶ διὰ τοῦτο πολλάκις διὰ τῆς ἐπιφορᾶς τῶν οὐρανίων ἐμπίπρασθαι, τῶν πρότερον εἰρημένων ἕκαστον ἀποτελεῖσθαι.

12

Stob. ecl. I 29 1 p. 598—602 H.

Ἀριστοτέλης. Τυφῶνας δ' ὅταν ἐκνεφίας δινούμενος καταφέρηται. τὸ γὰρ πνεῦμα κωλυόμενον μὲν εἰς ὀρθὸν ἰέναι παρ' ἀντίπνοιαν ἢ ψῦχος ἢ πάχος ἤ τινα ἄλλην αἰτίαν, ἐλαυνόμενον δ' ὑπὸ τοῦ κατόπιν ἐπεισιόντος ἀναστρέφειν εἰλούμενον ἐν τῷ νέφει κύκλῳ καὶ συγκατάγειν ἐπὶ γῆν ἑαυτῷ τὸ νέφος· εἶθ' ὅτῳ ἂν ἐντύχῃ φερόμενον σφοδρῶς ἀναρπάζειν καὶ πάλιν ἀπορρίπτειν, τοῦτο γὰρ εἶναι τὸ πάθος οἷον ἐκνεφίαν ἄπεπτον. πρηστῆρας δ', ὅταν βιαίως κατιὸν ἐκπυρωθῇ τὸ πνεῦμα κατὰ τὴν φοράν, συνεμπίπρασθαι γὰρ τὸν ἀέρα πυρώσει χρωματιζόμενον, διὸ καὶ νυκτὸς ἐκλάμπειν· ἀναρπάζειν δὲ καὶ περιτρέπειν ὁμοίως καὶ τούτους, ὥσπερ πυρώδεις ὄντας τυφῶνας. κεραυνὸν δ', ὅταν πολὺ καὶ λεπτὸν περιληφθὲν ἐν τοῖς νέφεσι πνεῦμα πυρωθὲν ἐκθλιφθῇ καὶ μετ' ἰσχυρᾶς ἐπὶ γῆν

4 δ' add. Meineke || 5 ἄγουσαν D: corr. Meineke ex Arist. p. 347ª32 || 6 μετεωρίζεσθαι D: corr. idem ex eod. l. c. || 8 in proximis Ar. meteor. I 11 ad verbum plerumque excerptum || 9 ἔχει D: corr. Meineke || 10 ταῖς κάτω D: corr. Meineke || 12 τὸ μὲν D || 15 καὶ χώρας D: correxi ex Arist. p. 347ᵇ24 || 18 Arius transitum fecisse videtur ad caput de fulminibus etc. Stobaeus autem Aëtii ordinem secutus verba inepte immutavit

22 Arianae originis indicia collegi Prol. p. 73 sqq. I II III VI IX || Ἀριστοτέλους malim || τυφῶνας A: vulgo τυφῶνα || δ' C et cod. August.: μὲν (F)? || κάτω φήρηται malit Heeren ex Aristot. meteor. III 1 p. 370ᵇ33 || 24 ἀναστρέφει vulgo: correxi || 25 συγκατάγει vulgo: correxi || 27 ἐκνεφίαν F: ἐκνεφίας C cf. Aristot. l. c. p. 371ª3 || 29 τε καὶ A: correxi || 31 ἐκληφθῇ F: ἐκλυφθῇ C: ἐκθλιβῇ Aristot. l. c. p. 371ª18: corr. Heeren

κατασκήψῃ φορᾶς, ἐὰν μὲν ᾖ πάνυ λεπτὸν καὶ διὰ τοῦτ' οὐκ ἐπικαῖον, ἀργῆτα λέγεσθαι κατὰ τοὺς ποιητάς, ἐὰν δ' ἧττον ἐπικαῖον, ψολόεντα. τὸν μὲν γὰρ διὰ τὴν λεπτότητα καὶ πρὶν ἐκπυρῶσαι φερόμενον οἴχεσθαι διὰ τάχους, ὡς μηδ' ἐπιμελᾶναί τι τῶν ὑποκειμένων· τὸν δὲ οἷον καὶ βραδύτερον ἐπιχρῶσαι μὲν ὥσπερ ἀπ' αἰθάλου, παρενεχθῆναι δὲ μηδὲν ἀφανίσαντα. διὸ καὶ τὰ μὲν ἀντιτυπήσαντα φλέγεσθαι, τὰ δ' εἰς τὰς ἑαυτῶν ἀραιότητας ὑποδεξάμενα μηδὲν πάσχειν. ἤδη γοῦν ἀσπίδος πληγείσης τακῆναι μὲν τὸ χάλκωμα, τὸ δὲ ξύλον μηδὲν παθεῖν, φθάσαντος τοῦ πνεύματος διὰ τὴν τῆς ὕλης μανότητα πρὸ τῆς καύσεως διεκδραμεῖν· καὶ δι' ἱματίων ὁμοίως διελθὸν οὐ κατέκαυσεν, ἀλλ' οἷον τρῦχος ἐποίησε. περὶ μὲν οὖν τούτων διετάττετο οὕτως.

13

Stob. ecl. I 36 [33] p. 628–634 H.

Ἀριστοτέλης φησὶ σεισμοὺς γίνεσθαι καὶ μυκήματα καὶ χάσματα τῆς ξηρᾶς ἀναθυμιάσεως εἰς τὰς ἀραιότητας κατὰ τῆς γῆς ῥυείσης καὶ κατὰ τὰς ἀθρόας ἐμπτώσεις τρόμους καὶ βρασμοὺς περὶ αὐτὴν ἀπεργαζομένης. ὡς γὰρ ὁρμήσασαν ἔξω τὴν ἀναθυμίασιν ἄνεμον ποιεῖν σφοδρόν, οὕτως εἴσω καθειρχθεῖσαν τῇ ῥύμῃ τῆς φορᾶς διακραδαίνειν τοὺς τόπους, ἐν οἷς ἂν ἀπολῃφθῇ. συνέχεσθαι ⟨δὲ⟩ τὴν δύναμιν ταύτην ἐν τῇ γῇ διά τε πύκνωσιν τῆς ἐπιφανείας καὶ διὰ κατάψυξιν καὶ διὰ ξηρασίαν. ὅθεν καὶ νηνεμίας οὔσης ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι τοὺς σεισμοὺς τῆς τῶν ἀνέμων ὁρμῆς εἴσω τραπείσης· καὶ νυκτὸς μᾶλλον διὰ τὴν ψῦξιν καὶ περὶ τὸν ὄρθρον· τοὺς γὰρ ἀνέμους τότε τῆς πνοῆς ἄρχεσθαι, καὶ πρὸς τὴν γῆν ἀποστρέφειν ⟨τὸ⟩ κατὰ τὴν ἀναθυμίασιν ἀνιὸν πνεῦμα· καὶ τῆς ἡμέρας ἔστιν ὅτε περὶ μεσημβρίαν. τὸν γὰρ ἥλιον τῆς ἀναθυμιάσεως ἐπικρατοῦντα κατακλείειν αὐτὴν εἰς τὴν γῆν· καὶ ἔαρος καὶ μετοπώρου μᾶλλον, ἀνωμάλους γὰρ ταύτας εἶναι τὰς ὥρας· τὸ γὰρ θέρος καὶ τὸν χειμῶνα, τὸ μὲν διὰ τὸν πάγον, τὸ δὲ διὰ τὴν ἀλέαν ἀκίνητον ποιεῖν τὸν ἀέρα διὰ τὸ τὸ μὲν ἄγαν εἶναι ξηρόν, τὸν δὲ ἄγαν ψυχρόν· καὶ ἐν τοῖς αὐχμοῖς, ὅτε μάλιστα πνευματώδης ὁ ἀήρ· τοῦτο γὰρ εἶναι τὸν αὐχμόν, ξηρᾶς πλῆθος ἀναθυμιάσεως. ἀπελαυνομένης οὖν τῆς ἀτμίδος εἰς τὴν γῆν καὶ καθειργνυμένης σφυγμὸν γίνεσθαι περὶ αὐτὴν καὶ τρόμον καὶ ἐν ταῖς ἐπομβρίαις ἐπιφραττομένης ὑπὸ τῶν ὑγρῶν καὶ τοῦ ψυχροῦ τῆς γῆς καὶ τῆς ἐντὸς ἀναθυμιάσεως αὐξομένης ὑπὸ τῶν ὑετῶν καὶ πυκνουμένης, ὥστε κατὰ τὴν πρόσπτωσιν ἰσχυρῶς κινεῖν καὶ σείειν, καὶ ἐν τοῖς ὑπάντρους καὶ σομφοὺς ἔχουσι τοὺς κάτω τόπους ἢ καὶ παρακειμένην ῥοώδη θάλατταν διὰ τὸ θύραθεν πλεῖον ὑποδέχεσθαι πνεῦμα καὶ διὰ τὸ τὴν θάλατταν προσπίπτουσαν ἀπωθεῖν εἰς τὴν

---

1 τούτου καὶ ἐπικαῖον F: οὐκ ἐπικάων Aristot. l. c. || 2 ποιητάς Hom. Θ 133 et saepius || ψολόεντα ut ω 539 || τὸν Usener: τὸ A || 4 οἱ κατὰ βαρύτερον A: corr. Heeren. cf. Aristot. l. c. p. 371ª23 || ὥστ' A: correxi || 9 κατέκαυσε: flectitur oratio ut p. 458, 24 || 10 cum clausula cf. ecl. eth. II 6 p. 68, 3 M.

11 de fr. 13 dixi Prol. p. 73 sqq. I III VII IX || 12 καὶ τῆς γῆς A: correxi cf. p. 454, 18 || 15 ἀπολειφθῇ A: correxi cf. Aët. III 15 5 ἐν ἀπολήψει || δὲ addidit Heeren || 18 ἀνέμων τροπῆς A: corr. Heeren conl. Arist. meteor. II 8 p. 366ª7 || 20 τὸ addidi cf. p. 454, 1 || 23 τὸ γὰρ Arist. p. 366ᵇ4: τὸ μὲν A: τὸ μὲν γὰρ Heeren || 24 διὰ τὸ τὸν A || τὸ δὲ Arist. l. c. || 25 Arist. l. c. p. 366ᵇ7 || 30 πρόπτωσιν A: correxi cf. Arist. p. 366ᵇ14 et Theophr. d. vent. 21 || 32 διὰ τὸ F: τὸ om. C vulgo

γῆν τὸ πεφυκὸς ἀπ' αὐτῆς ἀποπνεῖν πνεῦμα καὶ σκεδάννυσθαι. περὶ γοῦν τὴν Πελοπόννησον καὶ τὴν Ἀχαΐαν καὶ τῆς Εὐβοίας τὰς κοιλάδας πολλοὺς καὶ μεγάλους γίνεσθαι σεισμούς. ὡς γὰρ ὑφ' ἡμῶν πολλάκις τὸ διαπνεόμενον ἔξω πνεῦμα, παλινδρομῆσαν εἴσω, παλμὸν παρέχει καὶ σφυγμὸν ἐν τοῖς σώμασιν, οὕτω τὸ περιληφθὲν ἐν τῇ γῇ κατὰ τὴν κίνησιν κλονούμενον περὶ τοὺς πόρους καὶ διεγκοπτόμενον σπασμοὺς καὶ σεισμοὺς ἀποτελεῖν. συμβαίνειν δὲ καὶ τὰ μυκήματα ποτὲ μὲν μετὰ σεισμῶν, ποτὲ δὲ καὶ χωρίς, τοῦ πνεύματος ἠχοῦντος, ὥστ' ἐξακούεσθαι ψόφον τινὰ καὶ βόμβον ἐπὶ μήκιστον, ὁπότε διὰ τῶν σηράγγων διαυλοδρομεῖ παρατριβόμενον μηδ' ἐξιόν. τὰ δὲ χάσματα μετὰ σεισμῶν· ἤδη γοῦν τινας σεισμοὺς μὴ πρότερον λῆξαι πρὶν ἢ διαρραγῆναι τοὺς τόπους, ἐν οἷς ἐγένοντο, βιασαμένου τοῦ περιληφθέντος πνεύματος περὶ τὴν ἔξοδον ὥσπερ ἐκνεφίου τινὸς ἀνέμου. καθάπερ καὶ τὸν περὶ τὴν Ποντικὴν Ἡράκλειαν καὶ τὸν ἔτι πρότερον γενόμενον περὶ τὴν Ἱερὰν καλουμένην Αἰόλου νῆσον. ἐν ταύταις γὰρ ὑπὸ σεισμῶν οἰδήματα τῆς γῆς γενέσθαι μεγάλα, καὶ ταῦτα διαρραγέντα πολὺν ἄνεμον ἐκπεφυσηκέναι καὶ φέψαλον, ὥστε κατατεφρῶσαι πλησίον οὖσαν τὴν τῶν Λιπαραίων πόλιν. τὰς δὲ ποντίους λεγομένας νήσους ἧττον σείεσθαι τῶν προσγείων διὰ τὸ καταψύχεσθαι τῷ πλήθει τῆς θαλάττης τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν. τεκμήριον δ' εἶναι τοῦ ῥεῖν ὑπὸ τὴν γῆν τὸ πνεῦμα πρῶτον μὲν †ἀπὸ τοῦ ἐν οἷς γίνεται προσημαίνειν ἠχοῦντος, εἶτα τὸ περὶ τὸν ἥλιον πάθος· ἀμαυρότερον γὰρ καὶ ἀχλυώδη φαίνεσθαι χωρὶς νέφους, ὑπονοστεῖν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ λεπτύνοντος τὸν ἀέρα καὶ διακρίνοντος. πρός τε τούτοις τὸ πρὸ τῶν ὀρθρίων σεισμῶν νηνεμίαν γίνεσθαι καὶ ψῦχος· τὴν μὲν γὰρ ξυμβαίνειν διὰ τὴν εἴσω τῶν ἀνέμων μετάρροιαν, τὸ δὲ διὰ τὴν τῆς θερμῆς ἀναθυμιάσεως ἀπουσίαν. καὶ περὶ μὲν σεισμῶν καὶ τῶν ἄλλων τῶν περὶ τὴν γῆν παθημάτων ἐπὶ τοσοῦτον.

14

Stob. ecl. I 30 2 p. 616—622 H.

Ἀριστοτέλους. Ἄλω δὲ καὶ ἴριδας καὶ παρήλιον καὶ ῥάβδους καὶ τἆλλα τὰ κατὰ τὰς ἐμφάσεις ὑπὸ μὲν τῆς αὐτῆς αἰτίας γίνεσθαι (πάντα γὰρ εἶναι ταῦτα τῆς ὄψεως ἀνάκλασιν), διαφέρειν δὲ τοῖς τόποις καὶ ἀφ' ὧν καὶ ὡς ἔχει συμβαίνειν τὴν ἀνάκλασιν. ἅλω μὲν οὖν καὶ περὶ ἥλιον φαίνεσθαι καὶ περὶ σελήνην καὶ καθόλου περὶ τὰ λαμπρὰ τῶν ἄστρων καὶ οὐθὲν ἧττον ἡμέρας ἢ νυκτὸς καὶ περὶ μεσημβρίαν ἢ δείλην· ἕωθεν δ' ἐλαττονάκις καὶ περὶ δύσιν. συμβαίνειν δ', ὅταν διὰ τοῦ πέριξ ἀέρος ἀχλυώδους ὄντος ἐπιλάμπηται τὸ φῶς αὐτῶν, ὥσθ'

3 fortasse ἐφ' ἡμῶν || 5 περιληφθὲν A: περιλειφθὲν corr. F || ἀνακοπτόμενον coni. Usener || συμβαίνει A: correxi || 8 σηράγγων F: συρίγγων C vid. [Arist.] d. mund. p. 395b31 || 10 ἐγένετο A: corr. Vatic. et Aug. || 11 περιληφθέντος F: περιλειφθέντος C || 14 γίνεσθαι A: correxi || 15 λιπάρων A: correctum ex Ar. p. 367a6 || 16 σείεσθαι C: γενέσθαι F || 18 μὲν τὸ τοὺς τόπους ἐν οἷς γ. π. ἠχοῦντας ci. Usener cf. Ar. p. 367a14 || 22 αἰθρίων A: correxi ex Ar. p. 367a21 | 24 declausula cf. Prol. p. 73 III

26 lemma in mrg. A. de Ario auctore dixi Prol. p. 73 sqq. I II V IX cf. Arist. meteor. III 2 sq. unde pleraque corr. Heeren || 28 τρόποις Arist. p. 372a19 || nonne ὡς ἔοικε? || 29 παρήλιον A || 30 καὶ νυκτὸς A: corr. Vatic. || 31 ἧττον πολλάκις καὶ A: corr. ex Ar. p. 371b26 || συμβαίνει A: correxi

ὅλον ὁρᾶσθαι τὸν κύκλον· περιφανῆ γὰρ εἶναι καὶ σφαιρικὴν κατὰ τὴν ἔμφασιν τὴν ἅλω. ταύτης δὲ τὴν μὲν ἐπιμένουσαν ὑετὸν σημαίνειν, τὴν δὲ διασπασθεῖσαν πνεῦμα, τὴν δὲ μαραινομένην εὐδίαν. ἶριν δὲ περὶ μόνον ἥλιον καὶ σελήνην συνίστασθαι, γίνεσθαι δὲ καὶ νύκτωρ, ὀλιγάκις δὲ καὶ πάνυ διὰ πολλοῦ. κύκλον δὲ μηδέποτε φαίνεσθαι τῆς ἴριδος μηδὲ μεῖζον ἡμικυκλίου τμῆμα. ποικίλην δ' ἔχειν τὴν ἔμφασιν διὰ τὸ κατὰ τὴν τῆς ὄψεως ἀνάκλασιν φοινικοῦν καὶ πράσινον καὶ ἁλουργὸν προσπίπτειν ἀπ' αὐτῆς χρῶμα. φοινικοῦν μέν, ὅτι τὸ λαμπρὸν ἐν μέλανι καὶ διὰ μέλανος ὁρώμενον τοιαύτην ἀποτελεῖ χρόαν. τοῖς γοῦν θεωμένοις τὸν ἥλιον δι' ὁμίχλης ἢ διὰ καπνοῦ δοκεῖν ἐρυθρὸν εἶναι· καὶ τὴν ἀπὸ τῶν χλωρῶν ξύλων φλόγα πεφοινιγμένην διὰ τὸ πολὺν αὐτῇ καταμεμῖχθαι καπνόν. κατὰ τοῦτο δὴ καὶ τὴν ἐξωτάτω καὶ μείζονα περιφέρειαν τῆς ἴριδος ἐμφαίνειν τὸ φοινικοῦν· διὰ γὰρ μέλανος τοῦ νέφους ἀνακλωμένην τὴν ὄψιν πρὸς λαμπρότατον ὄντα τὸν ἥλιον ἀντιλαμβάνεσθαι τοιοῦδε χρώματος. τὴν δὲ δευτέραν καὶ τρίτην περιφέρειαν διὰ τὴν τῆς ὄψεως ἀσθένειαν τό τε πράσινον καὶ τὸ ἁλουργὲς ἐμφαίνειν. τὸ δ' ὅλον εἶναι τὴν ἶριν ἔμφασιν ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει κοίλῳ καὶ δεδροσισμένῳ κατὰ κύκλου περιφέρειαν ὁρωμένην. γίνεσθαι δ' ἔστιν ὅτε διπλῆν, ὡς τὴν ἑτέραν ἀμαυροτέραν φαίνεσθαι καὶ διὰ παντὸς ἐξ ἐναντίας ἱσταμένην τῇ προτέρᾳ καὶ τῇ θέσει τῶν χρωμάτων ἀντεστραμμένην. παρηλίους δὲ καὶ ῥάβδους γίνεσθαι μὲν ἀπὸ τῆς αὐτῆς αἰτίας, οὐδὲ μὴν ὁμοίως ἔχοντος τοῦ νέφους. ὅταν γὰρ ἀχλυώδες ᾖ καὶ ὁμαλές, πρὸς δὲ τούτοις ὑδατῶδες καὶ πυκνόν, ὡς ἀπὸ χαλκοῦ [κατόπτρου] λείου κλώμενην πρὸς τὸν ἥλιον τὴν ὄψιν λευκοῦ ποιεῖν φαντασίαν. παραπλήσιον γὰρ ἡλίῳ κατά τε τὴν χρόαν καὶ τὸ σχῆμα φαίνεσθαι τὸν παρήλιον. τὴν μὲν γὰρ ὁμαλότητα τοῦ νέφους αἰτίαν εἶναι τοῦ χρώματος, τὴν δ' ἀνάκλασιν τῆς ὄψεως τῆς τοῦ ἡλίου, διὰ τῆς ἀχλυώδους ἐμφάσεως προσπίπτουσαν ἀθρόως πρὸς πεπυκνωμένον ὥσπερ ἔνοπτρον οὐδέπω μὲν ὂν ὕδωρ, ἐγγὺς δ' ὑπάρχον τῆς πρὸς ὕδωρ μεταβολῆς· διὸ καὶ σημεῖον ὕδατος εἶναι τὸν παρήλιον· καὶ μᾶλλόν γε τὸν νότιον τοῦ βορείου παρὰ τὸ μᾶλλον μεταβάλλειν εἰς ὕδωρ τὸν νότιον ἀέρα τοῦ πρὸς ἄρκτον. γίνεσθαι δὲ περί τε [τὰς] ἀνατολὰς τοῦ ἡλίου καὶ περὶ δύσεις οὐκ ἄνωθεν, ἀλλ' ἐκ τῶν πλαγίων, καθάπερ καὶ τὰς ῥάβδους. εἶναι δὲ [διὰ] τὰς καλουμένας ῥάβδους ἰριοειδεῖς εὐθείας ἐμφάσεις περὶ τὸν ἀέρα συνισταμένας δι' ἀνωμαλίαν τῶν ἐνοπτριζόντων νεφῶν.

15

Stob. ecl. I 51 [43] 1 p. 1108 H. [I. Dam. A 28 p. 237, 16—21 M.]

Ἀριστοτέλους. Τὸ δὲ αἰσθητικόν, ὃ δὴ κοινῶς ἁπάντων τῶν ζῴων ἴδιον (αἰσθήσει γὰρ διαφέρειν τὸ ζῷον τοῦ φυτοῦ), πενταπλοῦν ἐοικέναι. τοῦτο γὰρ τὸ

8 μέλαν A: μέλανος Aristot. l. c. p. 374ᵃ3 || τούτους γοῦν θεωμένους F: recte C || 9 ἢ καὶ τὴν C: ἢ τὴν F: ἢ delevi || 10 πολὺν A cf. Arist. 374ᵃ6: vulgo παχὺν ex apographis || 11 ἐμφαίνει A: corr. Heeren || 15 εἶναι τὴν C: om. F || 17 ἱσταμένην C: ἱστάμενον F et similiter v. 18 ἀντεστραμμένον || 19 οὔτε A: corr. Meineke || 20 ἀπὸ A: vulgo ὑπὸ || κατόπτρου delevi || 21 κλωμένου F: κλώμενον C: correxi cf. Arist. p. 377ᵇ21 ὥσπερ ἀπὸ χαλκοῦ λείου κλωμένης (τῆς ὄψεως) || 28 τὰς del. Meineke || 29 δὲ διὰ F: truncatus C

λ

32 Ἀριστοτέλους F in marg.: ἀριστοτέ D: om. C cf. Prol. p. 74¹. praeterea p. 73 sqq. II VI VII || τὸ δὴ AD: correxi || τῶν om. D

μὲν ὅρασιν τὸ δ' ἀκοὴν τὸ δ' ὄσφρησιν τὸ δὲ γεῦσιν τὸ δ' ἁφήν. ὑπάρχειν δέ τινα καὶ σύνθετον αἴσθησιν, ἐν ᾗ τό τε φανταστικὸν πᾶν γίνεσθαι καὶ ⟨τὸ⟩ μνημονευτικὸν καὶ τὸ δοξαστικόν, ὅπερ οὖν οὐδ' ἄμοιρον τοῦ νοῦ τυγχάνει. αἰσθάνεσθαι δ' ἡμᾶς παθούσης τι τῆς αἰσθήσεως.

16

Stob. ecl. I 58 [47] p. 1114 H.

Ἀριστοτέλης. Φαντασίαν δ' εἶναι πάθος τι καὶ κίνησιν τῆς κατ' ἐνέργειαν αἰσθήσεως, ὠνομάσθαι δ' ἀπὸ μιᾶς τῶν αἰσθήσεων, τῆς ὁράσεως· τὸ ⟨γὰρ⟩ φαίνεσθαι παρὰ τὸ φάος ἔχειν τὴν ἐπίρρησιν· τοῦτο δ' οἰκεῖον εἶναι τῆς ὄψεως. διατείνειν δὲ ⟨εἰς⟩ πάσας τὰς αἰσθήσεις καὶ τὰς διανοητικὰς κινήσεις, καὶ γὰρ ταύτας ὁμωνύμως λέγεσθαι φαντασίας. κριτήρια δ' εἶναι τῆς τούτων γνώσεως τόν τε νοῦν καὶ τὴν αἴσθησιν, τὸν μὲν τῶν νοητῶν, τὴν δὲ τῶν αἰσθητῶν. οὔτε γὰρ τὸ καθόλου δύναιτ' ἂν αἴσθησις ἐπικρίνειν οὔτε τὸ καθ' ἕκαστον νοῦς, πάντα δ' ἐκ τούτων συνεστάναι καὶ διὰ τούτων.

17

Stob. ecl. I 52 [44] 1 p. 1110 H. [I. Dam. O 14 p. 173, 19 M.]

Ἀριστοτέλης ὁρᾶν ἡμᾶς κατὰ κίνησιν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. διαφανὲς δὲ οὐ μόνον εἶναι τὸν ἀέρα, ἀλλὰ καὶ τὸ ὕδωρ καί τινα τῶν συνισταμένων πωθέν, οἷον ὕαλον καὶ κρύσταλλον καί τινας τῶν λαμπρῶν λίθων. ἀκούειν δὲ κατ' ἐνέργειαν τοῦ μεταξὺ διηχοῦς. διηχὲς δ' εἶναι καὶ τὸν ἀέρα καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ καί τινα τῶν συγκριμάτων.

I. Dam. O 16 (p. 176, 14 M.)

Ἀριστοτέλης ὀσφραίνεσθαι τοῦ μεταξὺ σώματος ἀναπιμπλαμένου τῶν ὀσφραντῶν.

Stob. ecl. I 55 [45] 4 p. 1112 H.

Ἀριστοτέλης γεύεσθαι διὰ τοῦ μεταξὺ τῶν γευστῶν ὑγρῶν.

Stob. ecl. I 55 [45] 7 p. 1112 H.

Ἀριστοτέλης. ἅπτεσθαι δὲ διὰ τοῦ μεταξὺ σώματος τῆς σαρκὸς καὶ τοῦ ἁπτοῦ. τὸ δὴ τοιοῦτον ⟨ἢ τὸν⟩ ἀέρα ἢ τὸ ὕδωρ ὑπάρχειν ἢ ἐκ τούτων τι κοινόν. λανθάνειν δὲ ἐπί τε τῆς γεύσεως καὶ τῆς ἁφῆς διὰ τὸ μὴ διὰ μακροῦ γίνεσθαι

2 τὸ post καὶ om. AD: addidit Heeren || 3 ἄμοιρον FD: ἄμοιρα C vulgo

5 de fr. 16 cf. Prol. p. 73 II || scribendum erat lemma Ἀριστοτέλους || 6 γὰρ addidi. τῷ φ. Heeren || 7 μὲν εἶναι Heeren || 8 εἰς addidit Heeren || 9 cf. cum his Alcin. is. c. 4 extr. || 11 αἰσθήσεις A: corr. Heeren

13 fr. 17 Ario tribui Prol. p. 73 sqq. II VI cf. p. 76. unum fuisse olim caput, deinde a Stobaeo discerptum non solum dicendi tenor sed etiam δὲ v. 15 et 21 servatum et capitulum de auditu v. 15 male continuatum (collocandum c. 53 [44]) probat. in Aëtio c. περὶ ἁφῆς, quantum ex Plutarcho conicere licet, defuit || 16 διεχοῦς AD: correxi cf. Plut. Symp. VIII p. 721 B διηχὲς δὲ—οἷός ἐστι παρ' ἡμῖν ὁ ἀὴρ καὶ ὕδωρ καὶ γῆ καὶ πῦρ || τοῦ μεταξὺ διεχοῦς A: om. D || 18 σώματος: praeter aera intellegitur aqua cf. Arist. p. 443 a 2 || 21 καὶ τὸ ἀπὸ τούτου A: scripsi τοῦ ἁπτοῦ, Heeren τοῦ ἁπτομένου || 22 ἢ τὸν addidi cf. v. 14. 16 || 23 λανθάνειν τε A: corr. Heeren

καθάπερ ἐπὶ τῶν ὁρατῶν καὶ ἀκουστῶν καὶ ὀσφραντῶν. τοῦ δὲ κινητικοῦ κατὰ τόπον, ὃ δὴ προσείπομεν ὁρμητικόν, τὸ πρῶτον κινοῦν καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἀκίνητον εἶναι.

18

Stob. ecl. I 13 1 p. 336. 338 H. [I. Dam. A 29 p. 238, 6 M.]

Αἴτιον δ' ὁ Ζήνων φησὶν εἶναι δι' ὅ, οὗ δ' αἴτιον συμβεβηκός· καὶ τὸ μὲν αἴτιον σῶμα, οὗ δ' αἴτιον κατηγόρημα· ἀδύνατον δ' εἶναι τὸ μὲν αἴτιον παρεῖναι, οὗ δέ ἐστιν αἴτιον μὴ ὑπάρχειν. τὸ δὲ λεγόμενον τοιαύτην ἔχει δύναμιν· αἰτιόν ἐστι δι' ὃ γίνεταί τι, οἷον διὰ τὴν φρόνησιν γίνεται τὸ φρονεῖν καὶ διὰ τὴν ψυχὴν γίνεται τὸ ζῆν καὶ διὰ τὴν σωφροσύνην γίνεται τὸ σωφρονεῖν. ἀδύνατον γὰρ εἶναι σωφροσύνης περί τινα οὖσης μὴ σωφρονεῖν ἢ ψυχῆς μὴ ζῆν ἢ φρονήσεως μὴ φρονεῖν.

Χρύσιππος αἴτιον εἶναι λέγει δι' ὅ. καὶ τὸ μὲν αἴτιον ὂν καὶ σῶμα καὶ [αἴτιον] ὅ τι· οὗ δὲ αἴτιον διά τι. αἰτίαν δ' εἶναι λόγον αἰτίου ἢ λόγον τὸν περὶ τοῦ αἰτίου ὡς αἰτίου.

Ποσειδώνιος δὲ οὕτως· αἴτιον δ' ἐστί τινος, δι' ὃ ἐκεῖνο, ἢ τὸ πρῶτον ποιοῦν ἢ τὸ ἀρχηγὸν ποιήσεως· καὶ τὸ μὲν αἴτιον ὂν καὶ σῶμα, οὗ δ' αἴτιον οὔτε ὂν οὔτε σῶμα, ἀλλὰ συμβεβηκὸς καὶ κατηγόρημα.

19

Stob. ecl. I 14 1 p. 350. 352 H.

Σῶμά ἐστι τὸ τριχῇ διαστατόν, πλάτει βάθει μήκει· ταῦτα δὲ πλεοναχῶς λέγεσθαι, ὁτὲ μὲν γὰρ μῆκος εἶναι [λέγεσθαι] τὸ μέγιστον διάστημα τοῦ σώματος, ὁτὲ δὲ μόνον τὸ κάτωθεν ἄνω· καὶ πλάτος ὁτὲ ⟨μὲν⟩ τὸ δεύτερον διάστημα, ὁτὲ δὲ τὸ ἐκ δεξιᾶς καὶ ἐξ εὐωνύμου. καὶ βάθος ὁτὲ μὲν †καὶ εἰς ἑαυτὸ διάστημα, ὁτὲ δὲ τὸ πρόσω καὶ ὀπίσω· κατὰ μὲν τὸν πρότερον λόγον οὔτε τῶν σφαιρῶν οὔτε τῶν τετραγώνων καὶ τῶν ὁμοίων οὐδὲν τῶν διαστημάτων τούτων ἐχόντων, κατὰ δὲ τὸν δεύτερον παντὸς σώματος τὰς τρεῖς ἔχοντος διαστάσεις διὰ τὸ κατὰ πᾶσαν θέσιν ὑπὸ τὸν λόγον τοῦτον πίπτειν αὐτό.

20

Stob. ecl. I 11 5 p. 322. 324 H

Ζήνωνος. Οὐσίαν δὲ εἶναι τὴν τῶν ὄντων πάντων πρώτην ὕλην, ταύτην δὲ πᾶσαν ἀίδιον καὶ οὔτε πλείω γινομένην οὔτε ἐλάττω· τὰ δὲ μέρη ταύτης

---

1 κινητικοῦ F: κινητοῦ C: correxi cf. Arist. d. an. III 10 p. 433a13 || 2 ὃν δὴ A: correxi

4 fr. 18 tangitur in Proleg. p. 73 sqq. II IV VI VII X || 8 γίνεται om. D || 12 καὶ αἴτιον A: καὶ αἴτιον μὲν D: αἴτιον inclusit Heeren || διὰ τί AD: corr. Heeren

17 Stoicorum definitionem [Laert. VII 135 Sext. adv. math. I 21 IX 367 P. H. III 39] Ario tribui cf. Prol. p. 74 VI VII || num σῶμα εἶναι? || πλέον ἄλλως F: ἄλλως om. C: corr. Heeren || 18 λέγεσθαι delevi dittographiam || 19 μὲν om. A || 20 καὶ F: om. C: τὸ ἐλάχιστον δ. Usener || 21 πρῶτον A: corr. Usener, cum Arius hac neglegentia non videatur usus esse cf. p. 458, 22 || 24 τοῦτο A: corr. cod. Aug.

25 de fr. 20 cf. Prol. p. 73 sqq. II IV V VI VII || lemma in mrg. A || ὄντων C: πρώτων F

οὐκ ἀεὶ ταὐτὰ διαμένειν, ἀλλὰ διαιρεῖσθαι καὶ συγχεῖσθαι. διὰ ταύτης δὲ διαθεῖν τὸν τοῦ παντὸς λόγον, ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν, οἷόν περ καὶ ἐν τῇ γονῇ τὸ σπέρμα.

Χρυσίππου Στωικοῦ. Τῶν κατὰ ποιότητα ὑφισταμένων πρώτην ὕλην· ταύτην δὲ ἀίδιον, οὔτε αὔξησιν οὔτε μείωσιν ὑπομένουσαν, διαίρεσιν δὲ καὶ σύγχυσιν ἐπιδεχομένην κατὰ μέρη, ὥστε φθορὰς γίνεσθαι ἐκ τῶν μερῶν εἴς τινα, οὐ κατὰ διαίρεσιν, ἀλλὰ κατ' ἀναλογίαν τῇ συγχύσει τινῶν γινομένων ἔκ τινος.

Ἔφησε δὲ ὁ Ποσειδώνιος τὴν τῶν ὅλων οὐσίαν καὶ ὕλην ἄποιον καὶ ἄμορφον εἶναι, καθ' ὅσον οὐδὲν ἀποτεταγμένον ἴδιον ἔχει σχῆμα οὐδὲ ποιότητα καθ' αὑτήν· ἀεὶ δ' ἔν τινι σχήματι καὶ ποιότητι εἶναι. διαφέρειν δὲ τὴν οὐσίαν τῆς ὕλης τὴν οὖσαν κατὰ τὴν ὑπόστασιν ἐπινοίᾳ μόνον.

21

Stob. ecl. I 10 16 p. 312—316 H.

Χρυσίππου. Περὶ δὲ τῶν ἐκ τῆς οὐσίας στοιχείων τοιαῦτά τινα ἀποφαίνεται τῷ τῆς αἱρέσεως ἡγεμόνι Ζήνωνι κατακολουθῶν, τέτταρα λέγων εἶναι στοιχεῖα, . . . καὶ φυτὰ καὶ τὸν ὅλον κόσμον καὶ τὰ ἐν αὐτῷ περιεχόμενα, καὶ εἰς ταῦτα διαλύεσθαι. τὸ δὲ ⟨πῦρ⟩ κατ' ἐξοχὴν στοιχεῖον λέγεσθαι διὰ τὸ ἐξ αὐτοῦ πρώτου τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ ἔσχατον πάντα χεόμενα διαλύεσθαι. τοῦτο δὲ μὴ ἐπιδέχεσθαι τὴν εἰς ἄλλο χύσιν ἢ ἀνάλυσιν. συνίστασθαι δ' ἐξ αὐτοῦ τὰ λοιπὰ καὶ χεόμενα εἰς τοῦτο ἔσχατον τελευτᾶν· παρ' ὃ καὶ στοιχεῖον λέγεσθαι, ὃ πρῶτον ἔστηκεν οὕτως, ὥστε σύστασιν διδόναι ἀφ' αὑτοῦ καὶ ἀπὸ τῶν λοιπῶν χύσιν καὶ διάλυσιν δέχεσθαι εἰς αὐτό. κατὰ μὲν τὸν λόγον τοῦτον αὐτοτελῶς λεγομένου τοῦ πυρὸς στοιχείου. οὐ μετ' ἄλλου γάρ· κατὰ δὲ τὸν πρότερον καὶ μετ' ἄλλων συστατικὸν εἶναι, πρώτης μὲν γινομένης τῆς ἐκ πυρὸς κατὰ σύστασιν εἰς ἀέρα μεταβολῆς, δευτέρας δ' ἀπὸ τούτου εἰς ὕδωρ, τρίτης δ' ἔτι μᾶλλον κατὰ τὸ ἀνάλογον συνισταμένου τοῦ ὕδατος εἰς γῆν. πάλιν δ' ἀπὸ ταύτης διαλυομένης καὶ διαχεομένης πρώτη μὲν γίνεται χύσις εἰς ὕδωρ, δευτέρα δ' ἐξ ὕδατος εἰς ἀέρα, τρίτη δὲ καὶ ἐσχάτη εἰς πῦρ. λέγεσθαι ⟨δὲ⟩ πῦρ τὸ πυρῶδες πᾶν καὶ ἀέρα τὸ ἀερῶδες καὶ ὁμοίως τὰ λοιπά. τριχῶς δὲ λεγομένου κατὰ Χρύσιππον τοῦ στοιχείου, καθ' ἕνα μὲν τρόπον τοῦ πυρὸς διὰ τὸ ἐξ αὐτοῦ τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολὴν καὶ εἰς αὐτὸ λαμβάνειν τὴν ἀνάλυσιν· καθ' ἕτερον δέ, καθ' ὃ λέγεται τὰ τέτταρα στοιχεῖα πῦρ ἀὴρ ὕδωρ γῆ (ἐπεὶ διὰ τούτων τινὸς ἢ τινῶν ἢ καὶ πάντων τὰ λοιπὰ συνέστηκε, διὰ μὲν τῶν

---

2 εἱμαρμένην cf. Diog. VII 149. 136 || καὶ A: omissum ab Heerenio et insequentibus editoribus || 4 lemma in mrg. A || 7 suspicor κατ' ἀνάλυσιν ἢ σύγχυσιν cf. infra v. 17. 20 || interponuntur Aëtii Plac. I 9 6. 7 || 8 (Π)οσειδωνίου mrg. F || 10 κατ' αὐτήν A: correxi || 11 τὴν οὖσαν temere seclusit Heeren

12 de fr. 21 vide Prol. p. 73 sqq. I II V VI X || 14 lacunam sic expleas: πῦρ ἀέρα ὕδωρ γῆν, ἐξ ὧν συνίστασθαι πάντα καὶ ζῷα cf. v. 15 et 16, alii aliter || 15 πῦρ Heeren addidit cf. v. 28. ceterum cf. Laert. VII 136 || 19 ἀπ' αὐτοῦ et v. 20 εἰς αὐτό ante Meinekeum || 21 οὐ μετ' ἄλλου γὰρ post πρότερον A: transposuit Heeren. an οὐ μετ' ἄλλου γίγνεσθαι? tum v. 20 κατὰ μὲν οὖν scribes || 24 δ' ἔστι A: corr. Heeren || 25 cf. ad p. 453, 9 || 26 δεύτερον A: corr. Meineke || δὲ add. Heeren

τεττάρων, ὡς τὰ ζῷα καὶ τὰ ἐπὶ γῆς πάντα συγκρίματα, διὰ δυοῖν δέ, ὡς ἡ σελήνη διὰ πυρὸς καὶ ἀέρος συνέστηκε, δι' ἑνὸς δέ, ὡς ὁ ἥλιος· διὰ πυρὸς γὰρ μόνου, ὁ γὰρ ἥλιος πῦρ ἐστιν εἰλικρινές)· κατὰ τρίτον λόγον λέγεται στοιχεῖον εἶναι ὃ πρῶτον συνέστηκεν οὕτως, ὥστε γένεσιν διδόναι ἀφ' αὑτοῦ ὁδῷ μέχρι τέλους καὶ ἐξ ἐκείνου τὴν ἀνάλυσιν δέχεσθαι εἰς ἑαυτὸ τῇ ὁμοίᾳ ὁδῷ. γεγονέναι δ' ἔφησε καὶ τοιαύτας ἀποδόσεις περὶ στοιχείου, ὡς ἔστι τό τε δι' αὑτοῦ εὐκινητότατον καὶ ἡ ἀρχὴ ⟨καὶ ὁ⟩ λόγος καὶ ἡ ἀίδιος δύναμις φύσιν ἔχουσα τοιαύτην, ὥστε † γῆν τε κινεῖν κάτω πρὸς γῆν τὴν τροφήν, καὶ ἀπὸ τῆς τροφῆς ἄνω πάντῃ κύκλῳ, εἰς αὑτήν τε πάντα καταναλίσκουσα καὶ τὸ αὑτῆς πάλιν ἀποκαθιστᾶσα τεταγμένως καὶ ὁδῷ.

22

Stob. ecl. I 19 3 p. 404. 406 H.

Χρυσίππου. Κίνησιν δέ φησιν εἶναι ὁ Χρύσιππος μεταβολὴν κατὰ τόπον ἢ ὅλῳ ἢ μέρει, ἢ μεταλλαγὴν ἐκ τόπου ἢ καθ' ὅλον ἢ κατὰ μέρος. καὶ ἄλλως· κίνησιν ⟨μὲν⟩ μεταλλαγὴν κατὰ τόπον ἢ σχῆμα, φορὰν δὲ μετέωρον κίνησιν ὀξεῖαν, μονὴν δὲ τὸ μὲν οἷον ἀκινησίαν σώματος, τὸ δ' οἷον σώματος σχέσιν κατὰ ταὐτὰ καὶ ὡσαύτως νῦν τε καὶ πρότερον. πολλαχῶς δὲ λέγεσθαι τὴν κίνησιν καὶ τὴν μονήν, διὸ καὶ πολλοὺς καθ' ἕκαστον σημαινόμενον ἀποδίδοσθαι ὅρους. τὰς δὲ πρώτας κινήσεις εἶναι δύο, τήν τε εὐθεῖαν καὶ τὴν καμπύλην· διὰ τούτων δὲ πολλαχῶς μιγνυμένων γίνεσθαι πολλὰς κινήσεις καὶ διαφερούσας.

23

Stob. ecl. I 19 4 p. 406. 408 H.

Ζήνωνος. Τῶν δ' ἐν τῷ κόσμῳ πάντων τῶν κατ' ἰδίαν ἕξιν συνεστώτων τὰ μέρη τὴν φορὰν ἔχειν εἰς τὸ τοῦ ὅλου μέσον, ὁμοίως δὲ καὶ αὐτοῦ τοῦ κόσμου, διόπερ ὀρθῶς λέγεσθαι πάντα τὰ μέρη τοῦ κόσμου ἐπὶ τὸ μέσον τοῦ κόσμου τὴν φορὰν ἔχειν, μάλιστα δὲ τὰ βάρος ἔχοντα· ταὐτὸν δ' αἴτιον εἶναι καὶ τῆς τοῦ κόσμου μονῆς ἐν ἀπείρῳ κενῷ καὶ τῆς γῆς παραπλησίως ἐν τῷ κόσμῳ περὶ τὸ τούτου κέντρον καθιδρυμένης ἰσοκρατῶς. οὐ πάντως δὲ σῶμα βάρος ἔχειν, ἀλλ' ἀβαρῆ εἶναι ἀέρα καὶ πῦρ· τείνεσθαι δὲ καὶ ταῦτά πως ἐπὶ τὸ τῆς ὅλης σφαίρας τοῦ κόσμου μέσον, τὴν δὲ σύστασιν πρὸς τὴν περιφέρειαν αὐτοῦ ποιεῖσθαι. φύσει γὰρ ἀνώφοιτα ταῦτ' εἶναι διὰ τὸ μηδενὸς μετέχειν βάρους· παραπλησίως

3 δὲ post τρίτον addebat Meineke || 4 ἀπ' αὐτοῦ A: corr. Meineke || 7 εὐκινητότατον cf. p. 465, 9 || καὶ ὁ deest in libris || 8 extrema corrupta sunt. suadeo: ὥστε πάντων ποιεῖν κάτω πρὸς γῆν τὴν τροπήν, [τροπὴν invenit Usener], καὶ ἀπὸ γῆς τροπὴν [sic Usener] ἄνω πάντῃ κύκλῳ [cf. fr. 31 p. 466, 16], εἰς αὑτήν τε πάντα καταναλίσκουσα καὶ ἀφ' ἑαυτῆς [fuit καπὸ αὐτῆς, sic Usener] πάλιν κτλ.

11 fr. 22. 23 cohaerent, fr. 24 falso in libris interpositis Platonis duobus locis sequitur cf. Prol. p. 73 sq. II IV V VI X || 13 μὲν addidi || μετεώρου A: correxi cf. fr. 23. ἐκ μετεώρου Meineke

19 τῶν post πάντων delet Usener || 23 τῇ γῇ A: corr. Heeren || 25 γίνεσθαι A: correxi. nam etsi fugiunt aer ignisque terrae medium, servant tamen illam directionem contraria petentes. κινεῖσθαι Meineke || 27 ἀνώφυτα F: ἄνω τὰ φυτὰ C: corr. Canterus

δὲ τούτοις οὐδ' αὐτόν φασι τὸν κόσμον βάρος ἔχειν διὰ τὸ τὴν ὅλην αὐτοῦ σύστασιν ἔκ τε τῶν βάρος ἐχόντων στοιχείων εἶναι καὶ ἐκ τῶν ἀβαρῶν, τὴν δ' ὅλην γῆν καθ' ἑαυτὴν μὲν ἔχειν ἀρέσκει βάρος, παρὰ δὲ τὴν θέσιν διὰ τὸ τὴν μέσην ἔχειν χώραν (πρὸς δὲ τὸ μέσον εἶναι τὴν φορὰν τοῖς τοιούτοις σώμασιν) ἐπὶ τοῦ τόπου τούτου μένειν.

24

Stob. ecl. I 19 7 p. 408. 410 H.

Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ τέχνῃ κίνησιν εἶναι μεταβολὴν κατὰ τόπον ἢ σχῆμα ἢ ὅλῳ ἢ [τοῖς] μέρεσι, σχέσιν δὲ συνοχὴν κατὰ τόπον ἢ σχῆμα καὶ τὸ ἴσχεσθαι τοιοῦτο· γένη δὲ κινήσεως εἶναι πρῶτα δύο, τήν τε κατ' εὐθεῖαν καὶ τὴν ἐγκύκλιον. τούτων δὲ εἴδη γίνεσθαι πλείονα. περὶ τὸ αὐτὸ δὲ κινήσεις γίνεσθαι πολλὰς καὶ ἐν τῷ αὐτῷ τόπῳ, οἷον περιπατεῖν καὶ τρέχειν μὴ ἐκβαίνοντα τὸν ἀσώματον τόπον, καὶ ἅμα κινεῖσθαι τήν τε ἐπ' εὐθεῖαν καὶ τὴν εἰς τὰ πλάγια καὶ τὴν ἔμπροσθεν καὶ τὴν ὄπισθεν καὶ τὴν εἰς δεξιὰν καὶ ἀριστερὰν καὶ ἐγκύκλιον καὶ ταχέως ἅμα καὶ βραδέως, καθάπερ ἐπὶ τῶν πλεόντων καὶ τῶν ὁμοίως τούτοις διακειμένων συντυγχάνειν. ὥσπερ δὲ παντὸς σώματος ἐλέγομεν μέρος εἶναι σῶμα καὶ πάσης ἐπιφανείας ἐπιφάνειαν καὶ πάσης γραμμῆς γραμμὴν καὶ παντὸς τόπου τόπον καὶ παντὸς χρόνου χρόνον, οὕτως καὶ πάσης κινήσεως κίνησιν εἶναι ῥητέον καὶ πάσης σχέσεως σχέσιν κατὰ τὴν αὐτὴν ἀναλογίαν.

25

Stob. ecl. I 18 4 p. 390—394 H.

Τόπον δ' εἶναι ὁ Χρύσιππος ἀπεφαίνετο τὸ κατεχόμενον δι' ὅλου ὑπὸ ὄντος ἢ τὸ οἷόν ⟨τε⟩ κατέχεσθαι ὑπὸ ὄντος καὶ δι' ὅλου κατεχόμενον εἴτε ὑπὸ τινὸς ⟨εἴτε⟩ ὑπὸ τινῶν. ἐὰν δὲ τοῦ οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος τὶ μὲν κατέχηται, τὶ δὲ μή, τὸ ὅλον ⟨οὔτε⟩ κενὸν ἔσεσθαι οὔτε τόπον, ἕτερον δέ τι οὐκ ὠνομασμένον· τὸ μὲν γὰρ κενὸν τοῖς κενοῖς ἀγγείοις λέγεσθαι παραπλησίως, τὸν δὲ τόπον τοῖς πλήρεσι· χώραν δὲ πότερον τὸ μεῖζον οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος καὶ οἷον μεῖζον ἀγγεῖον σώματος ἢ τὸ χωροῦν μεῖζον σῶμα; τὸ μὲν οὖν κενὸν ἄπειρον εἶναι λέγεσθαι· τὸ γὰρ ἐκτὸς τοῦ κόσμου τοιοῦτ' εἶναι· τὸν δὲ τόπον πεπερασμένον διὰ τὸ μηδὲν σῶμα ἄπειρον εἶναι. καθάπερ δὲ τὸ σωματικὸν πεπερασμένον εἶναι, οὕτως τὸ ἀσώματον ἄπειρον· ὅ τε γὰρ χρόνος ἄπειρος καὶ τὸ κενόν. ὥσπερ γὰρ

---

7 τοῖς delevi || 8 τοιοῦτον cod. August. num ⟨κατὰ⟩ τὸ αὐτό? cf. p. 459, 14 || 9 ἔγκυκλον A: corr. Heeren || 11 ἀσώματον vix sanum. an τὸν αὐτὸν? || καὶ ἅμα F: ἢ ἅμα C || 14 οὖν τυγχάνειν A: corr. Meineke || fortasse λέγομεν cf. p. 461, 11

18 de fr. 25 dixi Prol. p. 73 sqq. II IV VI VII X || 19 addidi τε cf. v. 20 et Sextus Emp. Pyrrh. Hyp. III 124. οἱ Στωικοὶ φασι κενὸν μὲν εἶναι τὸ οἷόν τε ὑπὸ ὄντος κατέχεσθαι μὴ κατεχόμενον δέ, ἢ διάστημα ἔρημον σώματος, ἢ διάστημα ἀκαθεκτούμενον ὑπὸ σώματος, τόπον δὲ διάστημα ὑπὸ ὄντος κατεχόμενον καὶ ἐξισαζόμενον τῷ κατέχοντι αὐτόν, νῦν ὃν καλοῦντες τὸ σῶμα, χώραν δὲ διάστημα κατὰ μέν τι κατεχόμενον ὑπὸ σώματος κατὰ δέ τι ἀκαθεκτούμενον, ἐνίων χώραν εἰπόντων εἶναι τὸν τόπον τοῦ μεγάλου σώματος || 20 εἴτε addidit Heeren || 21 οὔτε addidit Canterus in latinis || ἔσται οὔτε τόπος A: corr. Usener || 22 κενοῖς αἰτίοις A: corr. Canterus itemque αἴτιον v. 24

τὸ μηδὲν οὐδέν ἐστι πέρας, οὕτως οὐδὲ τοῦ μηδενός, οἷόν ἐστι τὸ κενόν. κατὰ γὰρ τὴν αὐτοῦ ὑπόστασιν ἄπειρόν ἐστι, περατοῦται δ' αὖ τοῦτο ἐκπληρούμενον· τοῦ δὲ πληροῦντος ἀρθέντος οὐκ ἔστιν αὐτοῦ νοῆσαι πέρας.

26

Stob. ecl. I 8 40 42 p. 254. 256—262 H.

Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα, τοῦτο δὲ καὶ μέτρον καὶ κριτήριον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει * * * κατὰ τοῦτον δὲ γίνεσθαι τὰ γινόμενα καὶ τὰ περαινόμενα ἅπαντα καὶ τὰ ὄντα εἶναι.

Ἀπολλόδωρος δ' ἐν τῇ Φυσικῇ τέχνῃ οὕτως ὁρίζεται τὸν χρόνον· χρόνος δ' ἐστὶ τῆς τοῦ κόσμου κινήσεως διάστημα, οὗτος δ' ἐστὶν ἄπειρος ὡς ὁ πᾶς ἀριθμὸς ἄπειρος λέγεται εἶναι· τὸ μὲν γάρ ἐστιν αὐτοῦ παρεληλυθὸς τὸ δὲ ἐνεστηκὸς τὸ δὲ μέλλον. ἐνεστάναι δὲ τὸν πάντα χρόνον, ὡς τὸν ἐνιαυτὸν ἐνεστηκέναι λέγομεν, κατὰ μείζονα περιγραφήν, καὶ ὑπάρχειν ὁ πᾶς χρόνος λέγεται οὐδενὸς αὐτοῦ τῶν μερῶν ὑπάρχοντος ἀπαρτιζόντως.

Ποσειδώνιος· τὰ μέν ἐστι κατὰ πᾶν ἄπειρα, ὡς ὁ σύμπας χρόνος· τὰ δὲ κατὰ τί, ὡς ὁ παρεληλυθὼς χρόνος καὶ ὁ μέλλων· κατὰ γὰρ τὸν παρόντα μόνον ἑκάτερος πεπέρανται. τὸν δὲ χρόνον οὕτως ὁρίζεται, διάστημα κινήσεως ἢ μέτρον τάχους τε καὶ βραδύτητος, ὅπως ἔχει τὸ ἐπινοούμενον· ⟨καὶ⟩ κατὰ τὸ πότε τοῦ χρόνου τὸν μὲν εἶναι παρεληλυθότα, τὸν δὲ μέλλοντα, τὸν δὲ παρόντα, ὃς ἔκ τινος μέρους τοῦ παρεληλυθότος καὶ τοῦ μέλλοντος περὶ τὸν διορισμὸν αὐτὸν συνέστηκε· τὸν δὲ διορισμὸν σημειώδη εἶναι. τὸ δὲ νῦν καὶ τὰ ὅμοια ἐν πλάτει χρόνον καὶ οὐχὶ κατ' ἀπαρτισμὸν νοεῖσθαι. λέγεσθαι δὲ τὸ νῦν καὶ κατὰ τὸν ἐλάχιστον πρὸς αἴσθησιν χρόνον περὶ τὸν διορισμὸν τοῦ μέλλοντος καὶ παρεληλυθότος συνιστάμενον.

Ὁ δὲ Χρύσιππος χρόνον εἶναι κινήσεως διάστημα, καθ' ὃ ποτὲ λέγεται μέτρον τάχους τε καὶ βραδύτητος, ἢ τὸ παρακολουθοῦν διάστημα τῇ τοῦ κόσμου κινήσει· καὶ κατὰ μὲν τὸν χρόνον κινεῖσθαί τε ἅπαντα καὶ εἶναι· εἰ μὴ ἄρα διττὸς λέγεται ὁ χρόνος, καθάπερ ἥ τε γῆ καὶ ἡ θάλαττα καὶ τὸ κενὸν τά τε ὅλα καὶ τὰ μέρη τὰ αὐτῶν. ὥσπερ δὲ τὸ κενὸν πᾶν ἄπειρον εἶναι πάντῃ, καὶ τὸν χρόνον πάντα ἄπειρον εἶναι ἐφ' ἑκάτερα· καὶ γὰρ τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα ἄπειρον εἶναι. ἐκφανέστατα δὲ τοῦτο λέγει, ὅτι οὐθεὶς ὅλως ἐνίσταται χρόνος· ἐπεὶ γὰρ εἰς ἄπειρον ἡ τομὴ τῶν συνεχόντων ἐστί, κατὰ τὴν διαίρεσιν ταύτην καὶ πᾶς χρόνος εἰς ἄπειρον ἔχει τὴν τομήν· ὥστε μηθένα κατ' ἀπαρτισμὸν ἐνεστάναι χρόνον, ἀλλὰ κατὰ πλάτος λέγεσθαι. μόνον δὲ ὑπάρχειν φησὶ τὸν ἐνεστῶτα, τὸν

1 οὐδὲ ἓν F: ἓν (οὐδὲ om.) C || οὕτως δὲ A: corr. Usener. οὕτως καὶ Vat. et Aug. || 2 τὴν αὐτοῦ vulgo: correxi

4 de fr. 26 cf. Prol. p. 73 sqq. I VI VII X || lemmata Ζήνωνος Ἀπολλοδώρου Ποσειδωνίου Χρυσίππου in marg. iterata sunt. post εἶναι v. 6 interponitur Hermae locus || 5 post ἔχει hiat oratio cf. v. 16 || 12 ἀπαρτίζοντος A: corr. Heeren || 15 ἑκατέροις πεπέρασται A: correxi || 16 καί πως [καὶ πῶς C] ἔχει τὸν ἐπινοούμενον A: corr. Heeren || καὶ addidi || 19 χρόνου A: corr. Usener. seclusit Heeren || 23 καθ' ὃν A: corr. Heeren || 24 idem repetitur a Stobaeo p. 250 H. post Aët. I 22 2 μέτρον βραδύτητος ἢ τάχους εἶπε Χρύσιππος || 29 ἐκφανέστατα A: ἐμφανέστατα cod. Aug. || ὅλος A: corr. cod. Aug. || 32 φησὶ C: φασὶ F

δὲ παρῳχημένον καὶ τὸν μέλλοντα ὑφεστάναι μέν, ὑπάρχειν δὲ οὐδαμῶς, εἰ μὴ ὡς καὶ κατηγορήματα ὑπάρχειν λέγεται μόνα τὰ συμβεβηκότα, οἷον τὸ περιπατεῖν ὑπάρχει μοι ὅτε περιπατῶ, ὅτε δὲ κατακέκλιμαι ἢ κάθημαι οὐχ ὑπάρχει . . .

. . . . . .

Ἔαρ δὲ ἔτους ὥραν κεκραμένην ἐκ χειμῶνος ἀπολήγοντος καὶ θέρους ἀρχομένου, ἢ τὴν μετὰ χειμῶνα ὥραν πρὸ θέρους. θέρος δὲ ὥραν ἔτους τὴν μάλιστ' ὑφ' ἡλίου διακεκαυμένην. μετόπωρον δὲ ὥραν ἔτους τὴν μετὰ θέρος μὲν πρὸ χειμῶνος δέ, κεκραμένην. χειμῶνα δὲ ὥραν ἔτους τὴν μάλιστα κατεψυγμένην, ἢ τὸν περὶ γῆν ἀέρα κατεψυγμένον. γίνεσθαι δὲ ἰσημερίας δύο καθ' ἕκαστον ἐνιαυτὸν καὶ τροπὰς δύο· ἰσημερίας μὲν ὅταν ἡ νὺξ καὶ ἡ ἡμέρα ἴσαι ὦσι, τούτων δὲ τὴν μὲν ἔαρι γίνεσθαι, τὴν δὲ μετοπώρῳ· τῶν δὲ τροπῶν τὰς μὲν θέρους, τὰς δὲ χειμῶνος.

27

Stob. ecl. I 17 et 20 7 p. 432—438 H.

Ποσειδώνιος δὲ φθορὰς καὶ γενέσεις τέτταρας εἶναί φησιν ἐκ τῶν ὄντων εἰς τὰ ὄντα γιγνομένας. τὴν μὲν γὰρ ἐκ τῶν οὐκ ὄντων καὶ τὴν εἰς ⟨τὰ⟩ οὐκ ὄντα, καθάπερ εἴπομεν πρόσθεν, ἀπέγνωσαν ἀνύπαρκτον οὖσαν. τῶν δ' εἰς ⟨τὰ⟩ ὄντα γινομένων μεταβολῶν τὴν μὲν εἶναι κατὰ διαίρεσιν, τὴν δὲ κατ' ἀλλοίωσιν, τὴν δὲ κατὰ σύγχυσιν, τὴν δ' ἐξ ὅλων, λεγομένην δὲ κατ' ἀνάλυσιν. τούτων δὲ τὴν κατ' ἀλλοίωσιν περὶ τὴν οὐσίαν γίγνεσθαι, τὰς δὲ ἄλλας τρεῖς περὶ τοὺς ποιοὺς λεγομένους τοὺς ἐπὶ τῆς οὐσίας γιγνομένους. ἀκολούθως δὲ τούτοις καὶ τὰς γενέσεις συμβαίνειν. τὴν γὰρ οὐσίαν οὔτ' αὔξεσθαι οὔτε μειοῦσθαι κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν, ἀλλὰ μόνον ἀλλοιοῦσθαι, καθάπερ ἐπ' ἀριθμῶν καὶ μέτρων [καὶ] συμβαίνειν. ἐπὶ ⟨δὲ⟩ τῶν ἰδίως ποιῶν οἷον Δίωνος καὶ Θέωνος καὶ αὐξήσεις καὶ μειώσεις γίνεσθαι. διὸ καὶ παραμένειν τὴν ἑκάστου ποιότητα [τὰ] ἀπὸ τῆς γενέσεως μέχρι τῆς ἀναιρέσεως, ⟨ὡς⟩ ἐπὶ τῶν ἀναίρεσιν ἐπιδεχομένων ζῴων καὶ φυτῶν καὶ τῶν τούτοις παραπλησίων. ἐπὶ δὲ τῶν ἰδίως ποιῶν φασι δύο εἶναι τὰ δεκτικὰ μόρια, τὸ μέν τι κατὰ τὴν τῆς οὐσίας ὑπόστασιν, τὸ δέ ⟨τι⟩ κατὰ τὴν τοῦ ποιοῦ. τοῦτο γάρ, ὡς πολλάκις ἐλέγομεν, τὴν αὔξησιν καὶ τὴν μείωσιν ἐπι-

1 ὑφεστάναι F: ἐφεστάναι C sed cf. Chrysippus Plut. d. comm. not. 41 8 p. 1081 F τὸ μὲν παρῳχημένον τοῦ χρόνου καὶ τὸ μέλλον οὐχ ὑπάρχειν ἀλλ' ὑφεστηκέναι, μόνον δὲ ὑπάρχειν τὸ ἐνεστηκός || εἰ μὴ Canterus in latinis: εἰσὶν A || 2 λέγεται μόνον (opp. ὄντως ὑπάρχει) coni. Usener || 4 omisit Stobaeus nonnulla || 7 ἀφ' ἡλίου A: corr. Meineke || 9 τὴν περὶ γῆν ἀέρα κατεψυγμένην A: correxi ex Diog. VII 151 χειμῶνα μὲν εἶναί φασι τὸν ὑπὲρ γῆς [cf. Aët. III 8 1] ἀέρα κατεψυγμένον: Heeren ἢ τῷ περὶ γῆν ἀέρι κατεψυγμένην quod parum distat a priore definitione

13 fr. 27 bis excerptum est: primum c. 17 post fr. 28 tum c. 20 7 inde ab initio usque ad ἀνάλυσιν v. 17. ceterum cf. Prol. p. 73 sq. I II VI || additur Ποσειδωνίου in mrg. || 14 et 15 τὰ addidi || 15 ἀπέσωσαν A c. 20: ἐπέγνωσαν c. 17: correxi. intelleguntur Stoici cf. v. 25. ἀπέγνω ὡσὰν Usener. ἀπέγνωσεν Heeren || 17 δὲ δι' ὅλων Meineke || post λεγομένων om. δὲ C || 20 τὴν δὲ A: corr. Heeren || πρόθεσιν ante Heerenium || 21 καθάπερ — συμβαίνειν post ἀφαίρεσιν ponam || καὶ συμβαίνειν ἐπὶ τῶν ὧδέως A: corr. Heeren || 23 τὰ del. Heeren || 24 ὡς addidit Heeren || 24 ἐπιδεχομένων F: δεχομένων C || 25 φασὶ A cf. ad v. 15. δύο μὲν εἶναί φησι sine causa Heeren || 26 τι post δὲ addidit Heeren || 27 τοῦ ποιητοῦ τὸ γὰρ A: correxit Canterus || λέγομεν A: corr. Meineke

δέχεσθαι· μὴ εἶναι δὲ ταὐτὸν τό τε ποιὸν ἰδίως καὶ τὴν οὐσίαν [δ] ἐξ ἧς ἔστι τοῦτο, μὴ μέντοι γε μηδ' ἕτερον, ἀλλὰ μόνον οὐ ταὐτόν διὰ τὸ καὶ μέρος εἶναι τῆς οὐσίας καὶ τὸν αὐτὸν ἐπέχειν τόπον, τὰ δ' ἕτερα τινῶν λεγόμενα δεῖν καὶ τόπῳ κεχωρίσθαι καὶ μηδ' ἐν μέρει θεωρεῖσθαι.

Τὸ δὲ μὴ εἶναι ταὐτὸ τό τε κατὰ τὸ ἰδίως ποιὸν καὶ τὸ κατὰ τὴν οὐσίαν, δῆλον εἶναί φησιν ὁ Μνήσαρχος· ἀναγκαῖον γὰρ τοῖς αὐτοῖς ταὐτὰ συμβεβηκέναι. εἰ γάρ τις πλάσας ἵππον λόγου χάριν συνθλάσειεν, ἔπειτα κύνα ποιήσειεν, εὐλόγως ἂν ἡμᾶς ἰδόντας εἰπεῖν, ὅτι τοῦτ' οὐκ ἦν πάλαι, νῦν δ' ἐστίν· ὥσθ' ἕτερον εἶναι τὸ ἐπὶ τοῦ ποιοῦ λεγόμενον τό τε [καὶ] ἐπὶ τῆς οὐσίας. καθόλου νομίζειν τοὺς αὐτοὺς ἡμᾶς εἶναι ταῖς οὐσίαις ἀπίθανον εἶναι φαίνεται· πολλάκις γὰρ συμβαίνει τὴν μὲν οὐσίαν ὑπάρχειν πρὸ τῆς γενέσεως εἰ τύχοι τῆς Σωκράτους, τὸν δὲ Σωκράτην μηδέπω ὑπάρχειν, καὶ μετὰ τὴν τοῦ Σωκράτους ἀναίρεσιν ὑπομένειν μὲν τὴν οὐσίαν, αὐτὸν δὲ μηκέτ' εἶναι.

28

Stob. ecl. I 17 p. 374—378 H.

Χρύσιππος δὲ τοιοῦτόν τι διεβεβαιοῦτο· εἶναι τὸ ὂν πνεῦμα κινοῦν ἑαυτὸ πρὸς ἑαυτὸ καὶ ἐξ αὑτοῦ, ἢ πνεῦμα ἑαυτὸ κινοῦν πρόσω καὶ ὀπίσω· πνεῦμα δὲ εἴληπται διὰ τὸ λέγεσθαι αὐτὸ ἀέρα εἶναι κινούμενον· ἀνάλογον δὲ γίνεσθαι καπὶ τοῦ αἰθέρος, ὥστε καὶ εἰς κοινὸν λόγον πεσεῖν αὐτά. ἡ τοιαύτη δὲ κίνησις κατὰ μόνους γίνεται τοὺς νομίζοντας τὴν οὐσίαν πᾶσαν μεταβολὴν ἐπιδέχεσθαι καὶ σύγχυσιν καὶ σύστασιν καὶ σύμμιξιν καὶ σύμφυσιν καὶ τὰ τούτοις παραπλήσια. διαφέρειν γὰρ ἀρέσκει τοῖς ἀπὸ τῆς Στωικῆς αἱρέσεως παράθεσιν μῖξιν κρᾶσιν σύγχυσιν· παράθεσιν μὲν γὰρ εἶναι σωμάτων συναφὴν κατὰ τὰς ἐπιφανείας, ὡς ἐπὶ τῶν σωρῶν ὁρῶμεν, ἐν οἷς πυροί τε καὶ κριθαὶ καὶ φακοὶ καὶ εἴ τινα τούτοις ἄλλα παραπλήσια περιέχεται, καὶ τῶν ἐπὶ τῶν αἰγιαλῶν ψήφων καὶ ἄμμων· μῖξιν δ' εἶναι δύο ἢ καὶ πλειόνων σωμάτων ἀντιπαρέκτασιν δι' ὅλων, ὑπομενουσῶν τῶν συμφυῶν περὶ αὐτὰ ποιοτήτων, ὡς ἐπὶ τοῦ πυρὸς ἔχει καὶ τοῦ πεπυρακτωμένου σιδήρου· ἐπὶ τούτων γὰρ ⟨δι'⟩ ὅλων γίνεσθαι τῶν σωμάτων τὴν ἀντιπαρέκτασιν. ὁμοίως δὲ καπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχει· δι' ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν· ἀρέσκει γὰρ αὐτοῖς σῶμα διὰ σώματος ἀντιπαρήκειν. κρᾶσιν δ' εἶναι λέγουσι δύο ἢ καὶ πλειόνων σωμάτων ὑγρῶν δι' ὅλων ἀντιπαρέκτασιν τῶν περὶ αὐτὰ ποιοτήτων ὑπομενουσῶν. ⟨καὶ⟩ τὴν μὲν μῖξιν καὶ ἐπὶ ξηρῶν γίγνεσθαι σωμάτων, οἷον πυρὸς καὶ σιδήρου ψυχῆς τε καὶ τοῦ περιέχοντος αὐτὴν σώματος, τὴν δὲ κρᾶσιν ἐπὶ μόνων φασὶ γίνεσθαι τῶν ὑγρῶν·

---

1 εἶναί τε A: correxi || δ delevit Heeren || 3 τὴν οὐσίαν A: corr. cod. Vat. || 4 τόπων F || 6 ταῦτα ante Heerenium || 9 τὸ δὲ καὶ A: corr. Heeren qui post καθόλου addit οὖν || 12 τὴν τῆς A: correxi

13 de hoc fr. dixi Prol. p. 73 sqq. I II VI || 16 καπὶ τοῦ scripsi cf. v. 27: κἄπειτα A || 19 χύσιν A: corr. Heeren || 22 σιρῶν coni. Meineke, sed cf. Philo de confus. lingu. 37 p. 433 M. μῖξις μὲν οὖν σωμάτων διαφερόντων ἐστὶν οὐκ ἐν κόσμῳ παράθεσις. ὥσπερ ἂν εἴ τις σωρὸν ποιήσει κριθὰς καὶ πυροὺς καὶ ὀρόβους καὶ ἄλλα τὰ [l. ἄλλ' ἄττα] εἴδη τῶν σπαρτῶν εἰς ταὐτὸν εἰσενεγκών || 26 δι' ὅλων ex v. 24. 27. 29 Meineke: ὅλον C: ὅλου F || 27 ἔχειν probabiliter Usener || 30 καὶ addidit Meineke, οὖν post μὲν Heeren

συνεκφαίνεσθαι γὰρ ἐκ τῆς κράσεως τὴν ἑκάστου τῶν συγκραθέντων ὑγρῶν ποιότητα οἷον οἴνου μέλιτος ὕδατος ὄξους τῶν παραπλησίων. ὅτι δ' ἐπὶ τοιούτων κράσεων διαμένουσιν αἱ ποιότητες τῶν συγκραθέντων, πρόδηλον ἐκ τοῦ πολλάκις ἐξ ἐπιμηχανήσεως ἀποχωρίζεσθαι ταῦτα ἀπ' ἀλλήλων. ἐὰν γοῦν σπόγγον ἠλαιωμένον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει τὸ ὕδωρ τοῦ οἴνου ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν σπόγγον. τὴν δὲ σύγχυσιν δύο ⟨ἢ⟩ καὶ πλειόνων ποιοτήτων περὶ τὰ σώματα μεταβολὴν εἰς ἑτέρας διαφερούσης τούτων ποιότητος γένεσιν, ὡς ἐπὶ τῆς συνθέσεως ἔχει τῶν μύρων καὶ τῶν ἰατρικῶν φαρμάκων.

29

Euseb. P. E. XV 15 1—9

Ὁποίαν δόξαν ἐπάγονται οἱ Στωικοὶ περὶ τοῦ θεοῦ καὶ περὶ συστάσεως τοῦ παντὸς ἀπὸ τῶν Ἀρείου Διδύμου.

Ὅλον δὲ τὸν κόσμον σὺν τοῖς ἑαυτοῦ μέρεσι προσαγορεύουσι θεόν· τοῦτον δὲ ἕνα μόνον εἶναί φασι καὶ πεπερασμένον καὶ ζῷον καὶ ἄϊδιον καὶ θεόν. ἐν γὰρ τούτῳ πάντα περιέχεσθαι τὰ σώματα, κενὸν δὲ μηδὲν ὑπάρχειν ἐν αὐτῷ. τὸ γὰρ 14 ἐκ πάσης τῆς οὐσίας ποιὸν προσαγορεύεσθαι ⟨κόσμον καὶ⟩ τὸ κατὰ τὴν διακό- 2 σμησιν τὴν τοιαύτην διάταξιν ἔχον. διὸ κατὰ μὲν τὴν προτέραν ἀπόδοσιν ἀΐδιον τὸν κόσμον εἶναί φασι, κατὰ δὲ τὴν διακόσμησιν γενητὸν καὶ μεταβλητὸν κατὰ 3 περιόδους ἀπείρους γεγονυίας τε καὶ ἐσομένας. καὶ τὸ μὲν ἐκ τῆς πάσης οὐσίας ποιὸν κόσμον ἀΐδιον εἶναι καὶ θεόν· λέγεσθαι δὲ κόσμον ⟨καὶ⟩ σύστημα ἐξ οὐρανοῦ καὶ ἀέρος καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἐν αὐτοῖς φύσεων· λέγεσθαι δὲ 20 κόσμον καὶ τὸ οἰκητήριον θεῶν καὶ ἀνθρώπων ⟨ἢ τὸν ἐκ θεῶν καὶ ἀνθρώπων⟩ 4 καὶ τῶν ἕνεκα τούτων γενομένων συνεστῶτα. ὃν γὰρ τρόπον πόλις λέγεται διχῶς τό τε οἰκητήριον καὶ τὸ ἐκ τῶν ἐνοικούντων σὺν τοῖς πολίταις σύστημα, οὕτω καὶ ὁ κόσμος οἱονεὶ πόλις ἐστὶν ἐκ θεῶν καὶ ἀνθρώπων συνεστῶσα, τῶν 5 μὲν θεῶν τὴν ἡγεμονίαν ἐχόντων, τῶν δ' ἀνθρώπων ὑποτεταγμένων. κοινωνίαν 25 δ' ὑπάρχειν πρὸς ἀλλήλους διὰ τὸ λόγου μετέχειν, ὃς ἐστι φύσει νόμος· τὰ δ' ἄλλα πάντα γεγονέναι τούτων ἕνεκα. οἷς ἀκολούθως νομιστέον προνοεῖν τῶν ἀνθρώπων τὸν τὰ ὅλα διοικοῦντα θεόν, εὐεργετικὸν ὄντα καὶ χρηστὸν καὶ φιλάν- 6 θρωπον δίκαιόν τε καὶ πάσας ἔχοντα τὰς ἀρετάς. διὸ δὴ καί Ζεὺς λέγεται ὁ

---

1 τῶν κράσεων cod. Vatic. secutus Meineke || 4 οὖν A: corr. Meineke || ἐλαιούμενον A: corr. Meineke. cf. Philo l. c. σπόγγῳ γὰρ ἐλαιωμένῳ [l. ἠλαιωμένῳ] τὸ μὲν ὕδωρ ἀναλαμβάνεσθαι, τὸν δὲ οἶνον ὑπολείπεσθαι || 6 ἢ ex p. 463, 29 add. Meineke || 7 ἑτέρας C: ἑτέραν F || 8 φαρμάκων: accuratius Philo l. c. ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε

9 titulum capitis praefixi ex capitum indice Eusebiano. de forma cf. Prol. p. 73 sq. I II IV. quod in Eus. XV 14 praecedit caput περὶ τῆς τῶν Στωικῶν φιλοσοφίας ὅπως τε ὁ Ζήνων τὸν περὶ ἀρχῶν ἀπεδίδου λόγον. ἀπὸ τοῦ ζ' περὶ φιλοσοφίας Ἀριστοκλέους Ario Didymo adscribit Wyttenbach lexic. Plutarch. II 354. sed obstat indicis accurata adnotatio || 14 καὶ addidit Heine coll. Diog. VII 137. 138. praefixi κόσμον || 18 καὶ ante σύστημα add. Heine. cf. Diog. l. c. et Diodorus ap. Achill. p. 129 B [Prol. p. 20] || 20 quae homoeoteleuto interciderant ex § 4 conlatis Diogenis et Diodori locis citatis [Prol. p. 20, n. 2. 3] restitui cf. fr. 31 || 21 συνεστῶτα libri, quod editorum inscitia vulgo omittitur

κόσμος, ἐπειδὴ τοῦ ζῆν αἴτιος ἡμῖν ἐστι. καθ' ὅσον δὲ εἰρομένῳ λόγῳ πάντα διοικεῖ ἀπαραβάτως ἐξ ἀιδίου, προσονομάζεσθαι εἱμαρμένην· Ἀδράστειαν δέ, ὅτι οὐδὲν ἔστιν αὐτὸν ἀποδιδράσκειν· πρόνοιαν δ', ὅτι πρὸς τὸ χρήσιμον οἰκονομεῖ ἕκαστα.

Ἡγεμονικὸν δὲ τοῦ κόσμου Κλεάνθει μὲν ἤρεσε τὸν ἥλιον εἶναι διὰ τὸ 7 μέγιστον τῶν ἄστρων ὑπάρχειν καὶ πλεῖστα συμβάλλεσθαι πρὸς τὴν τῶν ὅλων διοίκησιν, ἡμέραν καὶ ἐνιαυτὸν ποιοῦντα καὶ τὰς ἄλλας ὥρας. τισὶ δὲ τῶν 8 ἀπὸ τῆς αἱρέσεως ἔδοξε γῆν τὸ ἡγεμονικὸν εἶναι τοῦ κόσμου. Χρυσίππῳ δὲ τὸν αἰθέρα τὸν καθαρώτατον καὶ εἰλικρινέστατον ἅτε πάντων εὐκινητότατον ὄντα καὶ τὴν ὅλην περιάγοντα τοῦ κόσμου φοράν.

Ταῦτα μὲν οὖν ἀπὸ τῆς Ἐπιτομῆς Ἀρείου Διδύμου προκείσθω. 9

30

Stob. ecl. I 1 [2] 26 p. 48 H.

Χρυσίππου. Ζεὺς μὲν οὖν φαίνεται ὠνομάσθαι ἀπὸ τοῦ πᾶσι δεδωκέναι τὸ ζῆν· Δία δὲ αὐτὸν λέγουσιν, ὅτι πάντων ἐστὶν αἴτιος καὶ δι' αὐτὸν πάντα.

31

Stob. ecl. I 21 5 p. 444—448 H.

Κόσμον δ' εἶναί φησιν ὁ Χρύσιππος σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων ἢ τὸ ἐκ θεῶν καὶ ἀνθρώπων σύστημα καὶ ἐκ τῶν ἕνεκα τούτων γεγονότων. λέγεται δ' ἑτέρως κόσμος ὁ θεός, καθ' ὃν ἡ διακόσμησις γίνεται καὶ τελειοῦται· τοῦ δὲ κατὰ τὴν διακόσμησιν λεγομένου κόσμου τὸ μὲν εἶναι περιφερόμενον περὶ τὸ μέσον, τὸ δ' ὑπομένον· περιφερόμενον μὲν τὸν αἰθέρα, ὑπομένον δὲ τὴν γῆν καὶ τὰ ἐπ' αὐτῆς ὑγρὰ καὶ τὸν ἀέρα. τὸ γὰρ τῆς πάσης οὐσίας πυκνότατον ὑπέρεισμα πάντων εἶναι κατὰ φύσιν, ὅνπερ τρόπον ἐν ζῴῳ τὰ ὀστέα, τοῦτο δὲ καλεῖσθαι γῆν. περὶ δὲ ταύτην τὸ ὕδωρ περικεχύσθαι σφαιρικῶς, ὁμαλωτέραν τὴν ἰσχὺν διειληχός. τῆς γὰρ γῆς ἐξοχάς τινας ἐχούσης ἀνωμάλους διὰ τοῦ ὕδατος ἐς ὕψος ἀνηκούσας, ταύτας μὲν νήσους καλεῖσθαι, τούτων δὲ τὰς ἐπὶ πλεῖον διηκούσας ἠπείρους προσηγορεῦσθαι ὑπ' ἀγνοίας τοῦ περιέχεσθαι καὶ ταύτας πελάγεσι μεγάλοις. ἀπὸ δὲ τοῦ ὕδατος τὸν ἀέρα ἐξῆφθαι καθάπερ ἐξα-

---

3 οὐδ' ἔστιν CFG || 7 τισὶ κτλ. mirum est Posidonii sententiam (Laert. VII 139) non recenseri. sed fortasse γῆν v. 8 errore pro οὐρανόν positum || τῶν ἀπὸ τῆς αἱρέσεως notandum, quia ex Stoicorum sectae uberiore disputatione ea excerpta esse inde probatur cf. p. 458, 13. alioqui τῆς Στωικῆς αἱρέσεως vel τῆς τούτων αἱρέσεως dicendum erat.

12 huc rettuli propter affinitatem cum fr. 29 p. 464, 28 cf. Prol. p. 74 v

14 haec Chrysippi opinio conferenda est cum generaliore Stoicorum (fr. 29) ex Posidonio repetenda. ceterum simillimum est [Arist.] de mund. c. 2 cf. Prol. p. 77. de forma cf. p. 73 sq. I II IV X || 16 δ' ἕτερος F: δεύτερος C: correxi cf. [Arist.] d. mund. 2 p. 391 b 10 || 18 μὲν τὸν Canter: καὶ τὸν A || 22 τὴν χύσιν Usener. num τὴν φύσιν? || 23 ταύτας δὲ νήσους A: corr. Meineke. τὰς μὲν—τούτων, τὰς δὲ Usener

τμισθέντα καὶ περιχεχύσθαι σφαιρικῶς, ἐκ δὲ τούτου τὸν αἰθέρα ἀραιότατον ὄντα καὶ εἰλικρινέστατον. τὸν μὲν οὖν κατὰ τὴν διακόσμησιν λεγόμενον κόσμον εἰς ταύτας διακεκρίσθαι τὰς φύσεις, τὸ δὲ περιφερόμενον αὐτῷ ἐγκυκλίως αἰθέρα εἶναι, ἐν ᾧ τὰ ἄστρα καθίδρυται τά τε ἀπλανῆ καὶ τὰ πλανώμενα, θεῖα τὴν φύσιν ὄντα καὶ ἔμψυχα καὶ διοικούμενα κατὰ τὴν πρόνοιαν. τῶν μὲν οὖν ἀπλανῶν ἄστρων ἀκατάληπτον εἶναι τὸ πλῆθος, τὰ δὲ πλανώμενα ἑπτὰ τὸν ἀριθμὸν εἶναι· πάντα δὲ τὰ πλανώμενα ταπεινότερα τῶν ἀπλανῶν. τετάχθαι δὲ τὰ μὲν ἀπλανῆ ἐπὶ μιᾶς ἐπιφανείας, ὡς καὶ ὁρᾶται· τὰ δὲ πλανώμενα ἐπ' ἄλλης καὶ ἄλλης σφαίρας· περιέχεσθαι δὲ πάσας τὰς τῶν πλανωμένων ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας. τῶν δὲ πλανωμένων ὑψηλοτάτην εἶναι μετὰ τὴν ⟨τῶν⟩ ἀπλανῶν τὴν τοῦ Κρόνου, μετὰ δὲ ταύτην τὴν τοῦ Διός, εἶτα τὴν τοῦ Ἄρεος, ἐφεξῆς δὲ τὴν τοῦ Ἑρμοῦ, καὶ μετ' αὐτὴν τὴν τῆς Ἀφροδίτης, εἶτα τὴν τοῦ ἡλίου, ἐπὶ πᾶσι δὲ τὴν τῆς σελήνης πλησιάζουσαν τῷ ἀέρι. διὸ καὶ ἀερωδεστέραν φαίνεσθαι καὶ μάλιστα διατείνειν τὴν ἀπ' αὐτῆς δύναμιν εἰς τὰ περίγεια. ὑπὸ δὲ τὴν σελήνην τὴν τοῦ ἢ ὑπ' αὐτοῦ φερομένου ἀέρος, εἶτα τὴν ⟨τοῦ⟩ ὕδατος, τελευταίαν δὲ τὴν τῆς γῆς περὶ τὸ μέσον σημεῖον τοῦ κόσμου κειμένης, ὃ δὴ τοῦ παντός ἐστι κάτω, ἄνω δὲ τὸ ἀπ' αὐτοῦ εἰς τὸ κύκλῳ πάντῃ.

32

Stob. ecl. I 24 p. 518. 520 H.

Ἄστρον δὲ εἶναί φησιν ὁ Ποσειδώνιος σῶμα θεῖον ἐξ αἰθέρος συνεστηκός, λαμπρὸν καὶ πυρῶδες, οὐδέποτε στάσιν ἔχον, ἀλλ' αἰεὶ φερόμενον ἐγκυκλίως· ἰδίως δὲ τὸν ἥλιον καὶ τὴν σελήνην ἄστρα λέγεσθαι· διαφέρειν δὲ ἀστέρα ἄστρου· εἰ μὲν γάρ τίς ἐστιν ἀστήρ, καὶ ἄστρον ὀνομασθήσεται δεόντως, οὐ μὴν ἀνάπαλιν.

Ἀνατολὴν δ' εἶναί φησιν ὁ Χρύσιππος ἐν ταῖς Φυσικαῖς τέχναις ὑπεροχὴν ἄστρου ὑπὲρ γῆς, δύσιν δὲ κρύψιν ἄστρου ὑπὸ γῆν. γίνεσθαι δ' ἅμα τῶν αὐτῶν ἀνατολὴν καὶ δύσιν πρὸς ἄλλους τε καὶ ἄλλους. ἐπιτολὴν δ' ἄστρου ἅμα ἡλίῳ ἀνατολήν, δύσιν δὲ τὴν ἅμα ἡλίῳ δύσιν. διχῶς γὰρ λέγεσθαι δύσιν· τὴν μὲν κατὰ τὴν ἀνατολήν, τὴν δὲ κατὰ τὴν ἐπιτολήν. κυνὸς δ' ἐπιτολὴν ἅμα ἡλίῳ κυνὸς ἀνατολήν, δύσιν δὲ κυνὸς ἅμα ἡλίῳ κυνὸς ἀπόκρυψιν ὑπὸ γῆν. τὸν δ' ὅμοιον λόγον εἶναι καὶ ἐπὶ τῆς πλειάδος.

---

1 σφαιρικῶς post ἐξατμισθέντα A: transposui, nisi tamen ex p. 465, 21 insertum est || ὄντα καὶ Meineke: τε καὶ A || 3 αὐτοῦ F: αὐτοὺς C: corr. Meineke, qui alias ὑπερφερόμενον αὐτοῦ scripserat || 4 καθιδρῦσθαι Usener || 6 ἀστέρων A: corr. Meineke || 8 τὰ δὲ πλανώμενα ἑπτὰ τὸν ἀριθμὸν εἶναι πάντα δὲ τὰ πλανώμενα om. FC: accesserunt ex cod. Parisino, sed is perverso loco verba olim omissa ante θεῖα v. 4 inculcavit. transposui. violentius Meineke Parisini ordine servato ἑπτὰ τὸν ἀριθμὸν εἶναι et ταπεινότερα τῶν ἀπλανῶν vices mutare iubebat || 8 ἀπ' ἄλλης A: corr. Heeren || 9 φορᾶς A: correxi || 10 τῶν addidit Meineke || 15 ὑπ' αὐτοῦ φερομένου non intellego. suspicor ἐπὶ ταὐτοῦ φερομένου ut oppositus sit ὁ περιφερόμενος αἰθήρ supra p. 465, 18 cf. Plut. de Stoic. repugn. 42 p. 1053 E || τοῦ addidi || 16 κειμένην A: corr. Heeren

18 de fr. 32 cf. Prol. p. 73 sq. II IV VI. de Posidonii definitione cf. Prol. p. 19 || 23 δὲ καὶ κρύψιν C: δὲ κρίσιν F || 27 δύσιν δὲ κυνὸς sic F: ἀνατολὴν — κυνὸς om. C || εἰς γῆν A: corr. Meineke

Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ Περὶ θεῶν Πυθαγορείαν εἶναι τὴν περὶ τοῦ τὸν αὐτὸν εἶναι φωσφόρον τε καὶ ἕσπερον δόξαν.

33

Stob. ecl. I 25 3 p. 538. 540 H.

Ζήνων τὸν ἥλιόν φησι καὶ τὴν σελήνην καὶ τῶν ἄλλων ἄστρων ἕκαστον εἶναι νοερὸν καὶ φρόνιμον, πύρινον ⟨δὲ⟩ πυρὸς τεχνικοῦ. δύο γὰρ γένη πυρός, τὸ μὲν ἄτεχνον καὶ μεταβάλλον εἰς ἑαυτὸ τὴν τροφήν, τὸ δὲ τεχνικὸν αὐξητικόν τε καὶ τηρητικόν, οἷον ἐν τοῖς φυτοῖς ἐστι καὶ ζῴοις, ᾧ δὴ φύσις ἐστὶ καὶ ψυχή· τοιούτου δὴ πυρὸς εἶναι τὴν τῶν ἄστρων οὐσίαν. τὸν δὲ ἥλιον καὶ τὴν σελήνην δύο φορὰς φέρεσθαι, τὴν μὲν ὑπὸ τοῦ κόσμου ἀπ' ἀνατολῆς ἐπ' ἀνατολήν, τὴν δὲ ἐναντίαν τῷ κόσμῳ, ζῳδίου ἐκ ζῳδίου μεταβαίνοντας. τὰς δ' ἐκλείψεις τούτων γίγνεσθαι διαφόρως, ἡλίου μὲν περὶ τὰς συνόδους, σελήνης δὲ περὶ τὰς πανσελήνους. γίνεσθαι δ' ἐπ' ἀμφοτέρων τὰς ἐκλείψεις καὶ μείζους καὶ ἐλάττους.

Χρύσιππος τὸν ἥλιον εἶναι τὸ ἀθροισθὲν ἔξαμμα νοερὸν ἐκ τοῦ τῆς θαλάσσης ἀναθυμιάματος, σφαιροειδῆ δὲ εἶναι τῷ σχήματι.

34

Stob. ecl. I 26

Ζήνων τὴν σελήνην ἔφησεν ἄστρον νοερὸν καὶ φρόνιμον, πύρινον δὲ πυρὸς τεχνικοῦ.

Κλεάνθης πυροειδῆ τὴν σελήνην, πιλοειδῆ δὲ τῷ σχήματι.

Χρύσιππος τὸ ἀθροισθὲν ἔξαμμα μετὰ τὸν ἥλιον νοερὸν ἐκ τοῦ ἀπὸ τῶν ποτίμων ὑδάτων ἀναθυμιάματος· διὸ καὶ τούτοις τρέφεσθαι. σφαιροειδῆ δὲ εἶναι. μῆνα δὲ καλεῖσθαι τὴν τοῦ δρόμου αὐτῆς περίοδον. μείς δ' ἐστί, φησί, τὸ φαινόμενον τῆς σελήνης πρὸς ἡμᾶς, ἡ σελήνη μέρος ἔχουσα φαινόμενον πρὸς ἡμᾶς.

---

1 cf. Muelleri FHG I 428 || τὸ περὶ A: corr. Heeren. τὸ delevit Heyne

3 fr. 33 cf. Prol. p. 73 sq. VI VII || 4 καὶ ante πύρινον addi iussit Heeren || πύρινον πῦρ ὡς τεχνικοῦ C: πῦρ ὡς τεχνικοῦ F: corr. Heeren, inserui δὲ ex v. 14, unde simul Bakei Posidon. p. 66 dubitatio de πύρινον tollitur || 6 διατηρητικόν Usener || 9 μεταβαίνοντας ζῴδιον insolenter dictum. Theon in simili re addit εἰς ut e. g. astr. p. 204 M. εἰς τὰ προηγούμενα τῶν ζῳδίων μεταβαίνει. Vita Pyth. apud Phot. p. 440a13 τὸν ἥλιον ... μεταβαίνειν ἀπὸ ζῳδίου ἐπὶ ζῴδιον || 10 διαφόρους A: corr. Usener || 11 μείζους A: corr. cod. Aug. || 13 sequitur Εὐριπίδης πῦρ εἶναι τὸν ἥλιον. λέγει γοῦν ἐν Φοινίσσαις 'ἥλιε θοαῖς ἵπποισιν εἰλίσσων φλόγα', ἐν δὲ Φαέθοντι 'θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς'. quod fortasse ex Chrysippo transtulerat Arius, ex Ario Stobaeus cf. Prol. p. 76

14 sequitur Zenonis et Cleanthis opinio post Plac. II 25 7 Chrysippi post II 25 5, ubi cum Posidonio Stoici plerique comprehenduntur: μικτὴν ἐκ πυρὸς καὶ ἀέρος [εἶναι τὴν σελήνην] quod ab Ariano fr. 33 discrepat, cui est huius simillima forma cf. Prol. p. 74 VII || 16 πηλοειδῆ A: corr. Heeren. κωνοειδῆ frustra suasit Krische || 19 σελήνην καὶ μῆνα idem dicit Chrysippus ap. Philodem. d. piet. p. 79 G. || 20 an ἔχουσα ⟨τὸ⟩?

35

Stob. ecl. I 31 [I. Dam. N 6 p. 153, 30 M.]

Χρύσιππος ἔφησε τὴν ὁμίχλην νέφος διαχεχυμένον ἢ ἀέρα πάχος ἔχοντα, δρόσον δὲ ἐξ ὁμίχλης καταφερόμενον ὑγρόν, ὑετὸν δὲ φορὰν ὕδατος ἐκ νεφῶν, ὄμβρον δὲ λάβρου ὕδατος καὶ πολλοῦ ἐκ νεφῶν φοράν, χάλαζαν δὲ ὑετοῦ πεπηγότος διάθρυψιν, χιόνα δὲ νέφος πεπηγὸς ἢ νέφους πῆξιν, τὸ δ' ἐπὶ τῆς γῆς πεπηγὸς ὕδωρ κρύσταλλον, πάχνην δὲ δρόσον πεπηγυῖαν.

36

Euseb. P. E. XV 18 1—3

Ὅπως οἱ Στωικοὶ περὶ τῆς τοῦ παντὸς ἐκπυρώσεως δοξάζουσιν.

Ἀρέσκει δὲ τοῖς πρεσβυτάτοις τῶν ἀπὸ τῆς αἱρέσεως ταύτης ἐξαιθεροῦσθαι πάντα κατὰ περιόδους τινὰς τὰς μεγίστας εἰς πῦρ αἰθερῶδες ἀναλυομένων πάντων.

Καὶ ἑξῆς ἐπάγει·

2 Ἐκ τούτων δὲ δῆλον, ὅτι Χρύσιππος ἐπὶ τῆς οὐσίας οὐ ταύτην παρείληφε τὴν σύγχυσιν (ἀδύνατον γάρ), ἀλλὰ τὴν ἀντὶ τῆς μεταβολῆς λεγομένην· οὐ γὰρ ἐπὶ τῆς τοῦ κόσμου κατὰ περιόδους τὰς μεγίστας γινομένης φθορᾶς κυρίως παραλαμβάνουσι τὴν φθορὰν οἱ τὴν εἰς πῦρ ἀνάλυσιν τῶν ὅλων δογματίζοντες, ἣν δὴ καλοῦσιν ἐκπύρωσιν· ἀλλ' ἀντὶ τῆς κατὰ φύσιν μεταβολῆς χρῶνται τῇ προσηγορίᾳ τῆς φθορᾶς. 3 ἀρέσκει γὰρ τοῖς Στωικοῖς φιλοσόφοις τὴν ὅλην οὐσίαν εἰς πῦρ μεταβάλλειν οἷον εἰς σπέρμα, καὶ πάλιν ἐκ τούτου αὐτὴν ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα τὸ πρότερον ἦν. καὶ τοῦτο τὸ δόγμα

Stob. I 20 1 p. 414. 416 H.

Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα πρότερον ἦν.

1 de fr. 35 cf. Prol. p. 74 VI. v. Laertius VII 153 || 5 κρύσταλλ superscr. o D

6 de lemmate cf. Prol. p. 47 [1], ubi Eusebium erroris immerito incusavi. nam praestans ille codex C, quem inspexi, f. 347[r] διὸ̣μου margini iuxta c. 18 initium adscriptum habet. titulum ὅπως — δοξάζουσιν ut fieri solet in codd. praefixi || 13 quae Eusebius his verbis praeteriit, suppleri possunt ex fr. 28 || 19 τῆς μεγίστης libri: recepi vulgatam ante Gaisfordium lectionem cf. v. 10 || 28 αὐτὴν: verum servavit Stob. τοιαύτην

[b] 25 Stob. interposuit inter Plac. I 24 3 et II 4 12. de lemmatis forma dixi Prol. p. 74 [1]. in mrg. (Z)ήνωνος καὶ ἑτέρων et ad p. 469, 7 (Π)αναιτίου στωικοῦ || 27 εἰς τὸ πῦρ Heeren male

τῶν ἀπὸ τῆς αἱρέσεως οἱ πρῶτοι καὶ πρεσβύτατοι προσήκαντο, Ζήνων τε καὶ Κλεάνθης καὶ Χρύσιππος. τὸν μὲν γὰρ τούτου μαθητὴν καὶ διάδοχον τῆς σχολῆς Ζήνωνά φασιν ἐπισχεῖν περὶ τῆς ἐκπυρώσεως τῶν ὅλων.

Παναίτιος πιθανωτέραν εἶναι νομίζει καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀιδιότητα τοῦ κόσμου ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν.

37

Euseb. P. E. XV 19 1—3

Ὅπως δοξάζουσιν οἱ Στωικοὶ περὶ τῆς παλιγγενεσίας τῶν ὅλων.

Ἐπὶ τοσοῦτον δὲ προελθὼν ὁ κοινὸς λόγος καὶ ⟨ἡ⟩ κοινὴ φύσις μείζων καὶ πλείων γενομένη τέλος ἀναξηράνασα πάντα καὶ εἰς ἑαυτὴν ἀναλαβοῦσα ἐν τῇ πάσῃ οὐσίᾳ γίνεται ἐπανελθοῦσα εἰς τὸν πρῶτον ῥηθέντα λόγον καὶ εἰς τὴν ἀνάστασιν ἐκείνην τὴν ποιοῦσαν ἐνιαυτὸν τὸν μέγιστον, καθ' ὃν ἀπ' αὐτῆς μόνης εἰς αὐτὴν πάλιν γίνεται ἡ ἀποκατάστασις. ἐπανελθοῦσα δὲ διὰ τάξιν, ἀφ' οἵας διακοσμεῖν ὡσαύτως ἤρξατο, κατὰ λόγον πάλιν τὴν αὐτὴν διεξαγωγὴν ποιεῖται τῶν τοιούτων περιόδων ἐξ ἀιδίου γινομένων ἀκαταπαύστως. οὔτε γὰρ τῆς οὐσίας ἀρχὴν κἀνάπαυσιν οἷόν τε γίνεσθαι οὔτε τοῦ διοικοῦντος αὐτήν. οὐσίαν τε γὰρ τοῖς γινομένοις ὑφεστάναι δεῖ, πεφυκυῖαν ἀναδέχεσθαι τὰς μεταβολὰς πάσας, καὶ τὸ δημιουργῆσαν ἐξ αὐτῆς. οἷα γὰρ ἐφ' ἡμῶν τίς ἐστι φύσις δημιουργοῦσα τοιούτου τινὸς κατ' ἀνάγκην ὄντος καὶ ἐν τῷ κόσμῳ ἀγενήτου *. γενέσεως γὰρ ἀρχὴν οὐχ οἷόν τε εἶναι ἐπὶ τῆς φύσεως ταύτης. ὃν τρόπον δ' ἀγένητός ἐστι, καὶ ἀναιρεθῆναι ἀδύνατόν ἐστιν αὐτὴν οὔτε αὐτῆς ἐξ αὑτῆς οὔτε ἔξωθέν τινος ἀναιρήσοντος αὐτήν.

38

Stob. I 17 p. 370. 372 H.

Ζήνωνα δὲ οὕτως ἀποφαίνεσθαι διαρρήδην· τοιαύτην δὲ δεήσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν ἐκ τῆς οὐσίας· ὅταν ἐκ πυρὸς τροπὴ εἰς ὕδωρ

---

7 εἶναί φησι coni. Lynden, ἐμφανίζει Usener || 11 fr. 37 cum priore arte cohaeret || ὅπως — ὅλων praefixi cf. ad 468, 6 || 12 ἡ addidi || 14 post γίνεται excidisse aliquid suspicatus est Lipsius. sed cf. Zeller III 1, 140⁶ || 14 κατάστασιν dubitanter coni. Zeller || 16 ἐπανελθεῖν CFG: deest locus in B || 18 τῆς αἰτίας ἀρχὴν καὶ πᾶσιν B: τῆς ἀρχῆς αἰτίαν καὶ πᾶσιν C et ceteri ut videtur: correxi insequentis enuntiati sententia ductus || 19 αὐτὰ vulgo: correxi cf. v. 20 τὸ δημιουργῆσαν ἐξ αὐτῆς || 21 δημιουργῆσον Usener || 22 nisi plura intercidernnt, scribendum videtur ἀγενήτου κἂν τῷ κόσμῳ ἐνδέοι

26 de fr. 38 cf. Prol. p. 73 sq. II VI || ζήνωνα — ἀποφαίνεσθαι F: Ζήνων — ἀποφαίνεται C || 27 ante τὴν addiderim τινὶ || τροπῇ A: unde τραπῇ (deleto γένηται) coniecit Meineke coll. Laert. VII 142 γίνεσθαι δὲ τὸν κόσμον, ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρόν,

δι' ἀέρος γένηται, τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι, [καὶ] ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ, ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίνεσθαι, ἔκ τινος δὲ τοῦ ἀέρος πῦρ ἐξάπτειν· τὴν δὲ μῖξιν ⟨καὶ⟩ κρᾶσιν γίνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ σώματος ὅλου δι' ὅλου τινὸς ἑτέρου διερχομένου.

Κλεάνθης δὲ οὕτω πώς φησιν· ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα τὰ ἐχόμενα ἀποσβέννυσθαι δι' ὅλου. τοῦ δὲ παντὸς ἐξυγρανθέντος τὸ ἔσχατον τοῦ πυρὸς ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου τρέπεσθαι πάλιν εἰς τοὐναντίον, εἶθ' οὕτω τρεπόμενον ἄνω φησὶν αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον καὶ τοιαύτην περίοδον αἰεὶ καὶ διακόσμησιν ποιουμένου τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ τόνον μὴ παύεσθαι. ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύεται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται. καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρμα συνιόντες μίγνυνται καὶ αὖθις διακρίνονται γενομένων τῶν μερῶν, οὕτως ἐξ ἑνός τε πάντα γίνεσθαι καὶ ἐκ πάντων [εἰς] ἓν συγκρίνεσθαι ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου.

39

Euseb. P. E. XV 20 1—7

Ὅπως οἱ αὐτοὶ περὶ ψυχῆς δοξάζουσιν.

Τὸ δὲ σπέρμα φησὶν ὁ Ζήνων εἶναι, ὃ μεθίησιν ἄνθρωπος, πνεῦμα μεθ' ὑγροῦ, ψυχῆς μέρος καὶ ἀπόσπασμα καὶ τοῦ σπέρματος τοῦ τῶν προγόνων κέρασμα καὶ μῖγμα τῶν τῆς ψυχῆς μερῶν συνεληλυθός· ἔχον γὰρ τοὺς λόγους τῷ ὅλῳ τοὺς αὐτοὺς τοῦτο, ὅταν ἀφεθῇ εἰς τὴν μήτραν, συλληφθὲν ὑπ' ἄλλου πνεύματος, μέρος ψυχῆς τῆς τοῦ θήλεος καὶ συμφυὲς γενόμενον, κρυφθέν τε φύει κινούμενον καὶ ἀναρριπιζόμενον ὑπ' ἐκείνου, προσλαμβάνον ἀεὶ [εἰς] τὸ ὑγρὸν καὶ αὐξόμενον ἐξ αὐτοῦ.

2 Καὶ μετὰ βραχέα ἐπιλέγει·

Περὶ δὲ ψυχῆς Κλεάνθης μὲν τὰ Ζήνωνος δόγματα παρατιθέμενος πρὸς

εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαραιωθῇ [sic BF] καὶ τοῦτ' ἐπὶ πλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ, εἶτα κατὰ μῖξιν ἐκ τούτων φυτά τε καὶ ζῷα καὶ τὰ ἄλλα γένη || 1 καὶ delevit Heeren || 2 λεπτυνθέντα δὲ τὸν ἀέρα ci. Usener || 3 ἐξάττειν Meineke. an ἐξάπτεσθαι cf. p. 425,28? || καὶ addidi || 7 ἐξυγρανθέντος cf. Theoph. de lap. 10 || 8 τρεπόμενον C: τρεπομένου F || 9 τοσαύτην A: corr. Meineke || τοῦ — τόνου A: corr. Meineke. de tenore Cleanthis cf. Zeller III 1, 137³ et 108⁴ || 14 γεινομένων F: γινομένων C: γενομένων Meineke || ἑνός τι A: corr. Heeren || 15 εἰς inclusit Meineke cf. Heraclit. ap. [Arist.] d. mund. 5 p. 396ᵇ19

16 addidi titulum ex indice capitum. continuatur fr. 37. excerpsit ex Eus. Theodoret. gr. affect. cur. V 25 [cf. Prol. p. 47 ¹]. Ζήνων δὲ ὁ Κιτιεὺς ὁ τῆσδε τῆς αἱρέσεως ἡγησάμενος τοιάδε περὶ ψυχῆς δοξάζειν τοὺς οἰκείους ἐδίδαξε φοιτητάς· 'τὸν γάρ τοι ἀνθρώπινον θορὸν ὑγρὸν ὄντα καὶ μετέχοντα πνεύματος τῆς ψυχῆς ἔφησεν εἶναι μέρος τε καὶ ἀπόσπασμα καὶ τοῦ τῶν προγόνων σπέρματος κέρασμά τε καὶ μῖγμα ἐξ ἁπάντων τῶν τῆς ψυχῆς μορίων συναθροισθέν.' cf. Herm. Trism. fr. ap. Stob. ecl. I p. 740 H. p. 203, 22 M. || 19 συνεληλυθότος CFG || 21 κρυφθέν CDFG: κρυφέν vulgo: conicio κερασθέν τε φύει cf. Laert. VII 159 Aët. V 13 3. κρύφα ἐπισχύει Usener || 22 εἰς delevi || 23 αὐξόμενον CFG: αὐξάνον vulgo || ἑαυτοῦ vulgo: correxi

σύγκρισιν τὴν πρὸς τοὺς ἄλλους φυσικούς φησιν, ὅτι Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν, καθάπερ Ἡράκλειτος. βουλόμενος γὰρ ἐμφανίσαι, ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτὰς τοῖς ποταμοῖς λέγων οὕτως 'ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται.' ἀναθυμίασιν μὲν οὖν ὁμοίως τῷ Ἡρακλείτῳ τὴν ψυχὴν ἀποφαίνει Ζήνων, αἰσθητικὴν δὲ αὐτὴν εἶναι διὰ τοῦτο λέγει, ὅτι τυποῦσθαί τε δύναται [τὸ μέγεθος] τὸ μέρος τὸ ἡγούμενον αὐτῆς ἀπὸ τῶν ὄντων καὶ ὑπαρχόντων διὰ τῶν αἰσθητηρίων καὶ παραδέχεσθαι τὰς τυπώσεις. ταῦτα γὰρ ἴδια ψυχῆς ἐστι.'

Καὶ μεθ' ἕτερα·

Εἶναι δὲ ψυχὴν ἐν τῷ ὅλῳ φασίν, ὃ καλοῦσιν αἰθέρα καὶ ἀέρα κύκλῳ †περὶ τὴν γῆν καὶ θάλασσαν καὶ ἐκ τούτων ἀναθυμιάσεις· τὰς δὲ λοιπὰς ψυχὰς προσπεφυκέναι ταύτῃ, ὅσαι τε ἐν ζῴοις εἰσὶ καὶ ὅσαι ἐν τῷ περιέχοντι· διαμένειν γὰρ ἐκεῖ τὰς τῶν ἀποθανόντων ψυχάς. ἔνιοι δὲ τὴν μὲν τοῦ ὅλου αἰδιον, τὰς δὲ λοιπὰς συμμίγνυσθαι ἐπὶ τελευτῇ εἰς ἐκείνην. ἔχειν δὲ πᾶσαν ψυχὴν ἡγεμονικόν τι ἐν αὑτῇ, ὃ δὴ ζωὴ καὶ αἴσθησίς ἐστι καὶ ὁρμή.

Καὶ ἔτι μετ' ὀλίγα·

Τὴν δὲ ψυχὴν γενητήν τε καὶ φθαρτὴν λέγουσιν. οὐκ εὐθὺς δὲ τοῦ σώματος ἀπαλλαγεῖσαν φθείρεσθαι, ἀλλ' ἐπιμένειν τινὰς χρόνους καθ' ἑαυτήν· τὴν μὲν τῶν σπουδαίων μέχρι τῆς εἰς πῦρ ἀναλύσεως τῶν πάντων, τὴν δὲ τῶν ἀφρόνων πρὸς ποσούς τινας χρόνους. τὸ δὲ διαμένειν τὰς ψυχὰς οὕτως λέγουσιν, ὅτι διαμένομεν ἡμεῖς ψυχαὶ γενομένοι τοῦ σώματος χωρισθέντες καὶ εἰς ἐλάττω μεταβαλόντες οὐσίαν τὴν τῆς ψυχῆς, τὰς δὲ τῶν ἀφρόνων καὶ ἀλόγων ζῴων ψυχὰς συναπόλλυσθαι τοῖς σώμασι.

Τοιαῦτα καὶ τὰ τῆς Στωικῆς φιλοσοφίας δόγματα ἀπὸ τῶν Ἐπιτομῶν Ἀρείου Διδύμου συνειλεγμένα.

---

2 αἴσθησιν ἢ ἀναθυμίασιν vulgo: corr. Wellmann cf. v. 6 || 3 similitudinis gratia ἕτεραι ἀεὶ exspectes cf. Arist. d. anim. I 2 p. 405ª27, sed cf. Sext. VII 129 || 4 τοῖσι αὐτοῖσι Bywater Heracliti fr. 42, qui extrema καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται Zenoni tribuit Heracliti verba libere citanti et accommodanti || 5 δὲ testantur CDFG || 7 γε δύναται vulgo: correxi || τὸ μέγεθος variam lectionem esse intellexit Vigerus || 8 ὑπαρχόντων cf. Laert. VII 46. Sext. adv. math. VII 402 || num περιέχεσθαι? || 9 ἐστι om. C || 11 cum αἰθέρα et ἀέρα articulum ante γῆν suspectum reddant, corruptis verbis substituo περιέχοντας γῆν καὶ θάλασσαν καὶ ἐκ τούτων ἀναθυμιασθέντας || 13 ὅσαι ἐν τῷ περιέχοντι i. e. mortuorum hominum animae. ad hunc Arii locum spectat Tertulliani de anima c. 55 iocus, quode confidentius indicare debebam Prol. p. 86[1] || 14 γὰρ ἔτι CF: de ceteris non constat: correxi ἐκεῖ i. e. in aere. nam ἄλογα ζῷα cum corpore una animam amittunt cf. v. 23 || 18 Theodoret. l. c. 26 οὗ δὴ χάριν αὐτὴν καὶ φθαρτὴν προσηγόρευσεν. Νουμήνιος δὲ ὁ Πυθαγόρειος [de hoc errore cf. Prol. p. 47[1]] πρὸς τούτους ἀποτεινόμενος ἔφη· τὴν δὲ ψυχὴν γενητήν τε καὶ φθαρτὴν λέγουσιν. οὐκ εὐθὺς δὲ τοῦ σώματος ἀπαλλαγεῖσαν φθείρεσθαι, ἀλλ' ἐπιμένειν τινὰς χρόνους καθ' ἑαυτήν· τὴν μὲν τῶν σπουδαίων μέχρι τῆς εἰς πῦρ ἀναλύσεως τῶν πάντων, τὴν δὲ τῶν ἀφρόνων πρὸς ποιούς τινας χρόνους || 22 γενόμενοι vulgata: γινόμενοι cod. G Gaisford: γενόμεναι CDF || χωρισθέντος libri: correxi || εἰς ἔλαττον DE: οὐκ ἔλαττον CFG || 23 μεταβαλόντος vulgo: correxi || ἀλλοίων CFG

40

Stob. I 12 p. 332 H.

Ζήνωνος. Τὰ ἐννοήματα φασὶ μήτε τινὰ εἶναι μήτε ποιά, ὡσανεὶ δὲ τινὰ καὶ ὡσανεὶ ποιὰ φαντάσματα ψυχῆς· ταῦτα δὲ ὑπὸ τῶν ἀρχαίων ἰδέας προσαγορεύεσθαι. τῶν γὰρ κατὰ τὰ ἐννοήματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας, οἷον ἀνθρώπων ἵππων, κοινότερον εἰπεῖν πάντων τῶν ζῴων καὶ τῶν ἄλλων ὁπόσων λέγουσιν ἰδέας εἶναι. ταύτας δὲ οἱ Στωικοὶ φιλόσοφοι φασὶν ἀνυπάρκτους εἶναι, καὶ τῶν μὲν ἐννοημάτων μετέχειν ἡμᾶς, τῶν δὲ πτώσεων, ἃς δὴ προσηγορίας καλοῦσι, τυγχάνειν

---

1 sequitur post Arii fr. 1 cf. Prol. p. 74 IV V VI || lemma marg. adscripsit F: om. C. fortasse scribendum Ζήνωνος καὶ τῶν ἀπ' αὐτοῦ cf. οἱ Στωικοὶ φιλόσοφοι v. 5 et Aëtii Plac. I 10 4 οἱ ἀπὸ Ζήνωνος Στωικοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας ἔφασαν [minus accurate Ario, sed cf. Syrian. p. 892 b 22 Us.] || φασὶ F: φησὶ C cf. v. 5 et ad p. 462, 15 || 2 ὡσανεί-ποτ A: corr. Iacobs || 8 ἀνθρώπων ἵππων utitur eodem exemplo quo in fr. 1 || 4 εἰπε A: corr. Meineke || 5 ταῦτα A: corr. Meineke cum Zellero || 7 ultima aut vitiosa aut hiulca esse iudicavit Zeller III 1, 71 3. Heeren mire: τῶν δὲ περιπτώσεων — τυγχάνειν ⟨καὶ τὰς ἀλόγους ψυχάς⟩. intellego: *notitiae* [cf. Cic. de fin. III 10 33] *rerum rationi nostrae insitae sunt, nomina fortuito obveniunt.* paulo aliter Prantl Gesch. d. Log. I 420 63

ΘΕΟΦΡΑΣΤΟΥ ΦΥΣΙΚΩΝ ΔΟΞΩΝ ΒΙΒΛΙΩΝ ΙΙΙ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ

Simplicii in Aristot. physic. codicum sigla cf. Prol. p. 104[1]

D	Laur. 85 2 membr. s. XI vel XII	ab H. Vitellio conlati
E	Marcian. 229 bombyc. s. XIII	
E[a]	eiusdem codicis ff. 402[r]—407[v] 416[r]—418[v], ubi iterantur ff. 5[a]46—10[a]18, varietas a Vitellio notata	
B	Laur. 85 1 bombyc. s. XIV, Brandisio O[ceanus]. huius non plenam adnotare licuit discrepantiam	
F	Marc. 227 bombyc. XII vel XIII a Vitellio conlatus	
H	Ambros. E 4 inf. chart. s. XV ad nonnullos locos inspectus	
a	Aldina Fr. Asulani editio Venet. 1526	

Diductis litteris Theophrastea a citantium vel explicantium scriptorum verbis distinxi cf. Prol. p. 104

ΕΚ ΤΩΝ ΘΕΟΦΡΑΣΤΟΥ ΦΥΣΙΚΩΝ ΔΟΞΩΝ

1

Simplic. in phys. f. 6r 18—31.

Τῶν δὲ μίαν καὶ κινουμένην λεγόντων τὴν ἀρχήν, οὓς καὶ φυσικοὺς ἰδίως καλεῖ (Aristoteles), οἱ μὲν πεπερασμένην αὐτήν φασιν, ὥσπερ Θαλῆς μὲν Ἐξαμύου Μιλήσιος καὶ Ἵππων, ὃς δοκεῖ καὶ ἄθεος γεγονέναι, ὕδωρ ἔλεγον τὴν ἀρχὴν ἐκ τῶν φαινομένων κατὰ τὴν αἴσθησιν εἰς τοῦτο προαχθέντες· καὶ γὰρ τὸ θερμὸν τῷ ὑγρῷ ζῇ καὶ τὰ νεκρούμενα ξηραίνεται καὶ τὰ σπέρματα πάντων ὑγρὰ καὶ ἡ τροφὴ πᾶσα χυλώδης· ἐξ οὗ δέ ἐστιν ἕκαστα, τούτῳ καὶ τρέφεσθαι πέφυκε· τὸ δὲ ὕδωρ ἀρχὴ τῆς ὑγρᾶς φύσεώς ἐστι καὶ συνεκτικὸν πάντων· διὸ πάντων ἀρχὴν ὑπέλαβον εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήναντο κεῖσθαι. Θαλῆς δὲ πρῶτος παραδέδοται τὴν περὶ φύσεως ἱστορίαν τοῖς Ἕλλησιν ἐκφῆναι, πολλῶν μὲν καὶ ἄλλων προγεγονότων, ὡς καὶ Θεοφράστῳ δοκεῖ, αὐτὸς δὲ πολὺ διενεγκὼν ἐκείνων ὡς ἀποκρύψαι πάντας τοὺς πρὸ αὐτοῦ· λέγεται δὲ ἐν γραφαῖς μηδὲν καταλιπεῖν πλὴν τῆς καλουμένης Ναυτικῆς ἀστρολογίας. Ἵππασος δὲ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος ἓν καὶ οὗτοι καὶ κινούμενον καὶ πεπερασμένον, ἀλλὰ πῦρ ἐποίησαν τὴν ἀρχὴν καὶ ἐκ πυρὸς ποιοῦσι τὰ ὄντα πυκνώσει καὶ μανώσει καὶ διαλύουσι πάλιν εἰς πῦρ ὡς ταύτης μιᾶς οὔσης φύσεως τῆς ὑποκειμένης· πυρὸς γὰρ ἀμοιβὴν εἶναί φησιν Ἡράκλειτος πάντα·

1 μὴ μίαν pr. D || τὴν ἀρχὴν DE: τὴν om. *a* || 3 ἐξαμύου FH: ἐκ σάμου BDE: ἐκ σάδου E^a: ἐξαμίου *a* || 4 ἔλεγε E [recte E^a]. Theophrastus Aristotel. metaph. A 3 p. 983b 20—27 amplificat. ex illo pendet Aëtius I 3 1 cf. Prol. p. 220 || 6 ἡ τροφὴ EE^a: om. ceteri || 8 συνεκτική H. vox recenter dicta. cf. Krische p. 36 [1] qui praeter v. 11 nihil Theophrasti esse credit. τῆς τῶν ὅλων συνεκτικῆς est apud Stoicissantem Pseudarist. d. mund. 6 p. 397b 9 et Arium fr. 9 p. 450,16 cf. Prol. p. 75 VIII || 9 ὑπέλαβεν DE || ἐφ' ὕδατος—κεῖσθαι Arist l. c. et de cael. II 13 p. 294a 29 cf. Prol. p. 225 || 11 ἄλλων cf. Arist. met. l. c. p. 983b 30 [Zeller Abh. d. Berl. Akad. d. Wiss. h.-phil. 1877, 151] Aët. I 3 2. Eudem. ap. Dam. de princ. p. 382. altius originem repetiit Theophrastus apud schol. Apoll. Rhod. II 1248 p. 447,3—6 K. Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ σοφὸν γενόμενον μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας καὶ διαδοθῆναι τὸν μῦθον ὡς ἄρα πυρὸς μεταδοίη || 11 ὡς καὶ τῷ Θεοφράστῳ δοκεῖ DEE_a. sed cf. Simpl. f. 5r 21 || 14 Ναυτικῆς ἀστρολογίας cf. Laert. I 23. 34 Plut. Pyth. orac. 18 p. 402 F. Zeller I^4 174 [1]. Theophrastus haud scio an Simplicio fortius dubitaverit || Hippasum Heraclito coniunxit Aristoteles l. c. Sext. Pyrrh. H. III 30. adv. math. X 312 Aët. I 3 11 Diog. VIII 84 cf. Prol. p. 168 || 16 ἐποίησαν τὴν DEE^a: ἐποιήσαντο (om. τὴν) B: ἐποίησαντο *a*F, sed cf. ποιοῦσι et p. 476, 1; 478, 21 itemque in fr. de sens. constanter || ὄντα ex πάντα corr. E^a cf. Simpl. f. 111b 4 ἔλεγε γὰρ Ἡράκλειτος ἐκ πυρὸς πεπερασμένου πάντα εἶναι καὶ εἰς τοῦτο πάντα ἀναλύεσθαι v. Prol. p. 179 || 17 φύσει B || 18 πυρὸς—ἡράκλειτος BDEEF^{a}H: πυρὸς γὰρ ἀμοιβὴν εἶναί φασιν *a* || πάντα. ποιεῖ δὲ καὶ BDE: πάντα ποιεῖ, καὶ *a*F: τὰ πάντα coni. Schleiermacher ut Diog. IX 8 [Prol. p. 164] Heracl. alleg. 43 πυρὸς γὰρ δὴ κατὰ τὸν φυσικὸν Ἡράκλειτον ἀμοιβῇ τὰ πάντα γίνεται, uberior Eus. compend. P. E. XIV 3 [Prol. p. 169]

ποιεῖ δὲ καὶ τάξιν τινὰ καὶ χρόνον ὡρισμένον τῆς τοῦ κόσμου μεταβολῆς κατά τινα εἱμαρμένην ἀνάγκην.

2

Simplic. in phys. f. 6^{r} 36—54.

Τῶν δὲ ἓν καὶ κινούμενον καὶ ἄπειρον λεγόντων Ἀναξίμανδρος μὲν Πραξιάδου Μιλήσιος Θαλοῦ γενόμενος διάδοχος καὶ μαθητὴς ἀρχήν τε καὶ στοιχεῖον εἴρηκε τῶν ὄντων τὸ ἄπειρον, πρῶτος τοῦτο τοὔνομα κομίσας τῆς ἀρχῆς· λέγει δὲ αὐτὴν μήτε ὕδωρ μήτε ἄλλο τι τῶν καλουμένων εἶναι στοιχείων, ἀλλ' ἑτέραν τινὰ φύσιν ἄπειρον, ἐξ ἧς ἅπαντας γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους· ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γίνεσθαι κατὰ τὸ χρεών, διδόναι γὰρ αὐτὰ δίκην καὶ τίσιν ἀλλήλοις τῆς ἀδικίας κατὰ τὴν τοῦ χρόνου τάξιν, ποιητικωτέροις οὕτως ὀνόμασιν αὐτὰ λέγων. δῆλον δὲ ὅτι τὴν εἰς ἄλληλα μεταβολὴν τῶν τεσσάρων στοιχείων οὗτος θεασάμενος οὐκ ἠξίωσεν ἕν τι τούτων ὑποκείμενον ποιῆσαι, ἀλλά τι ἄλλο παρὰ ταῦτα. οὗτος δὲ οὐκ ἀλλοιουμένου τοῦ στοιχείου τὴν γένεσιν ποιεῖ, ἀλλ' ἀποκρινομένων τῶν ἐναντίων διὰ τῆς ἀιδίου κινήσεως. διὸ καὶ τοῖς περὶ Ἀναξαγόραν τοῦτον ὁ Ἀριστοτέλης συνέταξεν. Ἀναξιμένης δὲ Εὐρυστράτου Μιλήσιος ἑταῖρος γεγονὼς Ἀναξιμάνδρου μίαν μὲν καὶ αὐτὸς τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν, ὥσπερ ἐκεῖνος, οὐκ ἀόριστον δὲ ὥσπερ ἐκεῖνος, ἀλλὰ ὡρισμένην,

---

1 καὶ ante χρόνον *a*F: παρὰ E: περὶ BD. sed cf. Diog. VIII 84 Ἵππασος . . . ἔφη δὲ χρόνον ὡρισμένον εἶναι τῆς τοῦ κόσμος μεταβολῆς || 2 ἀνάγκην glossema nunc putat Usener

4 διάδοχος καὶ μαθητής Simplicio videtur deberi successionum scriptorum morem secuto. Theophrasto licuit dicere Θαλοῦ πολίτης καὶ ἑταῖρος cf. Simplic. d. cael. p. 273^{b}39 Karst. p. 514^{a}26 Br. Cic. Lucull. 37 118 [Prol. p. 119] || repetit Simplicius Theophrasteum locum aliis verbis infra f. 32^{v} 10 οὐδὲ κατὰ ἀλλοίωσιν τοῦ ὑποκειμένου τὰς γενέσεις ἀποδιδόασιν, ἀλλὰ κατὰ ἔκκρισιν. ἐνοῦσας γὰρ τὰς ἐναντιότητας ἐν τῷ ὑποκειμένῳ ἀπείρῳ ὄντι σώματι [sic DEF: ἀσώματι *a*]ἐκκρίνεσθαί φησιν Ἀναξίμανδρος πρῶτος αὐτὸς ἀρχὴν ὀνομάσας τὸ ὑποκείμενον. cf. Hippol. 6 2 [Prol. p. 133] || 5 πρῶτον B || αὐτὸ τοὔνομα scripsit Usener ex alterius Simpliciani loci lectione αὐτὸς || καὶ μίσας B unde noli κατνίσας cf. Arist. p. 159^{b}30, 1096^{a}17 || 6 λέγει δ' *a*F: λέγει δὲ καὶ DE || τι om. *a* || cum Theophrasto comparandus Arist. Phys. III 4 p. 203^{a}16 οἱ δὲ περὶ φύσεως ἅπαντες ἀεὶ ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων στοιχείων οἷον ὕδωρ ἢ ἀέρα ἢ τὸ μεταξὺ τούτων cf. Prol. p. 180^{1} || 7 pro εἶναι scripsit νυνὶ Usener || φύσιν κτλ. cf. Hippol. 6 1 φύσιν τινὰ τοῦ ἀπείρου ἐξ ἧς γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους Plut. Stromat. 2 Aët. I 3 3 [Prol. p. 133]. Theophrasti eiusdem loci breviorem memoriam servavit Simplic. infra f. 9^{v} 3 Ἀναξίμανδρος ὁ Πραξιάδου Μιλήσιος ἄπειρόν τινα φύσιν ἄλλην οὖσαν τῶν τεσσάρων στοιχείων ἀρχὴν ἔθετο, ἧς τὴν ἀΐδιον κίνησιν αἰτίαν εἶναι τῆς τῶν οὐρανῶν [οὐνῶν E^{a}: ἀνων DEF: ὄντων *a*] γενέσεως ἔλεγε [Prol. p. 133] || 9 ταὐτά Schleiermacher || κατὰ om. E || 10 δίκην καὶ τίσιν BDEE^{a}: τίσιν καὶ δίκην *a*F || ἀλλήλοις om. *a* || 11 οὕτως DEE^{a}: om. reliqui. de hoc loco cf. Prol. p. 219 || 13 παρ' αὐτὰ E^{a} || 14 cf. adnotata ad vv. 5 et 7 || 17 καὶ αὐτὸς BDEE^{a}F: om. *a*: καὶ οὗτος scripsit Usener. sed cf. Simpl. f. 9^{v} 5 et de cael. p. 303^{b}10 Karst. || 18 ὥσπερ ἐκεῖνος inclusit Usener || ἀόριστον Theophrasti propria de Anaximandri ἀπείρῳ praedicatio cf. Luetze ueber das ΑΠΕΙΡΟΝ Anaximanders p. 72 sqq. || ἀλλὰ BDEE^{a}: ἀλλὰ καὶ *a*F

ἀέρα λέγων αὐτήν· διαφέρειν δὲ μανότητι καὶ πυκνότητι κατὰ τὰς οὐσίας, καὶ ἀραιούμενον μὲν πῦρ γίνεσθαι, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, ἔτι δὲ μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλα ἐκ τούτων· κίνησιν δὲ καὶ οὗτος ἀίδιον ποιεῖ, δι' ἣν καὶ τὴν μεταβολὴν γίνεσθαι. καὶ Διογένης δὲ ὁ Ἀπολλωνιάτης σχεδὸν νεώτατος γεγονὼς τῶν περὶ ταῦτα σχολασάντων τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε τὰ μὲν κατὰ Ἀναξαγόραν, τὰ δὲ κατὰ Λεύκιππον λέγων· τὴν δὲ τοῦ παντὸς φύσιν ἀέρα καὶ οὗτός φησιν ἄπειρον εἶναι καὶ ἀίδιον, ἐξ οὗ πυκνουμένου καὶ μανουμένου καὶ μεταβάλλοντος τοῖς πάθεσι τὴν τῶν ἄλλων γίνεσθαι μορφήν. καὶ ταῦτα μὲν Θεόφραστος ἱστορεῖ περὶ τοῦ Διογένους.

3

Simplic. in phys. f. 6^{v} 4—18.

Τῶν δὲ πλείους λεγόντων οἱ μὲν πεπερασμένας, οἱ δὲ ἀπείρους ἔθεντο τῷ πλήθει τὰς ἀρχάς, καὶ τῶν πεπερασμένας οἱ μὲν δύο ὡς Παρμενίδης ἐν τοῖς πρὸς δόξαν πῦρ καὶ γῆν (ἢ μᾶλλον φῶς καὶ σκότος), ἢ ὡς οἱ Στωικοὶ θεὸν καὶ ὕλην οὐχ ὡς στοιχεῖον δηλονότι τὸν θεὸν λέγοντες, ἀλλ' ὡς τὸ μὲν ποιοῦν, τὸ δὲ πάσχον, οἱ δὲ τρεῖς ὡς ὕλην καὶ τὰ ἐναντία Ἀριστοτέλης, οἱ δὲ τέσσαρας ὡς Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος οὐ πολὺ κατόπιν τοῦ Ἀναξαγόρου γεγονώς, Παρμενίδου δὲ ζηλωτὴς καὶ πλησιαστὴς καὶ ἔτι μᾶλλον τῶν Πυθαγορείων·

---

1 διαφέρειν aE^{a}F: διαφέρει DE || eadem repetit Simplic. infra f. 32^{r} 46 Ἀναξιμένης ἀραιούμενον μὲν τὸν ἀέρα πῦρ γίνεσθαί φησι, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, εἶτα ἔτι μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλ' ἐκ τούτων. ἐπὶ γὰρ τούτου μόνου [πρώτου emendavit Usener Prol. p. 164 ^{2}] Θεόφραστος ἐν τῇ Ἱστορίᾳ τὴν μάνωσιν εἴρηκε καὶ τὴν [τὴν om. D] πύκνωσιν. idem f. 9^{v} 5 post ea quae supra ad v. 5 attuli: καὶ Ἀναξιμένης δὲ [ὁ add. aF] Εὐρυστράτου Μιλήσιος καὶ αὐτὸς ἀρχὴν ἔθετο μίαν [μίαν ἔθετο aF] καὶ ἄπειρον, ἀέρα ταύτην λέγων, ἐξ οὗ ἀραιουμένου καὶ πυκνουμένου τὰ ἄλλα γίνεσθαι cf. Hippol. 7 3 [Prol. p. 135] et Cic. Lucull. 37 118 [Prol. p. 119] || 2 διαιρούμενον vulgo: correxi ex Simpl. f. 9^{v} 6 || 4 καὶ οὗτος ut Anaximander cf. p. 477, 15 Prol. p. 135 || 5 Anaximeni Diogenem adiungit Theophrastus Aristotelis exemplo Met. A 3 p. 984^{a} 5 || 5 σχεδὸν nam νεώτατος est Archelaus fr. 4 cf. Krische p. 166 || 6 συμπεφορημένως vulgo: συμπεφορημένος BE^{a} voce Platonica [Leg. 805 B 693 A Phaedr. 253 B Phil. 64 B] etiam Epicurus ad *eclecticam* rationem significandam usus est cf. Gomperz Sitzungsber. d. Wien. Akad. ph.-h. Cl. LXXXIII p. 6 v. Prol. p. 81^{4} || 7 γέγραφε aBE^{a}F: ἔγραφε DE || 9 πυκνουμένου καὶ μανουμένου cf. Diog. IX 57 τόν τ' ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων

13 ὡς DEE^{a}: ὥσπερ ceteri || Παρμενίδης cf. fr. 6 || 14 ἢ μᾶλλον BDEE^{a}F: μᾶλλον δὲ a || φῶς om. E || 16 ὡς delevit post τρεῖς et inseruit post τὰ ἐναντία Torstrik || τῶν ante πυθαγορείων addit D || 17 κατόπιν Aristoteli vox ignota, usurpata a Theophrasto H. pl. VII 13 7 εὐθὺς κατόπιν || 18 ζηλωτὴς καὶ πλησιαστὴς (πλησιστὴς E) DEE^{a}: πλ. κ. ζ. aF || cf. Diog. VIII 55 ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν [Empedoclem] γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν περὶ φύσεως λόγον ἐξενεγκεῖν || καὶ ἔτι μᾶλλον aDEE^{a}: μᾶλλον δὲ BF || τῶν DEE^{a}: om. aF || narratio de Pythagoreorum disciplina a Theophrasto aut aliena est (cf. Krische p. 117) aut certe immutata redditur a Simplicio, velut Alcidamantis similis relatio a Laertio l. c. 56

οὗτος δὲ τὰ μὲν σωματικὰ στοιχεῖα ποιεῖ τέτταρα, πῦρ καὶ ἀέρα καὶ ὕδωρ καὶ γῆν ἀίδια μὲν ὄντα, μεταβάλλοντα δὲ πλήθει καὶ ὀλιγότητι κατὰ τὴν σύγκρισιν καὶ διάκρισιν, τὰς δὲ κυρίως ἀρχὰς ὑφ' ὧν κινεῖται ταῦτα φιλίαν καὶ νεῖκος· δεῖ γὰρ διατελεῖν ἐναλλὰξ κινούμενα τὰ στοιχεῖα ποτὲ μὲν ὑπὸ τῆς φιλίας συγκρινόμενα, ποτὲ δὲ ὑπὸ τοῦ νείκους διακρινόμενα· ὥστε καὶ ἓξ εἶναι κατ' αὐτὸν τὰς ἀρχάς· καὶ γὰρ ὅπου μὲν ποιητικὴν δίδωσι δύναμιν τῷ νείκει καὶ τῇ φιλίᾳ, ὅταν λέγῃ

ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα
ἄλλοτε δ' αὖ δίχα πάντα φορεύμενα νείκεος ἔχθει·

ποτὲ δὲ τοῖς τέσσαρσιν ὡς ἰσόστοιχα συντάττει καὶ ταῦτα, ὅταν λέγῃ

τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος
νεῖκός τ' οὐλόμενον δίχα τῶν ἀτάλαντον ἕκαστον
καὶ φιλότης ἐν τοῖσιν ἴση μῆκός τε πλάτος τε.

4

Simplic. in phys. f. 6^{v} 37—7^{r} 3.

Τῶν δὲ ἀπείρους τῷ πλήθει λεγόντων οἱ μὲν ἁπλᾶς ἔλεγον καὶ ὁμογενεῖς, οἱ δὲ συνθέτους καὶ ἀνομογενεῖς καὶ ἐναντίας, κατὰ δὲ τὸ ἐπικρατοῦν χαρακτηριζομένας. Ἀναξαγόρας μὲν γὰρ Ἡγησιβούλου Κλαζομένιος κοινωνήσας τῆς Ἀναξιμένους φιλοσοφίας πρῶτος μετέστησε τὰς περὶ τῶν ἀρχῶν δόξας καὶ τὴν ἐλλείπουσαν αἰτίαν ἀνεπλήρωσε τὰς μὲν σωματικὰς ἀπείρους ποιήσας· πάντα γὰρ τὰ ὁμοιομερῆ οἷον ὕδωρ ἢ πῦρ ἢ χρυσὸν ἀγέννητα μὲν εἶναι καὶ ἄφθαρτα, φαίνεσθαι δὲ γινόμενα καὶ ἀπολλύμενα συγκρίσει καὶ διακρίσει μόνον, πάντων μὲν ἐν πᾶσιν ἐνόντων, ἑκάστου δὲ κατὰ τὸ ἐπικρατοῦν ἐν αὐτῷ χαρακτηριζομένου· χρυσὸς γὰρ φαίνεται ἐκεῖνο ἐν ᾧ πολὺ χρυσίον ἔνι

1 οὕτως D || cf. Placit. I 3 20 Ἐμπεδοκλῆς ... τέτταρα μὲν λέγει στοιχεῖα πῦρ ἀέρα ὕδωρ γῆν, δύο δ' ἀρχικὰς δυνάμεις φιλίαν τε καὶ νεῖκος ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ διαιρετικόν cf. Diog. VIII 76 || καὶ ante ὕδωρ om. DE || 2 μεταβάλλοντα δέ post ὀλιγότητι libri: transposuit Usener || 6 ἓξ cf. Sext. adv. math. X 317 [Prol. 93^{2}] || κατὰ τοῦτον E^{a} || 9 Emped. vv. 67. 68St. Sext. l. c. IX 10 || ἓν ἅπαντα DEE^{a}: ἕνα πάντα BF: ἕνα κόσμον Simplic. f. 8^{r} 4 || 10 φορούμενα Simplic. f. 8^{r} 4 || νείκεος ἔχθει BDEE^{a}: νεῖκος ἔχει *a*F || 11 ποτὲ DEE^{a}: τοτὲ *a*F(B) || συντάττει BDE^{a}F: τάττει *a*E || ταυτὰ F || 12 v. 77—80 St. || τοτὲ Usener: τότε BDEE^{a}F: ἄλλοτε *a* || πλέον' *a*: πλέον superscripto α DEE^{a}F || 13 ἠέρος *a*FE^{a}: ἀέρος DE: αἰθέρος Clemens || 14 ἀπάλαιστον ἑκάστῳ coni. Usener, sufficit ἀτάλαντον ἑκάστῳ: ἀτάλαντον ἁπάντῃ (?ἅπαντι) Sext. adv. math. X 317 || 15 μετὰ τοῖσιν ἴσον Sextus 16 καὶ DEE^{a} pr. F: καὶ μὴ *a* sec. F || 17 οἱ δὲ — ἀνομογενεῖς DEE^{a} (qui ἀνομοιογενεῖς in ἀνομοιομερεῖς correxit): om. *a*F || δὲ post κατὰ DEE^{a}F: post ἐπικρατοῦν *a* || 18 ὀγησιβούλου DE || 20 μὲν molestius refertur ad τῆς δὲ κινήσεως p. 479, 7 || 21 ἀνομοιομερῆ E^{a} || haec si modo Theophrastea sunt, ex Aristot. metaphys. I 3 p. 984^{a} 11 sumpta: Ἀναξαγόρας — ἀπείρους εἶναί φησι τὰς ἀρχάς. σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ καθάπερ ὕδωρ ἢ πῦρ οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον, ἄλλως δ' οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι ἀλλὰ διαμένειν ἀίδια || 23 ἐνόντων Usener: ὄντων codd. || 24 χαρακτηριζομένας DE || χρυσός κτλ. hinc Simplicii excerpta fortasse propius ad Theophrasti exemplum accedunt || πολὺ DEE^{a}F: πολὺ τὸ *a* || ἐστὶ DEF: om. *a*: correxi

καίτοι πάντων ἐνόντων. λέγει γοῦν Ἀναξαγόρας ὅτι 'ἐν παντὶ παντὸς μοῖρα ἔνεστι' καὶ 'ὅτων πλεῖστα ἔνι ταῦτα ἐνδηλότατα ἓν ἕκαστον ἔστι καὶ ἦν'. καὶ ταῦτά φησιν ὁ Θεόφραστος παραπλησίως τῷ Ἀναξιμάνδρῳ λέγειν τὸν Ἀναξαγόραν· ἐκεῖνος γάρ φησιν ἐν τῇ διακρίσει τοῦ ἀπείρου τὰ συγγενῆ φέρεσθαι πρὸς ἄλληλα καὶ ὅτι μὲν ἐν τῷ παντὶ χρυσὸς ἐνῆν γίνεσθαι χρυσόν, ὅτι δὲ γῆ γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ὡς οὐ γινομένων, ἀλλ' ἐνυπαρχόντων πρότερον. τῆς δὲ κινήσεως καὶ τῆς γενέσεως αἴτιον ἐπέστησε τὸν νοῦν ὁ Ἀναξαγόρας, ὑφ' οὗ διακρινόμενα τούς τε κόσμους καὶ τὴν τῶν ἄλλων φύσιν ἐγέννησεν. 'καὶ οὕτω μὲν οὖν' φησί 'λαμβανόντων δόξειεν ἂν ποιεῖν τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους, ὥσπερ εἴρηται, τὴν δὲ τῆς κινήσεως καὶ τῆς γενέσεως αἰτίαν μίαν. εἰ δέ τις τὴν μῖξιν τῶν ἁπάντων ὑπολάβοι μίαν εἶναι φύσιν ἀόριστον καὶ κατ' εἶδος καὶ κατὰ μέγεθος, ὅπερ ἂν δόξειε βούλεσθαι λέγειν, συμβαίνει δύο τὰς ἀρχὰς αὐτὸν λέγειν τήν τε τοῦ ἀπείρου φύσιν καὶ τὸν νοῦν, ὥστε πάντως φαίνεται τὰ σωματικὰ στοιχεῖα παραπλησίως ποιῶν Ἀναξιμάνδρῳ'.

Καὶ Ἀρχέλαος ὁ Ἀθηναῖος, ᾧ καὶ Σωκράτη συγγεγονέναι φασίν, Ἀναξαγόρου γενομένῳ μαθητῇ ἐν μὲν τῇ γενέσει τοῦ κόσμου καὶ

---

1 λέγει cf. Anax. fr. 7 Schaub. ἐν παντὶ παντὸς μοῖρα ἔνεστι et fr. 8 et 12 quod fr. Theophrastus alio loco respexit cf. Simplic. in phys. f. 35^{v} 28 (fr. 26 Us.): εἰπόντος τοῦ Ἀναξαγόρου ὅτι οὔτε τοῦ σμικροῦ ἐστι τὸ λάχιστον ἀλλὰ τὸ ἔλασσον ἀεὶ οὔτε τὸ μέγιστον, ὡς καὶ αὐτὴ ἡ λέξις τοῦ Ἀναξαγόρου δηλοῖ καὶ μέντοι Θεόφραστος ἐν τῷ περὶ Ἀναξαγόρου δευτέρῳ τάδε γράφων· ἔπειτα τὸ διὰ τοῦτο λέγειν πάντα ἐν παντί, διότι καὶ ἐν μεγέθει καὶ ἐν σμικρότητι ἄπειρα καὶ οὔτε τὸ ἐλάχιστον οὔτε τὸ μέγιστον ἔστι λαβεῖν, οὐχ ἱκανὸν πρὸς πίστιν'. || 2 ὅτω libri cf. f. 33^{v}45: ὅτων Usener conl. Arist. Phys. I 4 p. 187^{b}6: ὅτου δὲ πλεῖστον ἕκαστον ἔχει, τοῦτο δοκεῖν εἶναι τὴν φύσιν τοῦ πράγματος. cf. Theophr. d. sens. 67 || 4 ἐκεῖνος vulgo Anaximander intellegitur, Zeller I^{4} 193^{3} rectius Anaxagoram significari putat, cf. Kern Beitr. z. Darst. d. Philos. d. Xenoph. p. 11*** Luetze p. 69 || 5 ἐνῆν Usener: ἦν codd. || 6 γίνεσθαι *a*E^{a}F: γινέσθω D: γενέσθω E || 7 ἐνυπαρχόντων E^{a} cf. Arist. p. 187^{a}37: ὑπαρχόντων ceteri || 9 ἐγέννησε FBE^{a} (sed ε ex αν corr.): ἐγέννησαν *a*DE || 10 Theophrasti ipsa verba melius iteravit Simplicius f. 33^{r}39, cuius loci scripturam exhibui, unde quae in priore loco discrepant S notantur. citatur autem Theophrastus f. 33 hoc modo: καὶ Θεόφραστος δὲ τὸν Ἀναξίμανδρον εἰς τὸν Ἀναξαγόραν συνωθῶν (ita DEF: συνηθῶν *a*) καὶ οὕτως ἐκλαμβάνει τὰ ὑπὸ (τοῦ add. *a*: om. DEF) Ἀναξαγόρου λεγόμενα ὡς δύνασθαι μίαν αὐτὸν (αὐτοῦ D) φύσιν λέγειν τὸ ὑποκείμενον. γράφει δὲ οὕτως ἐν τῇ Φυσικῇ ἱστορίᾳ· οὕτω μὲν οὖν λαμβανόντων.... Ἀναξιμάνδρῳ' || μέν φησι S || δόξειεν ἂν ὁ Ἀναξαγόρας τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους ποιεῖν, τὴν δὲ S || 11 ὥσπερ [sic DEF] εἴρηται om. S. cf. p. 478, 20 || 12 μίαν τὸν νοῦν S || 13 haec transtulit Theophrastus ex Ar. Metaph. I 8 p. 989^{b}17. συμβαίνει λέγειν αὐτῷ (Anaxagorae) τὰς ἀρχὰς τό τε ἓν (τοῦτο γὰρ ἁπλοῦν καὶ ἀμιγές) καὶ θάτερον οἷον τίθεμεν τὸ ἀόριστον πρὶν ὁρισθῆναι καὶ μετασχεῖν εἴδους τινός, ὥστε λέγεται μὲν οὔτ' ὀρθῶς οὔτε σαφῶς, βούλεται μέντοι τι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι κτλ. [Zeller Abh. d. Berl. Ak. d. W. h.-ph. 1877 p. 152, Luetze l.c. p. 53^{7}] || τὴν ἁπάντων E || 13 καὶ κατ' εἶδος DEF et S: καὶ om. *a* || ὅπερ—λέγειν om. S || 14 αὐτὸν S[*a*E^{a}F]: αὐτῶν S[DE]: αὐτῷ Simpl. f. 33^{r}43 || τε f. 33^{r}43 et S[DEE^{a}F]: om. S[*a*] || 15 πάντως om. S || 16 ἀναξίμανδρος F || 17 ἀρχέλαος δὲ E^{a} || σωκράτει EE^{a} || συγγεγονέναι DE^{a}F: γεγονέναι E: συγγεγόναι *a*

τοῖς ἄλλοις πειρᾶταί τι φέρειν ἴδιον, τὰς ἀρχὰς δὲ τὰς αὐτὰς ἀποδίδωσιν ἃς περ Ἀναξαγόρας. οὗτοι μὲν οὖν ἀπείρους τῷ πλήθει καὶ ἀνομογενεῖς τὰς ἀρχὰς λέγουσι τὰς ὁμοιομερείας τιθέντες ἀρχάς.

5

Simplic. in phys. f. 5ᵛ54—6ʳ18.

Μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν καὶ οὔτε πεπερασμένον οὔτε ἄπειρον οὔτε κινούμενον οὔτε ἠρεμοῦν Ξενοφάνη τὸν Κολοφώνιον τὸν Παρμενίδου διδάσκαλον ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος ὁμολογῶν ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης. τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης· ὃν ἕνα μὲν δείκνυσιν ἐκ τοῦ πάντων κράτιστον εἶναι· πλειόνων γάρ, φησίν, ὄντων ὁμοίως ὑπάρχειν ἀνάγκη πᾶσι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός. ἀγένητον δὲ ἐδείκνυεν ἐκ τοῦ δεῖν τὸ γινόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίγνεσθαι· ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου· οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· εἰ δὲ ἐξ ἀνομοίου γίνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. καὶ οὕτως ἀγένητον καὶ ἀίδιον ἐδείκνυ. οὔτε δὲ ἄπειρον οὔτε πεπερασμένον εἶναι, διότι ἄπειρον μὲν τὸ μὴ ὂν ὡς οὔτε ἀρχὴν ἔχον οὔτε μέσον οὔτε τέλος· περαίνειν δὲ πρὸς ἄλληλα τὰ πλείω. παραπλησίως δὲ καὶ τὴν κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν· ἀκίνητον μὲν γὰρ εἶναι τὸ

---

1 φέρειν ἴδιον cf. ad Theophr. d. sens. 37 || Theophrastea haec esse apparet ex Hippol. 9 1 οὗτος ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ τάς τε ἀρχὰς ὡσαύτως || ἀποδίδωσιν DEE^{a}F nt coniecerat Usener: δίδωσιν *a* || 2 οὗτοι μὲν κτλ. cf. Zeller I^4 927^1

4 de hoc fr. cf. Prol. p. 109 sqq. || 7 cf. scholiasta anonymus Physicorum in cod. Paris. 1947 f. 1^v, qui Simpliciana circumscribit καὶ ἔστι καὶ αὕτη ἡ δόξα οὐ περὶ τῶν φυσικῶν, ἀλλὰ περὶ τοῦ θεοῦ cf. Prol. l. c. || 8 τὸ γὰρ ἓν κτλ. ex Aristotelis similitudine ad v. 1—3 rettuli Prol. p. 111 intellegens: *omnis naturam non clare distinxit Xenophanes. nam in dei fere nomine acquievit.* vix recte. immo ad parenthesin ὁμολογῶν κτλ. pertinere Kernio concedere debebam Prol. p. 111^1. Simplicius certe ipse Theophrastea ita cepit. sed de origine insequentium verborum ὃν κτλ. nihil inde praeiudicatur || 9 cf. [Arist.] d. MXG 3 p. 977^{a}23: εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι. εἰ γὰρ δύο ἢ ἔτι πλείους εἶεν οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων. ἕκαστος γὰρ ἂν θεὸς τῶν πολλῶν ὅμοιος ὢν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι || 10 ὁμοίως *a*DE: ἀνομοία F || ὑπάρχειν ἀνάγκη DEE^a: ἀνάγκη ὑπάρχειν *a*F || cf. [Arist.] p. 977^{a}15: ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γιγνόμενον. δυνατὸν δὲ οὐδέτερον· οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι. ταῦτα γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίοις οὐχ ὑπάρχειν πρὸς ἄλληλα. οὔτ' ἂν ἐξ ἀνομοίου τἀνόμοιον γενέσθαι . . . τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γενέσθαι, ὅπερ ἀδύνατον. ἀίδιον μὲν οὖν διὰ ταῦτα εἶναι τὸν θεόν || 11 ἐξ bis *a*E^{a}F: alt. om. DE || 13 cf. [Ar.] p. 977^{b}2 ἀίδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ οὔτ' ἄπειρον οὔτε πεπεράνθαι. ἄπειρον τὸ μὴ ὂν εἶναι. τοῦτο γὰρ οὔτε μέσον οὔτ' ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο μέρος οὐδὲν ἔχειν . . . οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν. περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη || 14 ἐδείκνυ *a*EE^{a}F: ἐδείκνυον D || 15 καὶ ante οὔτε δὲ inseruit *a* || 16 οὔτε μέσον οὔτε BDEE^a: μήτε μέσον μήτε *a*F || 17 cf. [Ar.] p. 977^{b}8 τὸ δὴ τοιοῦτον ὂν ἓν . . . οὔτε κινεῖσθαι οὔτε κινητὸν εἶναι. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν. οὔτε γὰρ ἂν

μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός· ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν. ὥστε καὶ ὅταν ἐν ταὐτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι

ἀεὶ δ' ἐν ταὐτῷ μίμνει κινούμενον οὐδέν
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ,

οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτό φησιν. ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξῃρημένην μονήν. Νικόλαος δὲ ὁ Δαμασκηνὸς ὡς ἄπειρον καὶ ἀκίνητον λέγοντος αὐτοῦ τὴν ἀρχὴν ἐν τῇ Περὶ θεῶν ἀπομνημονεύει. Ἀλέξανδρος δὲ ὡς πεπερασμένον αὐτὸ καὶ σφαιροειδές. ἀλλ' ὅτι μὲν οὔτε ἄπειρον οὔτε πεπερασμένον αὐτὸ δείκνυσιν, ἐκ τῶν προειρημένων δῆλον, πεπερασμένον δὲ καὶ σφαιροειδὲς αὐτὸ διὰ τὸ πανταχόθεν ὅμοιον λέγει· καὶ πάντα νοεῖν δέ φησιν αὐτὸ λέγων

ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει.

5a

Galen. in Hippocr. d. nat. hom. XV 25 K.

Κακῶς δὲ καὶ τῶν ἐξηγητῶν ἔνιοι κατεψεύσαντο Ξενοφάνους ὥσπερ καὶ Σαβῖνος ὡδί πως γράψας αὐτοῖς ὀνόμασιν· 'οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον ὥσπερ Ἀναξιμένης, οὔτε ὕδωρ ὡς Θαλῆς, οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης'· οὐδαμόθεν γὰρ εὑρίσκεται ὁ Ξενοφάνης ἀποφηνάμενος οὕτως. ἀλλὰ καὶ ὁ Σαβῖνος αὐτὸς εὐδήλός ἐστιν ἐκ τῶν αὐτοῦ καταψευδόμενος, οὐχ ὑπ' ἀγνοίας ἐσφαλμένος. ἢ πάντως ἂν ὀνομαστὶ προσέγραψε τὸ βιβλίον, ἐν ᾧ ταῦτα ἀπεφήνατο. νῦν δ' οὕτως ἔγραψεν 'οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης'. καὶ Θεόφραστος δ'

εἰς αὐτὸ ἕτερον οὔτ' ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι || 3 μεταβάλλει codd.: corr. Usener post Karstenium || 4 Xenoph. fr. 4 p. 38 Karst. || μίμνει BDEE^a: μένει *a*F || κινούμενος E^{a}F || 5 μιν ἐπιπρέπει BDE^a: μὴν ἐπιτρέπῃ E: μὴν ἐπὶ πρέπει *a*F || 6 αὐτό BDE: αὐτόν *a*E^{a}F || 7 μονήν DEE^a: μόνον D Brandisii: om *a*F. || 9 Alexandri opinionem quam dicit S., Theophrastus si non probasse certe attulisse videtur [Prol. p. 112], unde Hippolytus Philos. 14 2 φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀΐδιον καὶ ἕνα καὶ ὅμοιον πάντῃ καὶ πεπερασμένον καὶ σφαιροειδῆ Gal. H. phil. c. 7 εἶναι πάντα ἓν καὶ τοῦτο ὑπάρχειν θεὸν πεπερασμένον λογικὸν ἀμετάβλητον, ex eodem libro Sext. P. H. I 225 ἓν εἶναι τὸ πᾶν καὶ τὸν θεὸν συμφυῆ τοῖς πᾶσιν, εἶναι δὲ σφαιροειδῆ καὶ ἀπαθῆ καὶ ἀμετάβλητον καὶ λογικόν, Cic. Lucull. 37 118 unum esse omnia neque id esse mutabile et id esse deum neque natum umquam et sempiternum conglobata figura. Placit. I 3 12 (Theod.) ἓν εἶναι τὸ πᾶν . . . σφαιροειδὲς καὶ πεπερασμένον, οὐ γενητὸν ἀλλ' ἀΐδιον καὶ πάμπαν ἀκίνητον. cf. de Parmen. Theophr. fr. 6 || 12 λέγειν DEE^{a}FH: correxit *a* cf. Prol. p. 112 || νοεῖν δὲ DEE^{a}FH: δὲ νοεῖν *a* || αὐτὸ DE: αὐτὸν *a*E^{a}F || 13 fr. 3 K. cf. praeter locos memoratos Diog. IX 19 σύμπαντά τ' εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀΐδιον et Timonis fr. 40 W.

14 Galenus captiosius Sabinum, qui sophista fuit sub Hadriano, vellicare videtur. scilicet constare ex terra homines neque Xenophanes neque Theophrastus de illo locutus adseverasse videtur, sed ortos ex terra haud dubie innuerat cf. Xenoph. fr. 8 ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ et fr. 9 πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐγεγόμεσθα. neque Theophrastus haec non memoravit, unde Hippol. Philos. 14 6 et Aët. I 3 12

ἂν ἐν ταῖς τῶν φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν. εἴπερ οὕτως εἶχεν, ἐγεγράφει. καί σοι πάρεστιν εἰ χαίροις τῇ περὶ τούτων ἱστορίᾳ τὰς τοῦ Θεοφράστου βίβλους ἀναγνῶναι, καθ' ἃς τὴν ἐπιτομὴν ἐποιήσατο τῶν φυσικῶν δοξῶν.

6

Alexander in metaph. p. 24, 5 Bon.

Περὶ Παρμενίδου καὶ τῆς δόξης αὐτοῦ καὶ Θεόφραστος ἐν τῷ πρώτῳ Περὶ τῶν φυσικῶν οὕτως λέγει·

Τούτῳ δ' ἐπιγενόμενος Παρμενίδης Πύρητος ὁ Ἐλεάτης — λέγει δὲ καὶ Ξενοφάνην — ἐπ' ἀμφοτέρας ἦλθε τὰς ὁδούς. καὶ γὰρ ὡς ἀϊδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ' ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγένητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχὰς πῦρ καὶ γῆν, τὴν μὲν ὡς ὕλην, τὸ δ' ὡς αἴτιον καὶ ποιοῦν.

6a

Laertius Diogenes IX 21. 22

Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης (τοῦτον Θεόφραστος ἐν τῇ Ἐπιτομῇ Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι), ὅμως δ' οὐκ ἀκούσας καὶ Ξενοφάνους οὐκ ἠκολούθησεν αὐτῷ . . .

πρῶτος δ' οὗτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ καὶ ἐν μέσῳ κεῖσθαι. δύο τ' εἶναι στοιχεῖα, πῦρ καὶ γῆν· καὶ τὸ μὲν δημιουργοῦ τάξιν ἔχειν, τὴν δ' ὕλης. 22 γένεσίν τ' ἀνθρώπων ἐξ ἰλύος πρῶτον γενέσθαι. † αὐτὸν δ' ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐξ ὧν τὰ

1 '*non epitomen Theophrasti libri sed hunc ipsum quippe qui* ἐπιτομὴν φυσικῶν δοξῶν *continuerit respici nemo non videbit.*' Usener Anal. p. 28 cf. V. Rose de Ar. libr. ord. p. 86

5 de fr. 6 cf. Prol. p. 113 || 7 de Aristotelis Metaphysicorum similitudine [I 5 p. 986^{b}27 sqq.] cf. Zeller Abhandl. d. Akad. d. W. l. c. p. 153 || 8 καὶ delendum aut λέγει δὴ Ξ. corrigendum || 10 cf. Hippol. 11 καὶ γὰρ καὶ Παρμενίδης [vide Prol. p. 146] ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀϊδιόν τε καὶ ἀγένητον καὶ σφαιροειδές, οὐδὲ αὐτὸς ἐκφεύγων τὴν τῶν πολλῶν δόξαν πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς, τὴν μὲν γῆν ὡς ὕλην, τὸ δὲ πῦρ ὡς αἴτιον καὶ ποιοῦν. Plut. Strom. 5 Aët. Plac. I 3 13 [Theodor.] qui versum 59 K. 65 St. addunt. cf. Cicer. Luc. 37 118 Euseb. XV 3 6. idem locus ab Alexandro ad phys. I 2 excerptus servatur a Simplic. in phys. f. 9^{a}1 ὁμολογεῖ δὲ ὁ Ἀλέξανδρος ἐν μὲν τοῖς πρὸς ἀλήθειαν ἅπερ ἐστὶ περὶ τοῦ νοητοῦ ὄντος τὸν Παρμενίδην ἓν τὸ ὂν καὶ ἀκίνητον καὶ ἀγένητον [καὶ ἀγένητον post ἀκίνητον DEF cf. fr. 8: post ὄν E^a: om. *a*] λέγειν, κατὰ δὲ τὴν τῶν πολλῶν δόξαν καὶ τὰ φαινόμενα, φησί, [sic E^a: φασὶ DE: om. *a*F] φυσιολογῶν οὔτε ἓν ἔτι [om. *a*] λέγων εἶναι τὸ ὂν οὔτε ἀγένητον, ἀρχὰς τῶν γινομένων ὑπέθετο πῦρ καὶ γῆν, τὴν μὲν γῆν ὡς ὕλην ὑποτιθείς, τὸ δὲ πῦρ ὡς ποιητικὸν αἴτιον. καὶ ὀνομάζει, φησί, τὸ μὲν πῦρ φῶς, τὴν δὲ γῆν σκότος || 13 τὴν μὲν scripsi: τὸ μὲν vulgo

14 de fr. 6a [fr. 24. 25 Us.] cf. Prol. p. 103. 142. 146. 166 sqq. || 17 πρῶτος δ' οὗτος cf. fr. 17 Aët. III 15 7 || 19 ἡλίου F et Froben.: *limo* Aldobr. || 20 αἴτια scripsi Prol. p. 142. 166 cf. p. 483, 20: αὐτὸν libri: αὐτῶν Wyttenbach, ταὐτὸν Usener recte, si γένεσίν τ' — γενέσθαι post συνεστάναι p. 483, 1 olim collocata fuisse sumas.

πάντα συνεστάναι. καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν ταὐτὸν εἶναι, καθὰ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς Φυσικοῖς πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. ὀισσήν τ' ἔφη εἶναι τὴν φιλοσοφίαν τὴν μὲν κατ' ἀλήθειαν, τὴν δὲ κατὰ δόξαν. διὸ καὶ φησί που·

χρεὼ δέ σε πάντα πυθέσθαι
ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεμὲς ἦτορ
ἠδὲ βροτῶν δόξας, τῆς οὐκ ἔνι πίστις ἀληθής.

7

Simplicius in phys. f. 25r16

Ὡς ὁ Ἀλέξανδρος ἱστορεῖ, ὁ μὲν Θεόφραστος οὕτως ἐκτίθεται ἐν τῷ πρώτῳ τῆς Φυσικῆς ἱστορίας (de Parmenide)·

Τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν.

8

Simplicius in phys. f. 7r6—26.

Λεύκιππος δὲ ὁ Ἐλεάτης ἢ Μιλήσιος — ἀμφοτέρως γὰρ λέγεται περὶ αὐτοῦ — κοινωνήσας Παρμενίδῃ τῆς φιλοσοφίας οὐ τὴν αὐτὴν ἐβάδισε Παρμενίδῃ καὶ Ξενοφάνει περὶ τῶν ὄντων ὁδόν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν· ἐκείνων γὰρ ἓν καὶ ἀκίνητον καὶ ἀγένητον καὶ πεπερασμένον ποιούντων τὸ πᾶν καὶ τὸ μὴ ὂν μηδὲ ζητεῖν συγχωρούντων, οὗτος ἄπειρα καὶ ἀεὶ κινούμενα ὑπέθετο στοιχεῖα τὰς ἀτόμους, καὶ τῶν ἐν αὐτοῖς σχημάτων ἄπειρον τὸ πλῆθος διὰ τὸ μηδὲν μᾶλλον τοιοῦτον ἢ τοιοῦτον εἶναι [ταύτην γὰρ] καὶ γένεσιν καὶ μεταβολὴν ἀδιάλειπτον ἐν τοῖς οὖσι θεωρῶν· ἔτι δὲ οὐδὲν μᾶλλον τὸ ὂν ἢ τὸ μὴ ὂν ὑπάρχειν καὶ αἴτια ὁμοίως εἶναι τοῖς γινομένοις ἄμφω· τὴν γὰρ τῶν ἀτόμων οὐσίαν ναστὴν καὶ πλήρη ὑποτιθέμενος ὂν ἔλεγεν εἶναι καὶ ἐν τῷ κενῷ φέρεσθαι ὅπερ μὴ ὂν ἐκάλει καὶ οὐκ

1 καὶ κτλ. cf. fr. de sens. 4 || 2 καὶ om. Burbon. 253 || 6 εὐφεγγέος Procl. in Tim. p. 105 || 7 ἕνι libri: corr. Huebner || 8 cf. Simplic. in ph. f. 29r 32 ὡς δὲ Θεόφραστος προήγαγε τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν. cf. f. 25v 15, Io. Philop. in phys. quat. b 4v. Theophrastus redit ad Aristot. Met. I 5 p. 986b28 παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐθὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὂν καὶ ἄλλο οὐθέν. [Zeller Abh. d. Ak. l. c. p. 153].

11 cf. Hipp. Phil. 12 1 Λεύκιππος δὲ Ζήνωνος ἑταῖρος οὐ τὴν αὐτὴν δόξαν διετήρησεν ἀλλά φησιν ἄπειρα εἶναι καὶ ἀεὶ κινούμενα καὶ γένεσιν καὶ μεταβολὴν συνεχῶς οὖσαν· στοιχεῖα δὲ λέγει τὸ πλῆρες καὶ τὸ κενόν. cf. Diog. IX 30 qui ipse Zenonis magisterium testatur, unde post Ξενοφάνει olim additum fuisse Zenonem conicias || 15 ἐπιχειρούντων olim Usener || 16 τὰ στοιχεῖα aF: τὰ om. DEEa || 18 ταύτην γὰρ DEEaF: ταύτην a: delevi librarii errorem qui in inferiorem locum simillimum p. 484, 13 oculis delatus initium descripsit || 19 ἀδιάλειπτον E || οὐδὲν DEaE: οὗ ἓν F: οὐ a || cf. Arist. A 4, 985b8 διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν τοῦ σώματος [τοῦ κενοῦ τὸ σῶμα Schwegler], αἴτια δὲ τῶν ὄντων ταῦτα ὡς ὕλην. Euseb. XIV 3 7 || 20 cf. Theophrast. metaph. 7 p. 316, 21 Br. || 22 cf. Hippol. Phil. 13 2 (Democrit.) ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ. cf. Euseb. l. l. || φέρεσθαι καὶ ὅπερ EaF

ἔλαττον τοῦ ὄντος εἶναί φησι. παραπλησίως δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος ὁ Ἀβδηρίτης ἀρχὰς ἔθετο τὸ πλῆρες καὶ τὸ κενόν. ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν ἐκάλει· ὡς ⟨γὰρ⟩ ὕλην τοῖς οὖσι τὰς ἀτόμους ὑποτιθέντες τὰ λοιπὰ γεννῶσι ταῖς διαφοραῖς αὐτῶν· τρεῖς δέ εἰσιν αὗται· ῥυσμὸς τροπὴ διαθιγή, ταὐτὸν δὲ εἰπεῖν σχῆμα καὶ τάξις καὶ θέσις· πεφυκέναι γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου κινεῖσθαι καὶ φέρεσθαι τὰ συγγενῆ πρὸς ἄλληλα καὶ τῶν σχημάτων ἕκαστον εἰς ἑτέραν ἐγκοσμούμενον σύγκρισιν ἄλλην ποιεῖν διάθεσιν· ὥστε εὐλόγως ἀπείρων οὐσῶν τῶν ἀρχῶν πάντα τὰ πάθη καὶ τὰς οὐσίας ἀποδώσειν ἐπηγγέλλοντο ὑφ' οὗ τέ τι γίνεται καὶ πῶς· διὸ καί φασι μόνοις τοῖς ἄπειρα ποιοῦσι τὰ στοιχεῖα πάντα συμβαίνειν κατὰ λόγον. καὶ τῶν ἐν ταῖς ἀτόμοις σχημάτων ἄπειρον τὸ πλῆθός φασι διὰ τὸ μηθὲν μᾶλλον τοιοῦτον ἢ τοιοῦτον εἶναι. ταύτην γὰρ αὐτοὶ τῆς ἀπειρίας αἰτίαν ἀποδιδόασιν. καὶ Μητρόδωρος δὲ ὁ Χῖος ἀρχὰς σχεδόν τι τὰς αὐτὰς τοῖς περὶ Δημόκριτον ποιεῖ τὸ πλῆρες καὶ τὸ κενὸν τὰς πρώτας αἰτίας ὑποθέμενος, ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν εἶναι· περὶ δὲ τῶν ἄλλων ἰδίαν τινὰ ποιεῖται τὴν μέθοδον. αὕτη μὲν ἡ σύντομος περίληψις τῶν ἱστορημένων περὶ ἀρχῶν οὐ κατὰ χρόνους ἀναγραφεῖσα, ἀλλὰ κατὰ τὴν τῆς δόξης συγγένειαν.

9

Simplic. in phys. f. 6ᵛ 20—25

Ὁ μέντοι Θεόφραστος τοὺς ἄλλους προϊστορήσας 'Τούτοις' φησίν 'ἐπιγενόμενος Πλάτων τῇ μὲν δόξῃ καὶ τῇ δυνάμει πρότερος τοῖς δὲ χρόνοις ὕστερος καὶ τὴν πλείστην πραγματείαν περὶ τῆς πρώτης φιλοσοφίας ποιησάμενος ἐπέδωκεν ἑαυτὸν καὶ τοῖς φαινομένοις

1 haec cum Metaphys. A 985ᵇ 5 sq. ita consentiunt, ut inde a S. translata crederem nisi similia exstarent apud Hippolytum 13 2 et comp. Euseb. P. E. XIV 3 7—9 [cf. Prol. p. 169]. contra de ceteris ὡς γὰρ ὕλην κτλ. accurate Aristoteli respondentibus nihil affirmo. tripartitis differentiis addit μέγεθος Theophrastus d. sens. 60 τὰ μὲν τοῖς μεγέθεσι, τὰ δὲ τοῖς σχήμασιν, ἕνια δὲ τάξει καὶ θέσει διορίζει. cf. Arist. Phys. III 4 p. 203ᵇ 1 de cael. III 4 p. 303ᵃ 15 || 2 ἀρχὰς *a*E²F: τὰς ἀρχὰς DE || 3 ὡς γὰρ *a*: ὡς (om. γὰρ) BDEE²F: suspicor καὶ ὕλην || 4 γεννῶσι γὰρ ταῖς B || 5 καὶ θέσις παὶ τάξις DEE²: recte *a*(F) cf. Metaph. l. c. vide Democr. apud Sext. adv. math. VII 117. 118 || 7 ἐκκοσμούμενον codd.: corr. Usener et Torstrik || 10 τέ τι DEFE²: τι om. *a* || 11 συμβαίνει E || καὶ — 13 ἀποδιδόασιν cf. 483, 17 sqq. || 13 τὴν αἰτιαν *a*E²F: τὴν om. DE || 13 cf. Eus. XIV 19 9 τὸν μὲν οὖν Μητρόδωρον Δημοκρίτου ἔφασαν ἀκηκοέναι, ἀρχὰς δὲ ἀποφήνασθαι τὸ πλῆρες καὶ τὸ κενόν, ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν εἶναι. cf. Prol. p. 170 || 14 σχεδόν τι DEE²F: τι om. *a* || 17 cf. Prol. 104⁴ || ἱστορουμένων *a* || 18 κατὰ τὴν *a*E²: τὴν DEF

19 τούτοις ἐπιγενόμενος ut Arist. met. I 6 p. 987ᵃ 29 μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπεγένετο πραγματεία τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν cf. Zeller Abh. d. Ak. l. c. p. 154 v. Prol. p. 104² || 20 τῇ μὲν — ὕστερος cf. Arist. l. c. p. 984ᵃ 11 || 22 τοῖς φαινομένοις ut Arist. de part. an. I 1 p. 639ᵇ 8 δεῖ καὶ τὸν φυσικὸν τὰ φαινόμενα πρῶτον . . . θεωρήσαντα . . . ἔπειθ' οὕτω λέγειν τὸ διὰ τί καὶ τὰς αἰτίας cf. Theophrast. fr. XVIII p. 164,7 Wimm.

ἁψάμενος τῆς περὶ φύσεως ἱστορίας, ἐν ᾗ δύο τὰς ἀρχὰς βούλεται ποιεῖν τὸ μὲν ὑποκείμενον ὡς ὕλην ὃ προσαγορεύει πανδεχές, τὸ δὲ ὡς αἴτιον καὶ κινοῦν ὃ περιάπτει τῇ τοῦ θεοῦ καὶ τῇ τοῦ ἀγαθοῦ δυνάμει'. ὁ μέντοι Ἀλέξανδρος ὡς τρεῖς λέγοντος τὰς ἀρχὰς ἀπομνημονεύει τὴν ὕλην καὶ τὸ ποιοῦν καὶ τὸ παράδειγμα.

10

Proclus in Timaeum p. 176 Basil. 416 Schneider

Καὶ τῶν παλαιῶν τινες ἐπέπληξαν τῷ Πλάτωνι λέγοντες ὡς 'οὐκ ὀρθῶς ἀρχὴν ἀρχῆς ἐπιζητεῖ καὶ γένεσιν ἀγενήτου πράγματος· εἰ γὰρ καὶ τῶν πρώτων τὰ αἴτια ζητήσομεν καὶ τῶν αὐθυποστάτων γενέσεις ἐπινοήσομεν, εἰς ἄπειρον προϊόντες λησόμεθα καὶ τέλος οὐδὲν ἔχον τῆς θεωρίας· ὥσπερ γὰρ ὁ πάντα ἀποδεικτὰ νενομικὼς αὐτὴν μάλιστα τὴν ἀπόδειξιν ἀναιρεῖ, τοῦτον τὸν τρόπον καὶ ὁ πάντων αἰτίας ἐπιζητῶν ἄρδην ἀνατρέπει τὰ ὄντα πάντα καὶ τὴν τάξιν αὐτῶν τὴν ἀπό τινος ὡρισμένης ἀρχῆς προϊοῦσαν'. ταῦτα μὲν ὁ Θεόφραστος ἐπιτιμᾷ τῷ Πλάτωνι περὶ τῆσδε τῆς ψυχογονίας οὐδὲ ἐπὶ τῶν φυσικῶν πάντων λέγων δεῖν ἡμᾶς ἐπιζητεῖν τὸ διὰ τί· γελοῖον γάρ φησιν ἀπορεῖν, διὰ τί καίει τὸ πῦρ [καὶ διὰ τί πῦρ] καὶ διὰ τί ψύχει ἡ χιών.

11

Taurus ap. Philopon. adv. Procl. VI 8. 27

Καὶ Θεόφραστος μέντοι ἐν τῷ Περὶ τῶν φυσικῶν δοξῶν κατὰ Πλάτωνά φησι γενητὸν τὸν κόσμον καὶ οὕτω ποιεῖται τὰς ἐνστάσεις, παρεμφαίνει δὲ ὅτι ἴσως σαφηνείας χάριν γενητὸν αὐτὸν ὑποτίθεται.

Idem l. c. VI 21. 27.

Ὁ δὲ Θεόφραστος εἰπὼν ὅτι 'τάχ' ἂν γενητὸν λέγοι σαφηνείας

---

1 τὰς om. B || Theophrastus profectus videtur a Metaph. A 6 p. 988ᵃ 7 Πλάτων ... δυοῖν αἰτίαιν μόνον κέχρηται τῇ τε τοῦ τί ἐστι καὶ τῇ κατὰ τὴν ὕλην ... καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη ... ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν κτλ. || 2 ὡς ὑποκείμενον τὴν ὕλην coni. Torstrik || πανδεχές Tim. p. 51 A cf. Aristot. p. 329ᵃ 14 et 306ᵇ 19. e Theophrasto pendet Cic. Lucull. 37 118 || 3 θεοῦ DEEᵃ: θείου aF || τῇ τοῦ ἀγαθοῦ aEEᵃF: τοῦ ἀγαθοῦ D

6 cf. Procl. in Tim. p. 177 Bas. 418 Schneid. ὁ μὲν Θεόφραστος εἰκότως ἀρχὴν κινήσεως τὴν ψυχὴν εἰπὼν οὐδὲ ἄλλο πρὸ αὐτῆς ὑποθέμενος ἀρχῆς οὐκ οἴεται δεῖν ἀρχὴν ἐπιζητεῖν· ἔμψυχον γὰρ καὶ αὐτὸς δίδωσι τὸν οὐρανὸν κτλ. || 9 sqq. cf. Theophr. metaphys. 8 p. 319, 8 cf. Usener Mus. Rh. XVI 260 || ἔχοντες coniecit Usener || 16 καὶ διὰ τί πῦρ delevi manifestam dittographiam

17 cf. [Philo] de incorrupt. mund. p. 490, 13 Mang. 224, 1 Bern. τινὲς δ' οἴονται σοφιζόμενοι κατὰ Πλάτωνα γενητὸν λέγεσθαι τὸν κόσμον οὐ τῷ λαβεῖν γενέσεως ἀρχήν, ἀλλὰ τῷ εἴπερ ἐγίγνετο μὴ ἂν ἑτέρως ἢ τὸν εἰρημένον συστῆναι τρόπον ἢ διὰ τὸ ἐν γενέσει καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι || 20 Theophrastus pendet ab Aristot. d. cael. I 10 p. 279ᵇ 32 ἦν δέ τινες βοήθειαν ἐπιχειροῦσι φέρειν ἑαυτοῖς τῶν λεγόντων ἄφθαρτον μὲν εἶναι, γενόμενον δέ, οὐκ ἔστιν ἀληθής. ὁμοίως γάρ φασι τοῖς τὰ διαγράμματα γράφουσι καὶ σφᾶς εἰρηκέναι περὶ τῆς γενέσεως, οὐχ ὡς γενομένου ποτέ,

χάριν. ὡς καὶ τοῖς διαγράμμασι παρακολουθοῦμεν γινομένοις᾽ φησί· ‘πλὴν ἴσως ἡ γένεσις οὐχ ὁμοίως ἔχει καὶ ἐπὶ τῶν διαγραμμάτων’.

12

[Philo] περὶ ἀφθαρσίας κόσμου cc. 23—27 p. 510, 11—516, 20 Mang. 264, 3—276, 7 Bern.

23 Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερσαίων φθορὰς κατὰ γένη ζῴων. κατασκευάζειν δὲ τὸ μὲν πρῶτον οὕτως· ‘εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὸς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο, χθαμαλὰ δ᾽ ἤδη τὰ ὄρη πάντ᾽ ἐγεγέννητο καὶ οἱ γεωλόφοι πάντες ἰσόπεδοι τῇ πεδιάδι· τοσούτων γὰρ καθ᾽ ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ ἀιδίου φερομένων εἰκὸς ἦν τῶν διηρμένων πρὸς ὕψος τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ᾽ ὑπονοστήσαντα κεχαλάσθαι, πάντα δὲ διὰ πάντων ἤδη λελειάνθαι· νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι καὶ παμπόλλων ὀρῶν αἱ πρὸς αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ᾽ ἐστὶ τοῦ τὴν γῆν μὴ ἀίδιον εἶναι· πάλαι γάρ, ὡς ἔφην, ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσ᾽ ἂν λεωφόρος ἐγεγέννητο. πέφυκε γὰρ ἡ ὕδατος φύσις καὶ μάλιστα ἀφ᾽ ὑψηλοτάτων καταράττουσα τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ, τὰ δὲ τῷ συνεχεῖ τῶν ψεκάδων κολάπτουσα κοιλαίνειν ὑπεργάζεσθαί τε τὴν σκληρότεων καὶ λιθωδεστάτην ὀρυκτήρων οὐκ ἔλαττον’. ‘καὶ μὴν ἥ γε θάλασσα’ φασὶν ‘ἤδη μεμείωται· μάρτυρες δ᾽ αἱ νήσων εὐδοκιμώταται Ῥόδος τε καὶ Δῆλος· αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ᾽ ὕστερον ἐλαττουμένης ῥέμα κατ᾽ ὀλίγον ἀνίσχουσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι· τὴν δὲ Δῆλον καὶ Ἀνάφην ὠνόμασαν δι᾽ ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ γὰρ ἀναφανεῖσα δῆλη ἐγένετο ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι. πρὸς δὲ τούτοις μεγάλων πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας ἠπειρῶσθαι καὶ γεγενῆσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ λυπρὰν σπειρομένους καὶ φυτευομένους, οἷς σημεῖ᾽ ἄττα τῆς παλαιᾶς ἐναπολελεῖφθαι θαλαττώσεως ψηφῖδάς τε καὶ κόγχας καὶ ὅσα ὁμοιότροπα πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι. διὸ καὶ Πίνδαρος ἐπὶ τῆς Δήλου φησί·

ἀλλὰ διδασκαλίας χάριν ὡς μᾶλλον γνωριζόντων ὥσπερ τὸ διάγραμμα γιγνόμενον θεασαμένους. τοῦτο δ᾽ ἐστὶν . . . οὐ τὸ αὐτό. Xenocratem et Speusippum eam explicationem invenisse Simplicius ad h. l. testatur p. 488b15 Br. cf. p. 489a8 Br., quos Crantor et Eudorus secuti sunt. cf. Zeller II, 1³ 666² || 2 καὶ om. altero loco c. 27

3 de fragm. 12 cf. Prol. p. 106sqq. || 2 γῆς *a*[ldinum Philonis de mundo excerptorum exemplum Venet. 1497 f. 233sqq. cf. Prol. p. 108² Bernays die Dial. d. Arist. p. 165]: τῆς M(ediceus) || 6 κατασκευάζει *a*M: corr. Usener || 7 ὑπανεστὼς *a*: ὑπαναστῆ M: ὑπανεστηκὸς Bernays sed cf. p. 491,2 || ὄρη πάντα M: ὄρη πάντων *a* unde πάντως Mangey || 9 ἐνιαυτῶν M || διηρμένων *a*: διηρτημένων M || πρὸς M: εἰς *a* || 13 πᾶσα λεωφόρος *a*M: correxi itemque Buecheler Mus. Rh. XXXII 441 || 14 ἐγεγέννητο *a* vulgo cf. v. 8: ἐγένετο M || 15 τῷ συνεχεῖ *a* vulgo: τῇ συνεχεῖ M unde τῇ συνεχείᾳ corrigebat Buecheler || 21 Ἀναφὴν vulgo: ἀναγράφειν M || de hoc loco cf. Prol. p. 108 || 22 ἐπειδὴ γὰρ M: ἐπειδὴ vulgo cf. ad Theophr. d. sens. § 23 || δῆλη praeter morem hiat || 23 μεγάλων *a*: μεγάλην M: immerito otiosum iudicatur cf. p. 489, 25. λόγος vel ὁμολογοῦσι corrigit Buecheler || 25 σημεῖα τὰ *a*M corr. Bernays || 27 Πίνδαρος fr. 64 [87] Bergk.

Ναῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
Πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας· ἄν τε βροτοί
Δᾶλον κικλήσκουσιν, μάκαρες δ' ἐν ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον.

θυγατέρα γὰρ Πόντου τὴν Δῆλον εἴρηκε τὸ λεχθὲν αἰνιττόμενος. εἰ δὴ μειοῦται ἡ θάλαττα, μειωθήσεται μὲν ἡ γῆ, μακραῖς δ' ἐνιαυτῶν περιόδοις καὶ εἰς ἅπαν ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανηθήσεται ⟨δὲ⟩ καὶ ὁ σύμπας ἀὴρ ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος, ἀποκριθήσεται δὲ πάντ' εἰς μίαν οὐσίαν τὴν πυρός.'

Πρὸς δὲ τὴν τοῦ τρίτου κεφαλαίου κατασκευὴν χρῶνται λόγῳ τοιῷδε· 'φθείρεται πάντως ἐκεῖνο, οὗ πάντα τὰ μέρη φθαρτά ἐστι, τοῦ δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι. φθαρτὸς ἄρα ὁ κόσμος ἐστίν. ὃ δ' ὑπερειλέμεθα, νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵν' ἀπὸ ταύτης ἀρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλυθήσεται; λίθων οἱ κραταιότατοι ἆρ' οὐ μυδῶσι καὶ σήπονται κατὰ τὴν ἕξεως ἀσθένειαν — ἥ δ' ἐστὶ πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος, ἀλλὰ μόνον δυσδιάλυτος — θρυπτόμενοι καὶ ῥέοντες εἰς λεπτὴν τὸ πρῶτον ἀναλύονται κόνιν; [εἶθ' ὕστερον δαπανηθέντες ἐξαναλύονται] τί δέ; εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο τὸ ὕδωρ, ἀκίνητον ἐαθὲν οὐχ ὑφ' ἡσυχίας νεκροῦται; μεταβάλλει γοῦν καὶ δυσωδέστατον γίνεται οἷα ψυχὴν ἀφῃρημένον ζῷον. αἵ γε μὴν ἀέρος φθοραὶ παντί τῳ δῆλαι· νοσεῖν γὰρ καὶ φθίνειν καὶ τρόπον τιν' ἀποθνήσκειν πέφυκεν. ἐπεὶ τί ἂν τις μὴ στοχαζόμενος ὀνομάτων εὐπρεπείας ἀλλὰ ταληθοῦς, εἴποι λοιμὸν εἶναι πλὴν ἀέρος θάνατον τὸ οἰκεῖον πάθος ἀναχέοντος ἐπὶ φθορᾷ πάντων ὅσα ψυχῆς μεμοίραται; τί χρὴ μακρηγορεῖν περὶ πυρός; ἀτροφῆσαν γὰρ αὐτίκα σβέννυται χωλόν, ἢ φασιν οἱ ποιηταί, γεγονὸς ἐξ ἑαυτοῦ. διὸ σκηριπτόμενον ὀρθοῦται κατὰ τὴν τῆς ἀναφθείσης ὕλης νομήν. ἐξαναλωθείσης δ' ἀφανίζεται. τὸ παραπλήσιον μέντοι καὶ τοὺς κατὰ τὴν Ἰνδικὴν δράκοντάς φασι πάσχειν. ἀνέρποντας γὰρ ἐπὶ τὰ μέγιστα τῶν ζῴων, ἐλέφαντας. περὶ νῶτα καὶ νηδὺν ἅπασαν εἰλεῖσθαι, φλέβα δ' ἣν ἂν τύχῃ διελόντας ἐμπίνειν τοῦ αἵματος, ἀπλήστως ἐπισπωμένους βιαίῳ πνεύματι καὶ συντόνῳ ῥοίζῳ. μέχρι μὲν οὖν τινὸς ἐξαναλουμένους ἐκείνους ἀντέχειν ὑπ' ἀμηχανίας ἀνασκιρτῶντας καὶ τῇ προνομαίᾳ τὴν πλευρὰν τύπτοντας ὡς καθιξομένους τῶν δρακόντων, εἶτ' ἀεὶ κενουμένου τοῦ ζωτικοῦ πηδᾶν μὲν μηκέτι δύνασθαι, κραδαινομένους δ' ἑστάναι, μικρὸν δ' ὕστερον καὶ τῶν σκελῶν ἐξασθενησάντων κατασεισθέντας ὑπὸ λιφαιμίας ἀποψύχειν· πεσόντας δὲ τοὺς αἰτίους τοῦ

1 θεοδμήτα M || 2 παιδὸς vulgo: παῖδ' οἱ M: corr. Boeckh. fortasse variaverat scriptor παίδοιν metri immemor || 4 κικλήσκουσιν Bergk || μάκαρες vulgo: μάκαρ M || τηλέφατον ante Bergkium || 5 δὴ M cf. p. 4–8, 8: δὲ a vulgo || 7 δὲ vulgo: om. aM || τὴν πυρὸς a: τοῦ πυρός M: τὴν τοῦ πυρός Usener cf. p. 250, 10 Bern. || 9 χρῶνται a vulgo: χρᾶται M unde χρῆται Bernays || 10 οὗ πάντα τὰ a: τὰ om. M || 11 φθαρτὸς ἄρα καὶ ὁ κόσμος (om. ἐστίν) a cf. Laert. VII 141 φθαρτὸς ἄρα ὁ κόσμος || 12 ταὐτοῦ a cf. p. 488, 19 || διαλυθήσεται a: διαλύσεται M: || 13 κραταιότατοι a: κράτιστοι M || 15 εἶθ' — ἐξαναλύονται a vulgo: om. M cf. Buecheler Mus. Rh. XXXII 442 || 16 τί δ' aM: ἔτι δὲ vulgo || 17 καὶ aM: καὶ τὸ vulgo || 18 δῆλον ante Bernaysium || 19 ἀποθνήσκων M || 20 στοχαζόμενος a vulgo: στοχασάμενος M || 23 κατὰ τὸν M || 24 μονὴν aM: correxit Usener || de fabulae quae sequitur auctore dixi Prol. p. 108 || 26 τῶν M: om. vulgo || 29 καθιξομένους vulgo: καθεξομένους M

θανάτου συναπολλύναι τρόπῳ τοιῷδε· μηκέτ' ἔχοντες τροφὴν οἱ δράκοντες, ὃν περιέθεσαν δεσμὸν ἐπιχειροῦσιν ἐκλύειν ἀπαλλαγὴν ἤδη ποθοῦντες. ὑπὸ δὲ τοῦ βάρους τῶν ἐλεφάντων θλιβόμενοι πιεζοῦνται, καὶ πολὺ μᾶλλον, ἐπειδὰν τύχῃ στέριφον ⟨ὂν⟩ καὶ λιθῶδες τὸ ἔδαφος· ἱλυσπώμενοι γὰρ καὶ πάντα ποιοῦντες εἰς διάλυσιν ὑπὸ τῆς τοῦ πιέσαντος βίας πεδηθέντες ἑαυτοὺς πολυτρόπως ἐν ἀμηχάνοις καὶ ἀπόροις γυμνάσαντες ἐξασθενοῦσι, ⟨καὶ⟩ καθάπερ οἱ καταλευσθέντες ἢ τείχους αἰφνίδιον ἐπενεχθέντος προκαταληφθέντες, οὐδ' ὅσον ἀνακῦψαι δυνάμενοι πνιγῇ τελευτῶσιν. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν ὑπομένει, δῆλονότι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος ἄφθαρτος οὐκ ἔσται. τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον ὧδέ φασιν· 'εἰ ὁ κόσμος ἀίδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα ἀίδια καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ ὀψίγονον φανῆναι τοῖς βουλομένοις ἐρευνᾶν τὰ φύσεως· εἰκὸς γάρ, μᾶλλον δ' ἀναγκαῖον ἀνθρώποις συνυπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας, οὐ μόνον ὅτι λογικῇ φύσει τὸ ἐμμέθοδον οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων οὐκ ἔστιν· ἴδωμεν οὖν τοὺς ἑκάστων χρόνους ἀλογήσαντες τῶν ἐπιτραγῳδουμένων θεοῖς μύθων * * * εἰ μὴ ἀίδιος ἄνθρωπος, οὐδ' ἄλλο τι ζῷον, ὥστ' οὐδ' αἱ δεδεγμέναι ταῦτα χῶραι. γῆ καὶ ὕδωρ καὶ ἀήρ. ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον δῆλόν ἐστιν'.

Ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρεσιλογίαν ἀπαντῆσαι, μή τις τῶν ἀπειροτέρων ἐνδοὺς ὑπαχθῇ· καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως, ἀφ' οὗ καὶ τῆς ἀπάτης οἱ σοφισταί· 'ἀνωμαλίας οὐκέτ' ἐχρῆν εἶναι τῆς γῆς, εἴπερ ἀίδιος ἦν ὁ κόσμος'. διὰ τί, ὦ γενναῖοι; φήσουσι γὰρ ἕτεροι παρελθόντες, ὅτι δένδρων οὐδὲν αἱ φύσεις τῶν ὀρῶν διαφέρουσιν, ἀλλὰ καθάπερ ἐκεῖναι καιροῖς μέν τισι φυλλορροεῖ, καιροῖς δὲ πάλιν ἀνηβᾷ, — διὸ καὶ τὸ ποιητικὸν εὖ εἴρηται 'φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη' — τὸν αὐτὸν τρόπον καὶ τῶν ὀρῶν τὰ μὲν ἀποθραύεται μέρη, τὰ δὲ προσφύεται. μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος, διότι τὰ μὲν δένδρα ὠκυτέρᾳ χρώμενα τῇ φύσει θᾶττον καταλαμβανομένην ἔχει τὴν ἐπίδοσιν, τὰ δὲ ὄρη βραδυτέρᾳ, διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν αἰσθητὰς ὅτι μὴ χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν. ἐοίκασί γε τὸν τρόπον τῆς γενέσεως αὐτῶν ἀγνοεῖν, ἐπεὶ κἂν ἴσως αἰδεσθέντες ἡσύχασαν. φθόνος δ' οὐδεὶς ἀναδιδάσκειν. ἔστι δ' οὔτε νέον τὸ λεγόμενον οὔτε ῥῆμαθ' ἡμῶν, ἀλλὰ παλαιὰ σοφῶν ἀνδρῶν, οἷς οὐδὲν ἀδιερεύνητον τῶν εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται. ὅταν τὸ κατακεκλεισμένον

3 πιεζοῦνται M: πιέζονται vulgo || 4 ὂν addidi || 6 γυμνώσαντες M || καὶ add. Bernays || 7 ἐπενεχθέντος M: ὑπενεχθέντος vulgo || 8 πνιγῇ vulgo: τῇ γῇ M || 10 ὧδέ φασιν *a* vulgo: ὧδε. φασὶν M Bernays || 11 τὸ τῶν *a*: τῶν M || 12 φανήσεται coni. Usener. num κἂν — φανείη? || 13 συνυπάρξας M || τὰς φύσεις *a*: φυσικῶς addebat post φύσεως Bernays || 14 φύσει τὸ vulgo: φύσει τε M: τὸ post ἐμμέθοδον traiecit *a* || 14 ἔστιν *a*M: ἔνεστιν vulgo || 15 ἀλογήσαντες vulgo: ἀναλογίσαντες *a*: ἀμελήσαντες M || '*deesse quibus εὑρημάτων tempora explicata erant vidit Mangey*' Usener cf. Bernays Theophr. ueber die Froemmigk. p. 47 || εἰ δὲ μὴ coni. Zeller || 16 οὐδ' *a*: οὐ M || 17 τὸν φθαρτὸν εἶναι κόσμον M || 18 εὑρεσιλογίαν *a*: εὑρησιλογίαν M || 20 ἀνωμαλίας M: τὰς *a* vulgo || 23 Hom. Z 147 || 25 ἀποθραύεται *a*: ἐπιθράβεται M || 28 βραχυτέρᾳ *a*M: βραδυτέρᾳ vulgo. βραδύτερα Bernays || μόλις *a* vulgo: μόγις M at cf. p. 489, 10. 490, 27 || 29 γε τὸν M: τε τὸν *a* fortasse δὲ τὸν || 30 οὔτε νέον *a*M: οὔτε τι νέον vulgo || 31 τὸ λεγόμενον *a*: τῶν λεγόμενων M || οὐ ῥήμαθ' ἡμῶν M: οὔθ' ἡμέτερον ῥῆμα *a* || παλαιῶν καὶ σοφῶν *a*

ἐν τῇ γῇ πυρῶδες ἄνω τῇ τοῦ πυρὸς ἐλαύνηται φυσικῇ δυνάμει, πρὸς τὸν οἰκεῖον τόπον στείχει, κἂν τινος λάβηται βραχείας ἀναπνοῆς, ἄνω μὲν συνανασπᾷ πολλὴν τῆς γεώδους οὐσίας, ὅσην ἂν οἷόν τ' ᾖ, ἔξω δ' ἐπιγενόμενον φέρεται βραδύτερον, ἡ δὲ μέχρι πολλοῦ συμπαρελθεῖν βιασθεῖσα πρὸς μήκιστον ἀρθεῖσ' ὕψος στέλλεται κορυφουμένη καὶ πρὸς ὀξεῖαν ἀποτελευτᾷ κορυφὴν τὸ πυρὸς σχῆμα μιμουμένη. γίνεται γὰρ τοῦ κουφοτάτου καὶ βαρυτάτου τότε, τῶν φύσει ἀντιπάλων, ἀναγκαία συρραξάντων διαμάχη πρὸς τὴν οἰκείαν ἑκατέρου χώραν ἐπειγομένου καὶ πρὸς τὸ βιαζόμενον ἀντιτείνοντος· τὸ μὲν δὴ πῦρ συνανέλκον ⟨τὴν⟩ γῆν ὑπὸ τοῦ περὶ αὐτὴν νευστικοῦ βρίθειν ἀναγκάζεται, ἡ δὲ γῆ κατωτάτω ταλαντεύουσα τῷ τοῦ πυρὸς ἀνωφοίτῳ συνεπελαφρισθεῖσα μετέωρος ἐξαίρεται καὶ κρατηθεῖσα μόλις ὑπὸ δυνατωτέρας τῆς ἐπικουφιζούσης ἰσχύος ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται κἀνίσταται. τί οὖν θαυμαστόν, εἰ μὴ τὰ ὄρη ταῖς τῶν ὑετῶν φοραῖς ἐξανήλωται τῆς συνεχούσης αὐτὰ δυνάμεως, ὑφ' ἧς καὶ διανίσταται μάλα παγίως καὶ κραταιῶς ἐνειλημμένης; λυθέντος γὰρ δεσμοῦ τοῦ συνέχοντος εἰκὸς ἦν διαλυθῆναι καὶ πρὸς ὕδατος σκεδασθῆναι, δυνάμει δὲ σφιγγόμενα τῇ τοῦ πυρὸς στεγανώτερον πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχειν. ταῦτα μὲν οὖν ἡμῖν λελέχθω περὶ τοῦ τὴν ἀνωμαλίαν τῆς γῆς πίστιν οὐκ εἶναι γενέσεως καὶ φθορᾶς κόσμου.

Πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάσσης ἐπιχειρηθὲν ἐκεῖνο δεόντως ἂν 26
λέγοιτο· μὴ τὰς ἀνασχούσας νήσους αὐτὸ μόνον ἀεὶ μηδ' εἴ τινες ἀποτομαὶ κατακλυζόμεναι τοῖς πάλαι χρόνοις αὖθις ἠπειρώθησαν, σκοπεῖτε. φυσιολογίας γὰρ ἀντίπαλον φιλονεικία τριπόθητον ἡγουμένης ἀλήθειαν ἰχνηλατεῖν. ἀλλὰ πολυπραγμονεῖτε καὶ τοὐναντίον, ὅσαι μὲν ἐν ἠπείροις οὐ παράλιοι μόνον, ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν. ὅση δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ναυσὶν ἐμπλεῖται. ⟨ἢ⟩ τὴν περὶ τὸν ἱερώτατον Σικελικὸν πορθμὸν ᾀδομένην ἱστορίαν ἀγνοεῖτε; τὸ ⟨μὲν⟩ παλαιὸν ⟨ἦν⟩ ἤπειρος Ἰταλίᾳ Σικελία συνάπτουσα, μεγάλων δὲ τῶν παρ' ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίας ἐπιδραμόντων ἡ μεθόριος ἐπεκλύσθη καὶ ἀνερράγη, παρ' ἣν καὶ πόλις ἐπώνυμος τοῦ πάθους Ῥήγιον κτισθεῖσ' ὠνομάσθη. καὶ τοὐναντίον οὔ προσεδόκησεν ἄν τις ἀπέβη. συνεζεύχθη μὲν γὰρ τὰ τέως διεστῶτα πελάγη κατὰ τὴν σύρρυσιν ἐνωθέντα, ἡ δ' ἡνωμένη γῆ τῷ μεθορίῳ πορθμῷ διεζεύχθη, παρ' ὃν ἤπειρος οὖσα Σικελία νῆσος ἐβιάσθη

1 ἄνω *a*: ἄνωθεν M || 2 πολλὴν *a*M: πολὺ vulgo || 3 ὅσην M: ὅσον *a* || ἂν *a*: ἂν εἰ M: ἂν ἀεὶ Bernays || ἦν M || ἡ δ' ἔξωθεν Bernays || ἐπιγενόμενον *a*M: ἐπιγενομένου Buecheler ceteris servatis || φέρεσθαι βραχυτέραν *a*M: corr. Bernays || 4 ἡ δὲ scripsi sc. γεώδης οὐσία: ἢ καὶ M: ἢ (om. καὶ) *a* || 5 στέλλεται M: συστέλλεται *a* | κορυφουμένη *a*M: ἀποκορυφουμένη vulgo. an delendum? || 7 συρραξάντων *a*M: συρρηξάντων vulgo || 8 πρὸς τὸ βιαζόμενον vulgo: τὸ βιαζόμενον *a*M || τὴν addidi || 12 καὶ ἵσταται vulgo: correxi || ταῖς τῶν *a*: τῶν M || 14 λυθέντος *a*: λυθέντα M || 15 στεγανώτερον *a*: στεγανώτερα M || 16 ἀντέχειν *a*: ἀντέχει M || 19 μόνον εἰ μηδέ τινες M: μόνον ἀλλὰ καὶ εἰ μηδ' εἴ τινες *a*: corr. Bernays || 20 τοῖς πάλαι *a*: τὸ πάλαι M vulgo || σκοπεῖν χρή *a* || 21 φιλονεικίας M || ἰχνηλατήσειν *a* || 22 πολυπραγμονεῖται *a*: πολυπραγμονεῖν ἐστι M: corr. Mangey. πολυπραγμονεῖτ' ἔτι Buecheler || 23 μοῖραι *a*: μοῖρας M || 24 τὴν περὶ M: ἡ περὶ *a*: quae coniunxi scribens ἢ τὴν περὶ || fortasse εὐρύτατον || 24 ᾀδομένη ἱστορία *a* || 25 ἀγνοεῖται παρ' οὐδενὸς τῶν ἐλλογίμων interpolat *a* || τὸ παλαιὸν ἠπείρῳ vulgo: correxi cf. p. 486, 18. τὸ πάλαι μὲν ἦν ἤπειρος praeiverat Buecheler || Σικελίαν vulgo: correxi cf. v. 30. positura hiatus Σικελία Ἰταλίᾳ vitatur || 25 συνάπτουσα M: προσάπτουσα *a*: συνάπτουσαν vulgo || 28 οὔ *a*M: ἡ vulgo || 28 ἀπέβη *a*: ἐπέβη M

γενέσθαι. πολλὰς δὲ καὶ ἄλλας λόγος τῆς θαλάττης ὑπερσχούσης ἠφανίσθαι πόλεις καταποθείσας, ἐπεὶ καὶ κατὰ Πελοπόννησόν φασι τρεῖς,

Αἴγειραν Βοῦράν τε καὶ ὑψηλὴν Ἑλίκειαν
τείχεσιν, ἣ τάχ' ἔμελλε περὶ βρύα μύρια φύσειν.

εὐδαίμονας τὸ παῖλαι γενομένας πολλῇ τοῦ πελάγους ἐπικλυσθῆναι φορᾷ. ἡ δ' Ἀτλαντὶς νῆσος, 'ἅμα Λιβύης καὶ Ἀσίας μείζων', ἣ φησιν ἐν Τιμαίῳ Πλάτων. 'ἡμέρᾳ μιᾷ καὶ νυκτὶ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων δῦσα κατὰ τῆς θαλάσσης ἐξαίφνης ἠφανίσθη', γενομένη πέλαγος οὐ πλωτόν, ἀλλὰ βαραθρῶδες. οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῆς θαλάττης συνεργεῖ· φαίνεται γὰρ ὢν μὲν ἐξαναχωροῦσα, τὰ δ' ἐπικλύζουσα. ἐχρῆν δὲ μὴ θάτερον τῶν γινομένων, ἀλλὰ συνάμφω θεωροῦντας ἐπικρίνειν, ἐπεὶ κἂν τοῖς περὶ βίον ἀμφισβητήμασιν ὁ νόμιμος δικαστὴς πρὶν καὶ τῶν ἀντιδίκων ἀκοῦσαι, γνώμην οὐκ ἀποφανεῖται.

27 Καὶ μὴν ὁ τρίτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται μὴ ὑγιῶς ἐρωτηθείς, ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως. οὐ γὰρ δήπουθεν οὐ πάντα τὰ μέρη φθείρεται, φθαρτὸν ἐστιν ἐκεῖνο, ἀλλ' οὐ πάντα τὰ μέρη ἅμα καὶ ἐν ταὐτῷ ἀθρόα κατὰ τὸν αὐτὸν χρόνον· ἐπεὶ καὶ ἄκρον ἀποκοπείς τις δάκτυλον ζῇ οὐ κεκώλυται, εἰ δὲ τὴν κοινωνίαν τῶν μερῶν καὶ μελῶν πᾶσαν, αὐτίκα τελευτήσει. τὸν αὐτὸν οὖν τρόπον, εἰ μὲν συλλήβδην ἅπαξάπαντα τὰ στοιχεῖα ὑφ' ἕνα καιρὸν ἠφανίζετο, φάσκειν ἐνδέχεσθαι τὸν κόσμον φθορὰν ἢν ἀναγκαῖον. εἰ δ' ἕκαστον ἰδίᾳ πρὸς τὴν τοῦ γείτονος μεταβάλλει φύσιν, ἀθανατίζεται μᾶλλον ἢ φθείρεται κατὰ τὸ φιλοσοφηθὲν ὑπὸ τοῦ τραγικοῦ·

θνῄσκει δ' οὐδὲν τῶν γιγνομένων
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὴν ἑτέραν ἀπέδειξεν.

παντελής γε μὴν εὐήθεια τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν τεχνῶν ἐξετάζεσθαι. τῇ γὰρ περὶ τὸν λόγον ἀτοπίᾳ τις ἀκολουθήσας νέον τὸν κόσμον ἀποφανεῖ κομιδῇ μόλις πρὸ χιλίων παγέντα ἐνιαυτῶν, ἐπεὶ καὶ οὓς παρειλήφαμεν τῶν ἐπιστημῶν εὑρετὰς τὸν λεχθέντ' τῶν ἐνιαυτῶν ἀριθμὸν οὐχ ὑπερβάλλουσιν. εἰ δὲ δὴ καὶ λεκτέον τὰς τέχνας ἰσήλικας ἀνθρώπων γένει, μεθ' ἱστορίας φυσικῆς, ἀλλ' οὐκ ἀπερισκέπτως καὶ ῥᾳθύμως λεκτέον. ἡ δ' ἱστορία τί; φθοραὶ τῶν κατὰ γῆν οὐκ ἀθρόων ἁπάντων ἀλλὰ τῶν πλείστων δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθενται. πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς. κατασκήπτειν δ' ἑκατέραν ἐν μέρει φασὶν ἐν πάνυ μακραῖς ἐτῶν περιόδοις. ὅταν μὲν οὖν ἐμπρησμὸς καταλαμβάνῃ, ῥεῦμ' αἰθερίου πυρὸς ἄνωθεν ἐκχεόμενον πολλαχῇ σκεδάννυσθαι μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχον· ὅταν δὲ κατακλυσμός, ἅπασαν τὴν ὕδατος [κατομβρίαν]

---

1 ὑπερσχούσης M: ὑπερεχούσης *a* vulgo: ὑπερχεούσης Scaliger || 5 πολλῇ ex πολλοῦ corr. *a*: πολὺ M || 6 Τιμαίῳ p. 24 e 25 c || 10 τῆς θαλάττης *a*: τῇ θαλάττῃ M || num τῶν μὲν? || 12 βίον ἀμφισβητήμασιν *a*: βίων ἀμφισαντήμασιν M || 12 πρὶν καὶ scripsi: πρὶν παρὰ *a*: πρὶν περὶ M: περί delebat Buecheler, ἑκατέρου coni. Usener || 15 τὰ μέρη φθείρεται *a*: τὰ om. M || 17 καὶ M vulgo: κἂν *a* || 19 δέχεσθαι coni. Usener || 21 μᾶλλον μᾶλλον φθείρεται M || τραγικοῦ Eurip. fr. 836 N. || poetae restituendum puto πρὸς ἄλλου, Bernays πρὸς ἄλλῳ cf. Aët. Pl. V 19 3 || 25 cf. Aug. civ. d. XII 10. 11 || 30 τί vulgo: τίς *a*M Bernays || 33 ὅταν M: ὅτε *a* || ἐμπρησμὸς vulgo: ἐμπρησμοῖς *a*: ἔμπρησις M || καταλαμβάνει *a*M: corr. M pr. man. || 35 ὅταν M: ὅτε *a* || 35 κατομβρίαν M vulgo: om. *a*. addidit qui subiectum κατα-

κατασύρειν φύσιν αὐθιγενῶν ποταμῶν καὶ χειμάρρων οὐ πλημμυρούντων μόνον, ἀλλὰ καὶ τὸ καθεστὸς προσυπερβαλλόντων τῆς ἐπιβάσεως καὶ τὰς ὄχθας ἢ τῇ βίᾳ παραρρηγνύντων ἢ ὑπερπηδώντων ἀναβάσει τῇ πρὸς μήκιστον ὕψος· ὅθεν ὑπερβλύσαντας εἰς τὴν παρακειμένην ἀναχεῖσθαι πεδιάδα, τὴν δὲ τὸ μὲν πρῶτον εἰς μεγάλας λίμνας διανέμεσθαι πρὸς τὰ κοιλότερα ἀεὶ τοῦ ὕδατος συνίζοντος, αὖθις δ' ἐπιρρέοντος καὶ τοὺς μεθορίους ἰσθμοὺς κατακλύζοντος, οἷς διεκρίνοντο αἱ λίμναι, εἰς μέγεθος ἀχανοῦς πελάγους κατὰ τὴν πολλῶν ἕνωσιν ἀποκρίνεσθαι. πρὸς δὲ μαχομένων δυνάμεων ἐν μέρει τοὺς ἐν ἐναντίοις οἰκοῦντας τόπους ἀπόλλυσθαι, πυρὶ μὲν τοὺς ἐν ὄρεσι καὶ χεωλόφοις καὶ δυσύδροις χωρίοις ἅτ' οὐκ ἔχοντας φύσει πυρὸς ἀμυντήριον ἄφθονον ὕδωρ· ἔμπαλιν δ' ὕδατι τοὺς παρὰ ποταμοῖς ἢ λίμναις ἢ θαλάττῃ. χειτόνων γὰρ ἅπτεσθαι φιλεῖ τὰ κακὰ πρώτων ἢ καὶ μόνων. κατὰ δὴ τοὺς λεχθέντας τρόπους δίχα μυρίων ἄλλων βραχυτέρων φθειρομένου τοῦ πλείστου μέρους ἀνθρώπων ἐπιλείπειν ἐς ἀνάγκης καὶ τὰς τέχνας· δίχα γὰρ τοῦ μεθοδεύοντος οὐκ εἶναι καθ' αὑτὴν ἰδεῖν τὴν ἐπιστήμην. ἐπειδὰν δ' αἱ μὲν κοιναὶ νόσοι χαλάσωσιν, ἄρξηται δ' ἀνηβᾶν καὶ βλαστάνειν τὸ γένος ἐκ τῶν μὴ προκαταληφθέντων τοῖς ἐπιβρίσασι δεινοῖς, ἄρχεσθαι καὶ τὰς τέχνας πάλιν συνίστασθαι, οὐ τότε πρῶτον γενομένας, ἀλλὰ τῇ μειώσει τῶν ἐχόντων ὑποσπανισθείσας.

13

Simplicius in Ar. de caelo p. 510ª41 Brand. 252ᵇ40 Karsten

Δημόκριτος δέ, ὡς Θεόφραστος ἐν τοῖς Φυσικοῖς ἱστορεῖ, ὡς ἰδιωτικῶς ἀποδιδόντων τῶν κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὰ τοιαῦτα αἰτιολογούντων ἐπὶ τὰς ἀτόμους ἀνέβη.

14

Galenus de elementis sec. Hippocratem I 9 vol. I p. 486 Kuehn.

Ὅσα γὰρ ἄλλα ταῖς ἀπαθῆ μὲν τὴν οὐσίαν ὑποτιθεμέναις αἱρέσεσι παραπλεκούσαις δὲ τὸ κενὸν ἐναντιοῦται τὰ μὲν ὑπὸ Ἀριστοτέλους τε καὶ Θεοφράστου λέλεκται, τὰ δὲ κτλ.

κλυσμόν vulgari opinor voce explicare studebat. tuebatur vocem Buecheler l. c. p. 443. omnino cf. supra p. 486, 14 || 1 κατασύρει *a*: κατασύρῃ M: corr. Buecheler || ποταμῶν καὶ χειμάρρων hoc ordine *a*M || 2 προσυπερβαλλόντων *a*: προσεπιβαλλόντων M || 3 ὑπερποδώντων M || 4 ὑπερβλήσαντες M || 5 πελάγους vulgo (deficit *a*): πελάγῃ M, unde μεγέθους ἀχανοῦς πελάγῃ coni. Buecheler. sed poscitur singularis propter sententiam, et πέλαγος ἀχανές tritum est velut Plutarcho || 7 πολλῶν M: τῶν πολλῶν vulgo || 8 τοὺς ἐναντίοις M || οἰκοῦντα M || 10 φύσει recte vulgo: φησί M: φυσικόν Buecheler || περὶ M || 11 φιλεῖ M: φιλεῖν vulgo || 12 ἤ γε μόνων vulgo: ἡγουμένων M: correxi || 13 ἐπιλιπεῖν *a*M: corr. Buecheler || 14 τὴν *a* vulgo: om. M || 16 μὴ προκαταλειφθέντων M: προσκαταλειφθέντων *a*: recte vulgo || 17 ἀνίστασθαι *a* || 17 οὐ τότε Buecheler: οὐ τὸ *a*: οὔτε M

19 eadem similiter Simplicius l. c. p. 511ª23. 515ª25 Br.

15

Simplicius in phys. f. 165r48—50.

Ἄδηλον οὖν καὶ τὸ τί ἐστιν, εἴπερ οἱ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναί φασιν, ὡς τὸν Πλάτωνα νομίζουσιν ὅ τε Εὔδημος καὶ ὁ Θεόφραστος καὶ ὁ Ἀλέξανδρος.

16

Aëtius de Placitis II 20 3 [p. 348, 10]

Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον . . . Θεόφραστος ἐν τοῖς Φυσικοῖς γέγραφεν, ἐκ πυριδίων τῶν συναθροιζομένων μὲν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον.

17

Laertius Diogenes VIII 48

Τοῦτον (Pythagoram) ὁ Φαβωρῖνός φησιν . . . . . καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην· ὡς δὲ Θεόφραστος, Παρμενίδην.

18

Cicero Luculli 39 123

Hicetas Syracusius, ut ait Theophrastus, caelum solem lunam stellas supera denique omnia stare censet neque praeter terram rem ullam in mundo moveri: quae cum circum axem se

---

1 cf. Aristot. phys. IV 10 p. 218a 33 οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν, οἱ δὲ τὴν σφαῖραν αὐτήν. καίτοι τῆς περιφορᾶς καὶ τὸ μέρος χρόνος τίς ἐστι, περιφορὰ δέ γε οὔ Platon. defin. p. 411 B χρόνος ἡλίου κίνησις μέτρον φορᾶς. ex Theophrasto pendent Aëtii Placita I 22 1 Πλάτων οὐσίαν χρόνου τὴν τοῦ οὐρανοῦ κίνησιν || 2 χρόνον εἶναί φασιν *a*EF: εἶναι om. Par. 1907 et Usener

4 Stobaei culpa Theophrasti testimonium tamquam nova opinio recensetur. ἢ ὡς Θεόφραστος coniecit Usener || e Theophrasto fluxit Hippol. 14 3 τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκάστην ἡμέραν, item Plut. Strom. 4 φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων πυριδίων ἀθροίζεσθαι cf. Prol. p. 220 || 5 μὲν ante ἐκ Plut.: ante τῶν Stob.

7 Laert. IX 21 (Parmen.) πρῶτος δ' οὗτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ καὶ ἐν μέσῳ κεῖσθαι . . . . καθ' ἃ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς Φυσικοῖς κτλ. hinc patet Theophrasti opinionem non referendam esse etiam ad τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον quod placuit I. H. Vossio Krit. Blaetter u. geogr. Abh. p. 148. eadem lis est de Vespero Laert. VIII 14 πρῶτόν τε (φασὶ Πυθαγόραν) Ἕσπερον καὶ Φωσφόρον τὸν αὐτὸν εἰπεῖν ὡς φησι Παρμενίδης [corr. οἱ δέ φασι Παρμενίδην sive ὡς δέ φησι Φαβωρῖνος Παρμενίδης Karsten], ubi conl. Plac. II 15 7 Laertii sive Favorini ore Theophrastum loqui suspicor cf. ad fr. 18

9 cf. Prol. p. 121 Laert. VIII 85 (Philolaus) καὶ τὴν γῆν κινεῖσθαι κατὰ κύκλον πρῶτος εἶπεν, οἱ δ' Ἱκέταν τὸν Συρακόσιόν φασιν Plac. III 13 2. 3 ubi post Philolaum Heraclides Ponticus et Ecphantus nominantur, quem ex ore magistri Hicetae hanc doctrinam vulgasse coniecit Boeckh Kosm. Syst. d. Plat. 122. cf. Schiaparelli I precursori di Cop. p. 10[30]

summa celeritate convertat et torqueat, eadem effici omnia quae si stante terra caelum moveretur.

19

Aëtius de Plac. II 29 7

Ἀναξαγόρας ὥς φησι Θεόφραστος (ἐκλείπειν τὴν σελήνην) καὶ τῶν ὑποκάτω τῆς σελήνης ἔσθ' ὅτε σωμάτων ἐπιπροσθούντων.

20

Proclus in Tim. p. 138 Basil. 328 Schneid.

Ἦ γὰρ μόνος ἢ μάλιστα Πλάτων τῇ ἀπὸ τοῦ προνοοῦντος αἰτίᾳ κατεχρήσατο' φησὶν ὁ Θεόφραστος τοῦτό γε καλῶς αὐτῷ μαρτυρῶν.

21

Taurus ap. Philop. adv. Procl. XIII 15 (I 8ᵛ)

Ὁ δημιουργὸς ἤρχετο τῆς συστάσεως τοῦ κόσμου ἐκ πυρὸς καὶ γῆς. δεῖ δὲ τὸ γενησόμενον σωματοειδὲς ἀντιτυπικὸν εἶναι καὶ ὁρατόν ... Θεόφραστός φησιν 'εἰ τὸ ὁρατὸν καὶ τὸ ἁπτὸν ἐκ γῆς καὶ πυρός ἐστι, τὰ ἄστρα καὶ ὁ οὐρανὸς ἔσται ἐκ τούτων· οὐκ ἔστι δέ'. ταῦτα λέγει εἰσάγων τὸ πέμπτον σῶμα τὸ κυκλοφορητικόν.

---

2 *quae si* Manutius: *quasi* libri || 3 fr. 19 omissum in Useneri sylloge typothetae culpa cf. Prol. 138. 217 || plenius Theophrastum transcripsit Hippolytus 8 9 ἐκλείπειν δὲ τὴν σελήνην γῆς ἀντιφραττούσης, ἐνίοτε δὲ καὶ τῶν ὑποκάτω τῆς σελήνης || 6 κατεχρήσατο sc. ut ἕνα εἶναι τὸν κόσμον probaret

7 ex eodem, unde Taurus, Theophrasti loco fluxit Procli mentio ad Plat. Tim. (p. 31 B) III p. 140 sq. Bas. νῦν δὲ λέγωμεν ὡς ἐπεὶ διαστατός ἐστιν ὁ κόσμος καὶ αἰσθήσει ληπτός, διά τε ὁράσεως γνωρίζεται καὶ ἁφῆς, ὡς μὲν ὅλος δι' ὅλου φωτὸς πεπληρωμένος ὁρατὸς ὤν, ὡς δὲ στερεὸς ἁπτὸς ὑπάρχων. ἐξαρκεῖ γὰρ αὐτῷ διὰ τῶνδε τῶν αἰσθήσεων πάντα τὰ αἰσθητὰ περιλαβεῖν. καὶ ἔστιν ..... ἐναντία ταῦτα, τὸ ὁρατὸν καὶ ⟨τὸ⟩ ἁπτόν· ταῦτα γὰρ ὡς πλεῖστον ἀφεστῶτα καὶ ὑπὸ τὸ αὐτὸ γένος ἐναντία· καὶ [141] γὰρ αἰσθητὰ ἄμφω καὶ τοῦτο αὐτῶν τὸ κοινὸν γένος, καὶ πλεῖστον ἀφέστηκεν, εἴπερ τὸ μὲν ἀμέσως αἰσθητόν, τὸ δὲ οὐκ ἀμέσως. εἰ δὲ ζητοίη μὲν τὰ ἐν μεταβλητοῖς ἐναντία τῶν στοιχείων, οὐ τὸ πῦρ καὶ τὴν γῆν, ἀλλὰ τὸ πῦρ καὶ τὸ ὕδωρ ἐροῦμεν, μάλιστα γὰρ τὸ ὕδωρ σβέννυσι τὸ πῦρ. καὶ ἔστιν ἑκάτερος τῶν λόγων ἀληθής· κοινὸν γὰρ ἀμφοῖν τὸ ἐν τοῖς ἄκροις τιθέναι τὴν ἐναντίωσιν, καὶ ταύτῃ συμφωνοῦσιν αἱ αἱρέσεις, ὡς μὲν ἐν αἰσθητοῖς τῷ πυρὶ τῆς γῆς ἐναντίας οὔσης, ὡς δὲ ἐν τοῖς μεταβλητοῖς τῷ πυρὶ τοῦ ὕδατος. διὸ καὶ αὐτὸς τῷ ἁπτῷ τὸ ὁρατὸν ἀντέθηκεν [ᾗ] αἰσθητὰ τὰ στοιχεῖα λαμβάνων, ὡς ἂν μή πω τὴν μεταβολὴν αὐτῶν ἐπισκοπῶν, καθ' ἣν μᾶλλον ἠναντίωται τῷ πυρὶ τὸ ὕδωρ τῆς γῆς. καὶ οὐχ ὡς οἴεται Θεόφραστος, ἀτελής ἐστιν ὁ λόγος· ἀπορεῖ γὰρ οὕτως· τί δή ποτε πυρὸς μὲν ἴδιον εἶπε τὸ ὁρατὸν καὶ γῆς τὸ ἁπτόν, τῶν δὲ λοιπῶν στοιχείων οὐδέν. λέγωμεν δὴ οὖν πρὸς αὐτόν, ὅτι καὶ ἡμεῖς ὁρῶμεν τὸν κόσμον καὶ ἁπτόμεθα αὐτοῦ, γευόμεθα δὲ ἢ ἀκούομεν αὐτοῦ ἢ ὀσφραινόμεθα οὐκέτι κτλ. ceterum si quinti corporis mentionem in ipso Theophrasti loco explanatam invenerat Taurus, vereor ut ad Opiniones Usener (qui Procli locum indicavit) recte hoc fragmentum rettulerit, a quibus Peripateticae doctrinae expositio fere exclusa erat

22

Plutarchus quaest. Platon. VIII 1 p. 1006 c

Θεόφραστος δὲ καὶ προσιστορεῖ τῷ Πλάτωνι πρεσβυτέρῳ γενομένῳ μεταμέλειν ὡς οὐ προσήκουσαν ἀποδόντι τῇ γῇ τὴν μέσην χώραν τοῦ παντός.

23

Alexander in Meteora f. 91r vol. I 268 Id.

Οἱ μὲν γὰρ αὐτῶν (physicorum) ὑπόλειμμα λέγουσιν εἶναι τὴν θάλασσαν τῆς πρώτης ὑγρότητος· ὑγροῦ γὰρ ὄντος τοῦ περὶ τὴν γῆν τόπου τὰ πρῶτα τῆς ὑγρότητος ὑπὸ τοῦ ἡλίου ἐξατμίζεσθαι καὶ γίνεσθαι [τὰ] πνεύματά τε ἐξ αὐτοῦ καὶ τροπὰς ἡλίου τε καὶ σελήνης, ὡς διὰ τὰς ἀτμίδας ταύτας καὶ τὰς ἀναθυμιάσεις κἀκείνων τὰς τροπὰς ποιουμένων, ἔνθα ἡ ταύτης αὐτοῖς χορηγία γίνεται περὶ ταῦτα τρεπομένων· τὸ δέ τι αὐτῆς ὑπολειφθὲν ἐν τοῖς κοίλοις τόποις θάλατταν εἶναι· διὸ καὶ ἐλάττω γίνεσθαι ξηραινομένην ἑκάστοτε ὑπὸ τοῦ ἡλίου καὶ τέλος ἔσεσθαί ποτε ξηράν. ταύτης τῆς δόξης ἐγένοντο, ὡς ἱστορεῖ ὁ Θεόφραστος,

---

1 cf. Plutarch. Num. c. 11 de Pythagoreis τὴν δὲ γῆν οὔτε ἀκίνητον οὔτε ἐν μέσῳ τῆς περιφορᾶς οὖσαν ἀλλὰ κύκλῳ περὶ τὸ πῦρ αἰωρουμένην οὐ τῶν τιμιωτάτων οὐδὲ τῶν πρώτων τοῦ κόσμου ὑπάρχειν. ταῦτα δὲ καὶ Πλάτωνά φασι πρεσβύτην γενόμενον διανενοῆσθαι περὶ τῆς γῆς ὡς ἐν ἑτέρᾳ χώρᾳ καθεστώσης, τὴν δὲ μέσην καὶ κυριωτάτην ἑτέρῳ τινὶ κρείττονι προσήκουσαν [scil. igni centrali]. Theophrasto fidem denegant Martin Etud. II 91 et Boeckh Kosm. Syst. 144 sq. Academicorum potius pythagorissantium hanc opinionem esse rati. cf. Aristot. d. cael. II 13 p. 293a 27 πολλοῖς δ' ἂν καὶ ἑτέροις συνδόξειε (praeter Pythagoreos) μὴ δεῖν τῇ γῇ τὴν τοῦ μέσου χώραν ἀποδιδόναι ... τῷ γὰρ τιμιωτάτῳ οἴονται προσήκειν τὴν τιμιωτάτην ὑπάρχειν χώραν .. ὥστ' ἐκ τούτων ἀναλογιζόμενοι οὐκ οἴονται ἐπὶ τοῦ μέσου κεῖσθαι τῆς σφαίρας αὐτήν, ἀλλὰ μᾶλλον τὸ πῦρ.

4 operae pretium erit Aristoteleum exemplum conferre, cuius pleraque paraphrasis esse videntur (quid praeterea certo Theophrasti iudicem, litteris distinxi): Aristot. Meteor II 2 p. 355a 21 τὸ δ' αὐτὸ συμβαίνει καὶ τούτοις ἄλογον καὶ τοῖς φάσκουσι τὸ πρῶτον ὑγρᾶς οὔσης καὶ τῆς γῆς καὶ τοῦ κόσμου τοῦ περὶ τὴν γῆν ὑπὸ τοῦ ἡλίου θερμαινομένου ἀέρα γενέσθαι καὶ τὸν ὅλον οὐρανὸν αὐξηθῆναι καὶ τοῦτον πνεύματά τε παρέχεσθαι καὶ τὰς τροπὰς αὐτοῦ ποιεῖν. p. 353b 5 οἱ δὲ σοφώτεροι τὴν ἀνθρωπίνην σοφίαν ποιοῦσιν αὐτῆς γένεσιν. εἶναι γὰρ τὸ πρῶτον ὑγρὸν ἅπαντα τὸν περὶ τὴν γῆν τόπον, ὑπὸ δὲ τοῦ ἡλίου ξηραινόμενον τὸ μὲν διατμίσαν πνεύματα καὶ τροπὰς ἡλίου καὶ σελήνης φασὶ ποιεῖν, τὸ δὲ λειφθὲν θάλατταν εἶναι. διὸ καὶ ἐλάττω γίνεσθαι ξηραινομένην οἴονται καὶ τέλος ἔσεσθαί ποτε πᾶσαν ξηράν. ἔνιοι δ' αὐτῶν θερμαινομένης φασὶν ὑπὸ τοῦ ἡλίου τῆς γῆς οἷον ἱδρῶτα γίγνεσθαι διὸ καὶ ἁλμυρὰν εἶναι. καὶ γὰρ ὁ ἱδρὼς ἁλμυρός. οἱ δὲ τῆς ἁλμυρότητος αἰτίαν τὴν γῆν εἶναί φασιν. καθάπερ γὰρ τὸ διὰ τῆς τέφρας ἠθούμενον ἁλμυρὸν γίνεται τὸν αὐτὸν τρόπον καὶ ταύτην ἁλμυρὰν εἶναι μιχθείσης αὐτῇ τοιαύτης γῆς || 6 τὰ delevi cf. Ar. ll. cc. || ἐξ αὐτῆς probabiliter Usener sed cf. Ar. l. c. καὶ τοῦτον || 7 ταύτης malim. de Anaximandro cf. Hippolyt. 6 τ ἀνέμους δὲ γίνεσθαι τῶν λεπτοτάτων ἀτμῶν τοῦ ἀέρος ἀποκρινομένων καὶ ὅταν ἀθροισθῶσι κινουμένων. ὑετὸν δὲ ἐκ τῆς ἀτμίδος τῆς ἀναδιδομένης ἐκ τῶν ὑφ' ἥλιον [?] || 8 ἔνθεν coni. Usener || 9 cf. Placit. III 16 1 Ἀναξίμανδρος τὴν θάλασσάν φησιν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήρανε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλεν

Ἀναξίμανδρός τε καὶ Διογένης. Διογένης δὲ καὶ τῆς ἁλμυρότητος ταύτην αἰτίαν λέγει, ὅτι ἀνάγοντος τοῦ ἡλίου τὸ γλυκὺ τὸ καταλειπόμενον καὶ ὑπομένον ἁλμυρὸν εἶναι συμβαίνει. οἱ δέ τινές φασιν οἷον ἱδρῶτά τινα τῆς γῆς εἶναι τὴν θάλασσαν· θερμαινομένην γὰρ αὐτὴν ὑπὸ τοῦ ἡλίου ταύτην ἀφιέναι τὴν ὑγρότητα· διὸ καὶ ἁλμυρὰν αὐτὴν εἶναι· τοιοῦτος γὰρ ὁ ἱδρώς· ταύτης τῆς δόξης Ἐμπεδοκλῆς γέγονε. τρίτη δὲ δόξα περὶ θαλάττης ἐστίν, ὡς ἄρα τὸ ὕδωρ τὸ διὰ τῆς γῆς διηθούμενον καὶ διαπλῦνον αὐτὴν ἁλμυρὸν γίνεται τῷ ἔχειν τὴν γῆν τοιούτους χυμοὺς ἐν αὐτῇ, οὗ σημεῖον ἐποιοῦντο τὸ καὶ ἅλας ὀρύττεσθαι ἐν αὐτῇ καὶ νίτρα, εἶναι δὲ καὶ ὀξεῖς χυμοὺς πολλαχοῦ τῆς γῆς. ταύτης πάλιν τῆς δόξης ἐγένοντο Ἀναξαγόρας τε καὶ Μητρόδωρος.

6 cf. Plac. III 16 3 Ἐμπεδοκλῆς ἱδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου cf. ibid. III 16 4 Heraclitum testatur Olympiodorus in meteor. f. 35r ἄλλοι δὲ ἔλεγον ὧν εἷς ὑπῆρχεν Ἡράκλειτος ὅτι ἱδρὼς ὑπάρχει τῆς γῆς ἡ θάλασσα καὶ ὥσπερ ὁ τῶν ζώων ἱδρὼς περίττωμα ὑπάρχων τοῦ σώματος ἁλμυρός ἐστιν, οὕτω καὶ ὁ τῆς γῆς ἱδρὼς περίττωμα ταύτης ὑπάρχων ἁλμυρὸς ὑπάρχει καὶ οὕτως ἐστὶν ἡ θάλασσα ἁλμυρά | 8 χειμοὺς ed.: correxi || cf. Placit. III 16 5 Μητρόδωρος διὰ τὸ διηθεῖσθαι διὰ τῆς γῆς μετειληφέναι (τὴν θάλασσαν) τοῦ περὶ αὐτὴν πάχους καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα [cf. Aristot. l. c. p. 353b 15] et Hippolyt. 14 4. Anaxagoreae similem memoriam repetit de Archelao Diogenes II 17 τὴν δὲ θάλατταν ἐν τοῖς κοίλοις διὰ τῆς γῆς ἡθουμένην συνεστάναι

Sequuntur in Useneri sylloge p. 42sq. quae aliter ordinavi haec:

FRAGMENTA ΦΥΣΙΚΩΝ ΔΟΞΩΝ ΕΠΙΤΟΜΗΣ

fr. 24 = p. 482, 14—16
fr. 25 = p. 482, 17—483, 3 } fr. 6a

FRAGMENTUM LIBRORUM II ΠΕΡΙ ΑΝΑΞΑΓΟΡΟΥ

fr. 26 = adnot. ad fr. 4 p. 479, 1

INCERTA

fr. 27
fr. 28 } = Prol. p. 143[1]
fr. 29

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΣΙΚΩΝ ΔΟΞΩΝ ΒΙΒΛΙΩΝ ΙΗ

ΑΠΟΣΠΑΣΜΑΤΙΟΝ

ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΝ

Codicum sigla

P Parisinus 1921 chart. s. XIV quadr. [0,29×0,21] f. 297^{r} sqq. a nobis conlatus. distinguuntur duae manus pr. P et sec. P

F Laurentianus LXXXVII 20 bombyc. s. XIV, quadr. f. 147^{r} sqq. a Hier. Vitellio excussus. distinguuntur item pr. F et sec. F

SUPPLEMENTUM DE CODICIBUS

Quae de Laurentiano ab Hieronymo Vitellio professore Florentino edoctus sum cum ad Prolegomena [p. 115—117] adhibere mihi non licuerit, nunc quae necessario retractanda sunt proferam. feliciter contigit, ut simul alter Theophrasti codex P Academiae Berolinensis rogatu nuperrime in nostrum usum Parisiis huc transferretur itaque cum Vitellius, quae est illius in codicibus excutiendis scientia et experientia, non solum verba scriptoris diligenter cum F contulisset, sed etiam librariorum discrepantiam distinxisset (nam pr. F codicem exaravit, recentior sec. F, quode infra, correxit), quin etiam incredibili labore litteras in extremis versibus vel evanidas vel superducto atramento refectas indi-

casset, facili mihi postea negotio codicis P varietatem apice tenus cum illius imagine comparare licuit. Brandisius enim accuratius sane P quam F excusserat. sed praeterquam quod non ita paucas lectiones probas prorsus neglexit (ut § 17 οὔτ' ἄλλοις, § 18 τὰ δὲ μέλανα, § 20 ἐναρμόττον, § 22 ἀλλὰ δεῖ, § 54 τοῖς ἀλλόχρωσιν, § 60 πειραθῶμεν), librarios non certo semper discrevit. scripsit enim pr. P (s. XIV) non modo contextum, sed etiam partim eorum, quae in margine suppleta sunt velut § 1. 2 φέρεται πρὸς τὸ ὅμοιον κτλ., sec. P recentior (s. XV?) lacunas explevit (cf. § 21), argumenta margini applicavit, emendationes hic illic versiculis superscripsit. tertiam manum semel in hac codicis parte animadverti, quae f. 279^{r}, ubi incipit fragmentum, θεοφράστου περὶ αἰσθήσεων margini summo adscripsit. antea pr. P rubro eundem titulum paulo infra exaraverat.

Ex codicibus PF denuo conlatis quid de ipsorum necessitudine iudicandum sit, planum iam ac compertum est. omnino enim multo sunt similiores sibi, quam ex Brandisii apparatu conici potuit. nam utrimque § 80 ἔστιν ὁρᾶν δὲ et τοὺς πόρους et εἶναι τῶν λευκῶν, § 70 τὸ ὑγιαῖνον τοῦ κάμνοντος exstat: clara habet P, oblitterata sed tamen ut vera pelluceant F. etiam § 21 μᾶλλον ἂν αἰσθάνοιντο τῶν ὁσμῶν uterque pariter omittit, quae sec. P haud scio an ex ingenio recte suppleverit. nam locupletiore manuscripto alias hunc usum esse non vidi. ergo cum summus sit illorum consensus, Camotium Vossianumque ex F descriptos, sed evanidis litteris egregie lusos esse apparet. incredibilis igitur illa corruptio, qua motus supra F longo intervallo a P distare dixeram, in apographa potius cadit infeliciter alucinantia. PF autem gemelli sunt et ut P fere praestat, ita ne alterius quidem auxilio tuto careas. velut § 8 γὰρ post τὸν αὐτὸν servavit F, omisit P, § 79 ἐκ μεγάλων γὰρ — οὐ περιφερεῖς bis lapsus est P, recta tenuit F, § 77 αὐτὸ leviter vitiatum unus F exhibet. hinc cernitur frustra esse qui F ex P descriptum esse credant. contra sec. F aut ipso P aut eius apographo sine dubio usus est. ita § 54 ubi ἐπεὶ τό τε F habet, sec. F illius lectionem τό γε super versum addidit, itemque § 64 ἀντίθησι (verum est ἀνατίθησι) ad illius exemplar perperam correxit ἀντιτίθησι. nec felicius in fine libelli, quia P δὲ post δεῖται omittat, sec. F punctis suppositis verum delevit. apographa modo pr. F modo sec. F ut libuit sequuntur. quod de apographorum origine supra significaveram, id nunc comperta codicis F vera forma tam certum est, ut brevibus esse nobis liceat. nam quod ex iteratis § 2 verbis τῇ ἀπορροίᾳ — πρὸς τὸ ὅμοιον effeceram, ad Camotium quidem et Vossianum nihil valet, qui F hoc loco accuratissime descripserunt — Brandisius incredibili modo lapsus est —, sed ad archetypum codicum PF parentem. huic igitur quam dedi explicatio adhibenda erit. nihilo minus per commune exemplum ex F manasse recte suspicatus eram. nam ut minuta mittam velut compendia utrimque inepte explicata vel coniecturas pariter receptas: oblitteratos codicis F apices quod eodem modo uterque idque absurdissime plerumque supplevit, id nisi per traducem explicari non potest. neque enim Camotianum exemplum ex Vossiano vel hoc ex illo descriptum est. exemplar vero illud num forte inter vulgares quales p. 117 recensui codices inveniretur, quaerere supersedi. nam teneo etiam nunc, quod supra dixi, in PF omnem libelli salutem esse positam. quod Stephano fidebam p. 118 Laurentianum se inspexisse neganti [epistul. dedicat. ad Victorium p. II], haud scio an nimis fuerim credulus. unum certe locum, quem Camotii Vossianique exemplar propter homoeoteleuton omisit § 75 δὲ τὰ παχύτερον καὶ ἧττον καὶ ἧττον εἶναι θερμὰ τὰ ἐρυθρότερα, ex F supplevisse videtur. nam si P cognitum habuisset, cur nec memoravit in epistula nec adhibuit ad emendandum?

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΝ.

Περὶ δ' αἰσθήσεως αἱ μὲν πολλαὶ καὶ καθόλου δόξαι δύ' εἰσίν· οἱ μὲν 1
γὰρ τῷ ὁμοίῳ ποιοῦσιν, οἱ δὲ τῷ ἐναντίῳ. Παρμενίδης μὲν καὶ Ἐμπε-
δοκλῆς καὶ Πλάτων τῷ ὁμοίῳ, οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Ἡράκλειτον
τῷ ἐναντίῳ. τὸ δὲ πιθανὸν ἔλαβον οἱ μὲν ὅτι τῶν ἄλλων τε τὰ πλεῖστα τῇ
ὁμοιότητι θεωρεῖται καὶ ὅτι σύμφυτόν ἐστι πᾶσι τοῖς ζῴοις τὰ συγγενῆ γνω-
ρίζειν, ἔτι δ' ὡς τὸ μὲν αἰσθάνεσθαι τῇ ἀπορροίᾳ γίνεται, τὸ δ' ὅμοιον φέ-
ρεται πρὸς τὸ ὅμοιον. οἱ δὲ τὴν αἴσθησιν ὑπολαμβάνοντες ἐν ἀλλοιώσει 2
γίνεσθαι καὶ τὸ μὲν ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου, τὸ δ' ἐναντίον παθητικόν,
τούτῳ προσέθεσαν τὴν γνώμην· ἐπιμαρτυρεῖν δὲ οἴονται καὶ τὸ περὶ τὴν ἁφὴν
συμβαῖνον· τὸ γὰρ ὁμοίως τῇ σαρκὶ θερμὸν ἢ ψυχρὸν οὐ ποιεῖν αἴσθησιν.
καθόλου μὲν οὖν περὶ αἰσθήσεως αὗται παραδέδονται δόξαι. περὶ ἑκάστης δὲ
τῶν κατὰ μέρος οἱ μὲν ἄλλοι σχεδὸν ἀπολείπουσιν, Ἐμπεδοκλῆς δὲ πειρᾶται
καὶ ταύτας ἀνάγειν εἰς τὴν ὁμοιότητα. [παρμενίδου] Παρμενίδης μὲν 3
γὰρ ὅλως οὐδὲν ἀφώρικεν ἀλλὰ μόνον ὅτι δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ
ὑπερβάλλον ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρῃ τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἄλλην
γίνεσθαι τὴν διάνοιαν, βελτίω δὲ καὶ καθαρωτέραν τὴν διὰ τὸ θερμόν· οὐ
μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρίας·

ὡς γὰρ ἑκάστοτε — φησίν — ἔχει κρᾶσιν μελέων πολυπλάγκτων,
τὼς νόος ἀνθρώποισι παρέστηκεν· τὸ γὰρ αὐτό
ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισι
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα.

τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν ὡς ταὐτὸ λέγει, διὸ καὶ τὴν μνήμην καὶ 4
τὴν λήθην ἀπὸ τούτων γίνεσθαι διὰ τῆς κράσεως· ἂν δ' ἰσάζωσι τῇ μίξει,

---

titulus † θεοφράστου περὶ αἰσθήσεων † PF cf. Prol. p. 114[1] sed περὶ αἰσθήσεως in fine libelli F || 1 δ' om. Camotius || δύ' εἰσιν PF: vulgo δύο εἰσίν || ποιοῦνται Wimmer cf. Prol. p. 118[1] || 3 καὶ Δημόκριτον malit Philippson, sed ille neutram sectam sequitur cf. § 49, rectius de Clidemo cogites quode v. § 38 || 5 ζώοις P cf. Ar. Anal. post. II 19 p. 99[b] 35: αἰσθητοῖς in loco rescripto [cf. p. 497] F. videtur ex αἰσθητικοῖς, quod est interpretantis, ortum cf. Ar. categ. 7 p. 8[a] 7 || 6 pr. P post τὸ δ' ὅμοιον v. 6, quae vocabula sunt extrema quarti versiculi f. 279[r] in mrg. continuat eadem manu φέρεται πρὸς τὸ ὅμοιον οἱ δὲ τὴν αἴσθησιν ὑπολαμβάνοντες ἐν ἀλλοιώσει γίνεσθαι τῇ ἀπορροίᾳ γίνεται. τὸ δ' ὅμοιον, tum habet quintus contextus versiculus φέρεται. πρὸς τὸ ὅμοιον. καὶ τὸ μὲν ὅμοιον [v. 8] κτλ.: iterata eadem in cont. F || 8 ἀπαθὲς P: ἅπαντες F || παθητικὸν P: παθητικῶν pr. F eadem manu correctum || 9 τούτῳ sc. τῷ ἐναντίῳ cf. v. 4 || προσέθεσαν offendit Schneiderum, qui προσέθεντο desiderat || ἐπιμαρτυρεῖν δὲ P: ἐπιμαρτυροῦν rescriptum F || 10 οὐ ποιεῖ P: ποιεῖ F: corr. Schneider || 13 παρμενίδου ante παρμενίδης iterant PF || 14 δυσὶν F: δυσὶ P || 18 Parmenid. v. 145—148 Karst. 149—152 Stein. || ἑκάστοτε PF cf. Arist. Metaph. Γ 5 p. 1009[b] 22 codd. SB[b]C[b]: ἑκάστῳ Camotius: ἕκαστος Aristoteles vulgatus et Alexander || ἔχειν PF || κράσιν PF Aristoteles: κρᾶσις verisimiliter Stephanus || 19 παρέστηκε PF || 21 πᾶσι PF || 22 cf. p. 483, 1 || 24 τούτων explicat Karsten p. 267 τῶν στοιχείων, immo ἀπὸ τοῦ αἰσθάνεσθαι καὶ τοῦ φρονεῖν

πότερον ἔσται φρονεῖν ἢ οὔ, καὶ τίς ἡ διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῷ ἐναντίῳ καθ' αὑτὸ ποιεῖ τὴν αἴσθησιν φανερόν, ἐν οἷς φησι τὸν νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰσθάνεσθαι διὰ τὴν ἔκλειψιν τοῦ πυρός, ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι, καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. οὕτω μὲν οὖν αὐτὸς ἔοικεν ἀποτέμνεσθαι τῇ φάσει τὰ συμβαίνοντα δυσχερῆ διὰ τὴν ὑπόληψιν.

5 Πλάτων δὲ ἐπὶ πλέον μὲν ἥπται τῶν κατὰ μέρος, οὐ μὴν εἴρηκέ γε περὶ ἁπασῶν, ἀλλὰ μόνον περὶ ἀκοῆς καὶ ὄψεως. καὶ τὴν μὲν ὄψιν ποιεῖ πυρός (διὸ καὶ τὸ χρῶμα φλόγα τιν' ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια τῇ ὄψει ἔχουσαν), ὡς ἀπορροῆς τε γινομένης καὶ δέον συναρμόττειν ἀλλήλοις ἐξιοῦσαν μέχρι τινὸς συμφύεσθαι τῇ ἀπορροῇ καὶ οὕτως ὁρᾶν ἡμᾶς· ὥσπερ ἂν εἰς τὸ μέσον τιθεὶς τὴν ἑαυτοῦ δόξαν τῶν τε φασκόντων προσπίπτειν τὴν ὄψιν καὶ τῶν φέρεσθαι πρὸς αὐτὴν ἀπὸ τῶν ὁρατῶν.

6 ἀκοὴν δὲ διὰ τῆς φωνῆς ὁρίζεται· φωνὴν γὰρ εἶναι πληγὴν ὑπ' ἀέρος ἐγκεφάλου καὶ αἵματος δι' ὤτων μέχρι ψυχῆς, τὴν δ' ὑπὸ ταύτης κίνησιν ἀπὸ κεφαλῆς μέχρι ἥπατος ἀκοήν. περὶ δὲ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς ὅλως οὐδὲν εἴρηκεν, οὐδὲ εἰ παρὰ ταύτας ἄλλαι τινές εἰσιν, ἀλλὰ μᾶλλον ἀκριβολογεῖται περὶ τῶν αἰσθητῶν.

7 Ἐμπεδοκλῆς δὲ περὶ ἁπασῶν ὁμοίως λέγει καί φησι τῷ ἐναρμόττειν εἰς τοὺς πόρους τοὺς ἑκάστης αἰσθάνεσθαι· διὸ καὶ οὐ δύνασθαι τὰ ἀλλήλων κρίνειν, ὅτι τῶν μὲν εὐρύτεροί πως, τῶν δὲ στενώτεροι τυγχάνουσιν οἱ πόροι πρὸς τὸ αἰσθητόν, ὡς τὰ μὲν οὐχ ἁπτόμενα διευτονεῖν, τὰ δ' ὅλως εἰσελθεῖν οὐ δύνασθαι. πειρᾶται δὲ καὶ τὴν ὄψιν λέγειν, ποία τίς ἐστι· καὶ φησὶ τὸ μὲν ἐντὸς αὐτῆς εἶναι πῦρ ⟨καὶ ὕδωρ⟩, τὸ δὲ περὶ αὐτὸ γῆν καὶ ἀέρα, δι' ὧν διιέναι λεπτὸν ὂν καθάπερ τὸ ἐν τοῖς λαμπτῆρσι φῶς. τοὺς δὲ πόρους ἐναλλὰξ κεῖσθαι τοῦ τε πυρὸς καὶ τοῦ ὕδατος, ὧν τοῖς μὲν τοῦ πυρὸς τὰ λευκά, τοῖς δὲ τοῦ ὕδατος τὰ μέλανα γνωρίζειν· ἐναρμόττειν γὰρ ἑκατέροις ἑκάτερα. φέρεσθαι δὲ τὰ χρώματα πρὸς τὴν ὄψιν διὰ τὴν ἀπορ-

8 ροήν. συγκεῖσθαι δ' οὐχ ὁμοίως, * * * τὰς δ' ἐκ τῶν ἀντικειμένων,

---

2 τῷ ἐναντίῳ ex prioribus facile intellegitur τῷ ψυχρῷ. non probo qui τῷ ἑτέρῳ aut τοῦ ἐναντίου commendent || 6 τὰ συμβαίνοντα δυσχερῆ etiam Simplic. in Epict. p. 41,53 Did. || 7 τοῖς κατὰ PF: corr. Stephanus || 9 τὴν ἀπὸ PF: corr. Usener. εἶναι ἀπὸ Stephanus ex § 86 cf. Plat. Tim. p. 67 c || 10 γινομένης PF [ης breviavit sec. F, quid pr. F scripserit non iam apparet] || 10 δεόν οὖν ἁρμόττειν PF: correxi. συναρμόττειν convenit Platonicae συναυγείᾳ cf. Aët. IV 13 11, ἐναρμόττειν Empedocli cf. ad § 9. ceterum cf. Arist. de sens. p. 438 a 27 et Alexander ad h. l. p. 59 Thurot || 14 Plato Tim. p. 67 B τὴν δι' ὤτων ὑπ' ἀέρος ἐγκεφάλου τε καὶ αἵματος μέχρι ψυχῆς πληγὴν διαδιδομένην || 15 ἀπὸ ταύτης PF: ὑπὸ ταύτης Plato l. c. || 17 παρὰ P: περὶ F || 20 τὰ ἀλλήλων cf. p. 503,26. 512,15 Arist. p. 417 a 3 || 21 πως scripsi: πρὸς PF: ὄντες Wimmer, at participio huic scriptori non opus est cf. ind. Arist. p. 778 b 5 || 22 διευτονεῖν *pristinum in permeando impetum servare.* διεκπνεῖν coni. Usener cf. Arist. p. 394 b 35 || 24 καὶ φησὶ P: γὰρ φησὶ resc. F || καὶ ὕδωρ inserui post πῦρ || 25 δῖὸν PF: corr. Wimmer || 28 ἑκατέραις ἑκάτερα PF: corr. Schneider || 29 lacunam Schneider explebat τὰς ὄψεις ἀλλὰ τὰς μὲν ἐκ τῶν αὐτῶν. ego sic: ἀλλὰ τὰς μὲν ἐκ τῶν ὁμοίων i. e. *si bene temperata est ignis aquaeque mixtio, illo clara, hac obscura propter mutuam similitudinem conspiciuntur; at invicem igne praegravante fit obscuris, aqua nimia claris aptior visus.* cf. Aët. Plac. IV 19 5.

καὶ ταῖς μὲν ἐν μέσῳ, ταῖς δ' ἐκτὸς εἶναι τὸ πῦρ, διὸ καὶ τῶν ζῴων τὰ μὲν ἐν ἡμέρᾳ, τὰ δὲ νύκτωρ μᾶλλον ὀξυωπεῖν· ὅσα μὲν πυρὸς ἔλαττον ἔχει μεθ' ἡμέραν· ἐπανισοῦσθαι γὰρ αὐτοῖς τὸ ἐντὸς φῶς ὑπὸ τοῦ ἐκτός· ὅσα δὲ τοῦ ἐναντίου νύκτωρ· ἐπαναπληροῦσθαι γὰρ καὶ τούτοις τὸ ἐνδεές. ἐν δὲ τοῖς ἐναντίοις ⟨ἐναντίως⟩ ἑκάτερον· ἀμβλυωπεῖν μὲν γὰρ καὶ οἷς ὑπερέχει τὸ πῦρ, ἐπεὶ αὐξηθὲν ἔτι μεθ' ἡμέραν ἐπιπλάττειν καὶ καταλαμβάνειν τοὺς τοῦ ὕδατος πόρους· οἷς δὲ τὸ ὕδωρ, ταὐτὸ τοῦτο γίνεσθαι νύκτωρ· καταλαμβάνεσθαι γὰρ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος. * * * ἕως ἂν τοῖς μὲν ὑπὸ τοῦ ἔξωθεν φωτὸς ἀποκριθῇ τὸ ὕδωρ, τοῖς δ' ὑπὸ τοῦ ἀέρος τὸ πῦρ· ἑκατέρων γὰρ ἴασιν εἶναι τὸ ἐναντίον. ἄριστα δὲ κεκρᾶσθαι καὶ βελτίστην εἶναι τὴν ἐξ ἀμφοῖν ἴσων συγκειμένην. καὶ περὶ μὲν ὄψεως σχεδὸν ταῦτα λέγει. τὴν 9 δ' ἀκοὴν ἀπὸ τῶν ἔξωθεν γίνεσθαι ψόφων. ὅταν γὰρ ὑπὸ τῆς φωνῆς κινηθῇ, ἠχεῖν ἐντός· ὥσπερ γὰρ εἶναι κώδωνα † τῶν ἴσων ἤχων τὴν ἀκοὴν ἣν προσαγορεύει σάρκινον † ὄζον· κινουμένην δὲ παίειν τὸν ἀέρα πρὸς

Arist. d. gen. an. V 1 p. 779^{b}16. Philopon. ad h. l. p. 105^{B} Plat. Tim. p. 45 c. cum verbis, quae suppleo, cf. §§ 4. 17 et 31 δοκεῖ γὰρ ἡ ἀλλοίωσις οὐχ ὑπὸ τῶν ὁμοίων, ἀλλ' ὑπὸ τῶν ἐναντίων εἶναι || 2 ἐν ἡμέρα P: ἥμερα rescr. F: μεθ' ἡμέραν Stephanus || 3 αὐτῷ PF: corr. Schneider || 5 τοῖς delevit Usener || ἐναντίως addidi cf. p. 502, 17. 507, 28 || v. 5 apponitur signum ∴ in F, quo scholion hoc in marg. inf. f. 147^{v} referendum est ∴ ὀξυωπεῖ. ἀμβλυωπεῖ. ἐν ἡμέρα. ἔλαττον πῦρ ἔχει: πλέον πῦρ ἔχει. ἐν ἡμέρα. ἐν νυκτί. ἔλαττον ὕδωρ ἔχει πλέον ὕδωρ ἔχει ἐν νυκτί ∴ pristina scholii forma haec fuisse videtur:

ἐν ἡμέρᾳ — ἔλαττον ὕδωρ ἔχει
ἐν νυκτί — πλέον ὕδωρ ἔχει
} ἀμβλυωπεῖ

ἐν ἡμέρα — ἔλαττον πῦρ ἔχει
ἐν νυκτί — πλέον πῦρ ἔχει
} ὀξυωπεῖ

6 ἐπαυξηθὲν PF: corr. Usener. ἐπαυξηθὲν γὰρ Schneider. at post verbum compositum langueret ἔτι || 7 ὧν δὲ PF: corr. Schneider || 8 γίγνεσθαι δὲ ταῦτα suppl. Usener || 9 ἀέρος cf. p. 503, 15 respondet τῷ ἐντὸς ὕδατι. epicorum usu usurpatum ἀήρ a Theophrasto ex Empedocle servatum videtur || 11 συγκειμένων PF: corr. Stephanus || 12 ἔσωθεν coni. Karsten cf. § 21. at sonus proficiscitur (ἀπὸ) ab externis sonis, qui intus illisi ad cerebrum propagantur || 13 κινηθὲν ἠχεῖ F: κινηθὲν ἠχῇ P: corr. Schneider. conieci ψόφων, ὅταν ὁ ἀὴρ ὑπὸ τῆς φωνῆς κινηθεὶς ἠχῇ ἐντός cf. Priscian. metaphras. Theophrast. d. sens. 35. 36 Aët. Plac. IV 16 1 Arist. d. anima II 8 p. 419^{b}34 || 13 τῶν ἴσων ἤχων PF (nisi quod hic η in ἤχων ex ι correctum est): τῶν ἔσω ἤχων Schneider post Sturzii εἴσω, quae intellegi nequeunt. suspicor κώδωνά τιν' ἔσω ἠχοῦντα τὴν ἀκοήν cf. § 21 τῶν μὲν γὰρ ἔξω δι' ἐκεῖνον [sc. κώδωνα] ἀκούομεν, ἐκείνου δὲ ψοφοῦντος διά τί. praecedit ἔνδον ποιήσαντα ψόφον ὥσπερ κώδωνος. ipsum κώδωνα Zeller I^{4} 724^{2} tubam interpretatus est cf. Problem. 33 14 p. 963^{a}1 ἔστι γὰρ ἡ διὰ τῶν ῥινῶν διάλεκτος γινομένη, ὅταν τὸ ἄνω τῆς ῥινὸς εἰς τὸν οὐρανόν, ᾗ συντέτρηται, κοῖλον γένηται. ὥσπερ κώδων γὰρ ὑπηχεῖ τοῦ κάτωθεν στενοῦ ὄντος. tintinnabulum interpretatus est Theophrasteum Aëtius IV 16 1 fortasse rectius. nam auris si tubae similis, (intus angustior, extra patentior) ad sonos foras mittendos, quam intus propagandos aptior esset. Theophrasto autem cartilago velut tintinnabulum illisa sonum edere et quoquoversus mittere videtur cf. Prol. p. 222 || 14 ὄζον [Emped. v. 315 Stein.] non dubitandum quin corruptum sit. nam cum omnino nulla sit similitudo auris ramique — neque enim Hesiodi πέντοζος (manus) oper. 744 neque Hippocratis de nat. inf. 19 [VII p. 506. 510 Littr.] ὀζοῦσθαι et διοζοῦσθαι apte comparabis — tum hic ineptissima esset vox, ubi de interiore auris forma agitur. αὐλὸν tentabat Wimmer. mihi σάρκινον ὀστοῦν, quo nihil melius τὸ χονδρῶδες Aëtii circumscribit, veri simile videtur cf. § 28 || κινου-

τὰ στερεὰ καὶ ποιεῖν ἦχον. ὄσφρησιν δὲ γίνεσθαι τῇ ἀναπνοῇ· διὸ καὶ μάλιστα ὀσφραίνεσθαι τούτους, οἷς σφοδροτάτη τοῦ ἄσθματος ἡ κίνησις· ὀσμὴν δὲ πλείστην ἀπὸ τῶν λεπτῶν καὶ τῶν κούφων ἀπορρεῖν. περὶ δὲ γεύσεως καὶ ἁφῆς οὐ διορίζεται καθ' ἑκατέραν οὔτε πῶς οὔτε δι' ἃ γίγνονται, πλὴν τὸ κοινὸν ὅτι τῷ ἐναρμόττειν τοῖς πόροις αἴσθησίς ἐστιν· ἥδεσθαι δὲ τοῖς ὁμοίοις κατά τε † μόρια καὶ τὴν κρᾶσιν, λυπεῖσθαι δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ λέγει καὶ περὶ φρονήσεως καὶ ἀγνοίας. τὸ μὲν γὰρ φρονεῖν εἶναι τοῖς ὁμοίοις, τὸ δ' ἀγνοεῖν τοῖς ἀνομοίοις, ὡς ἢ ταὐτὸν ἢ παραπλήσιον ὂν τῇ αἰσθήσει τὴν φρόνησιν. διαριθμησάμενος γὰρ ὡς ἕκαστον ἑκάστῳ γνωρίζομεν ἐπὶ τέλει προσέθηκεν ὡς

ἐκ τούτων ⟨γὰρ⟩ πάντα πεπήγασιν ἁρμοσθέντα
καὶ τούτοις φρονέουσι καὶ ἥδοντ' ἠδ' ἀνιῶνται.

διὸ καὶ τῷ αἵματι μάλιστα φρονεῖν· ἐν τούτῳ γὰρ μάλιστα κεκρᾶσθαί † ἐστι τὰ στοιχεῖα τῶν μερῶν. ὅσοις μὲν οὖν ἴσα καὶ παραπλήσια μέμικται καὶ μὴ διὰ πολλοῦ μηδ' αὖ μικρὰ μηδ' ὑπερβάλλοντα τῷ μεγέθει, τούτους φρονιμωτάτους εἶναι καὶ κατὰ τὰς αἰσθήσεις ἀκριβεστάτους, κατὰ λόγον δὲ καὶ τοὺς ἐγγυτάτω τούτων, ὅσοις δ' ἐναντίως, ἀφρονεστάτους. καὶ ὧν μὲν μανὰ καὶ ἀραιὰ κεῖται τὰ στοιχεῖα, νωθροὺς καὶ ἐπιπόνους· ὧν δὲ πυκνὰ καὶ κατὰ μικρὰ τεθραυσμένα, τοὺς δὲ τοιούτους ὀξέως φερομένους καὶ πολλοῖς ἐπιβαλλομένους ὀλίγα ἐπιτελεῖν διὰ τὴν ὀξύτητα τῆς τοῦ αἵματος φορᾶς. οἷς δὲ καθ' ἕν τι μόριον ἡ μέση κρᾶσίς ἐστι, ταύτῃ σοφοὺς ἕκαστους εἶναι· διὸ τοὺς μὲν ῥήτορας ἀγαθούς, τοὺς δὲ τεχνίτας, ὡς τοῖς μὲν ἐν ταῖς χερσί, τοῖς δὲ ἐν τῇ γλώττῃ τὴν κρᾶσιν οὖσαν· ὁμοίως δ' ἔχειν καὶ κατὰ τὰς ἄλλας δυνάμεις.

Ἐμπεδοκλῆς μὲν οὖν οὕτως οἴεται καὶ τὴν αἴσθησιν γίνεσθαι καὶ τὸ φρονεῖν. ἀπορήσειε δ' ἄν τις ἐξ ὧν λέγει πρῶτον μέν, τί διοίσει τὰ ἔμψυχα πρὸς τὸ αἰσθάνεσθαι τῶν ἄλλων. ἐναρμόττει γὰρ καὶ τοῖς τῶν ἀψύχων πόροις· ὅλως γὰρ ποιεῖ τὴν μῖξιν τῇ συμμετρίᾳ τῶν πόρων·

μένην vix sanum. nam ipse auditus aere illisus τὰ στερεά significat. ergo veterum de audiendo placitis adpositum magis rescribendum κινούμενον cf. § 29. 41 Priscian. paraphr. 35 sqq. Aët. IV 16 3. 4 Aristot. d. anima II 8 p. 419ᵇ 34. 420ᵃ 9 || 4 ἑτέραν PF: corr. Schneider. idem valeret κατ' οὐθετέραν || 5 τῷ συναρμόττειν τοὺς πόρους F et (nisi quod τὸ habet) P: correxi cf. § 35 τῷ γὰρ ἐναρμόττειν τοῖς πόροις ποιεῖ τὴν αἴσθησιν praeterea §§ 7. 12. 14. 15. 20. 35. 90. Aët. I 15 3 IV 9 6 [Prol. p. 222] Epicur. apud Laert. X 49 cf. id. III 69. ἐναρμόττειν Theophr. d. caus. pl. VI 5 4 restituas pro Urbinatis εἰς ἁρμόττειν v. Alex. in Arist. d. sensu p. 50,4 Thur. || 6 κατὰ ⟨τά⟩ τε Philippson. tento κατὰ τὰ στοιχεῖα || 11 Emped. vv. 324. 325 K. 336. 337 St. || γὰρ addidit Karsten: lacunam XIV litterarum indicat P: om. in mrg. ζήτει notato F || 12 ἥδοντ' ἠδ' Karsten: ἥδονται καὶ PF. ἅδονται καὶ Stephanus || 13 τοῦτο pr. F || ἐστι delevit Mullach cf. § 28 p. 507,18. πάντα coni. Usener conl. p. 506,9 ἐξ ἁπάντων ἐστὶ τῶν στοιχείων et p. 507,18 || 16 μερῶν sc. corporis cf. v. 21 et § 24 p. 506,13 διὰ τὴν ἐν τοῖς μορίοις τοῦ αἵματος σύγκρασιν || 19 τεθραυσμένα sic PF || ὀξεῖς φερομένους F: ὀξεῖς καὶ [i. e. ὀξεῖς καὶ] φερομένους P: corr. Wimmer || 20 πολλὰ PF: corr. Wimmer || 21 ἡ μέση P pr. F: ἡ sec. F || 22 in mrg. adposuit notam σῆ F || 23 γλώσσῃ PF || 25 in mrg. summo f. 148ʳ notavit ἔλεγχος τοῦ ἐμπεδοκλέους pr. F || 26 μὲν F: om. P || 27 πρὸς τῷ PF: corr. Schneider

διόπερ ἔλαιον μὲν καὶ ὕδωρ οὐ μίγνυσθαι, τὰ δὲ ἄλλα ὑγρὰ καὶ περὶ ὅσων δὴ καταριθμεῖται τὰς ἰδίας κράσεις. ὥστε πάντα τε αἰσθήσεται καὶ ταὐτὸ ἔσται μῖξις καὶ αἴσθησις καὶ αὔξησις· πάντα γὰρ ποιεῖ τῇ συμμετρίᾳ τῶν πόρων, ἐὰν μὴ προσθῇ τινα διαφοράν. ἔπειτα ἐν αὐτοῖς τοῖς 13
ἐμψύχοις τί μᾶλλον αἰσθήσεται τὸ ἐν τῷ ζῴῳ πῦρ ἢ τὸ ἐκτός, εἴπερ ἐναρμόττουσιν ἀλλήλοις· ὑπάρχει γὰρ καὶ ἡ συμμετρία καὶ τὸ ὅμοιον. ἔτι δὲ ἀνάγκη διαφοράν τινα ἔχειν, εἴπερ αὐτὸ μὲν μὴ δύναται συμπληροῦν τοὺς πόρους, τὸ δ' ἔξωθεν ἐπεισιόν· ὥστ' εἰ ὅμοιον ἦν πάντῃ καὶ πάντως, οὐκ ἂν ἦν αἴσθησις. ἔτι δὲ πότερον οἱ πόροι κενοὶ ἢ πλήρεις; εἰ μὲν γὰρ
κενοί, συμβαίνει διαφωνεῖν ἑαυτῷ, φησὶ γὰρ ὅλως οὐκ εἶναι κενόν· εἰ δὲ πλήρεις, ἀεὶ ἂν αἰσθάνοιτο τὰ ζῷα· ὅλον γὰρ ὡς ἐναρμόττει, καθάπερ φησί, τὸ ὅμοιον. καίτοι κἂν αὐτὸ τοῦτό τις διαπορήσειεν, εἰ δυνατόν 14
ἐστι τηλικαῦτα μεγέθη γενέσθαι τῶν ἑτερογενῶν, ὥστ' ἐναρμόττειν, ἄλλως τε κἂν συμβαίνῃ, καθάπερ φησί, τὰς ὄψεις ὢν ἀσύμμετρος ἡ κρᾶσις ὁτὲ μὲν ὑπὸ τοῦ πυρός, ὁτὲ δὲ ὑπὸ τοῦ ἀέρος ἐμπλαττομένων τῶν πόρων ἀμαυροῦσθαι. εἰ δ' οὖν ἐστι καὶ τούτων συμμετρία καὶ πλήρεις οἱ πόροι τῶν μὴ συγγενῶν, πῶς, ὅταν αἰσθάνηται, καὶ ποῦ ταῦτα ὑπεξέρχεται; δεῖ γάρ τινα ἀποδοῦναι μεταβολήν. ὥστε πάντως ἔχει δυσκολίαν· ἢ γὰρ κενὸν ἀνάγκη ποιεῖν, ἢ ἀεὶ τὰ ζῷα αἰσθάνεσθαι πάντων, ἢ τὸ μὴ συγγενὲς ἁρ-
μόττειν οὐ ποιοῦν αἴσθησιν οὐδ' ἔχον μεταβολὴν οἰκείαν τοῖς ἐμποιοῦσιν. ἔτι δὲ εἰ καὶ μὴ ἐναρμόττοι τὸ ὅμοιον, ἀλλὰ μόνον ἅπτοιτο, καθ' ὁτιοῦν 15
εὔλογον αἴσθησιν γίνεσθαι· δυοῖν γὰρ τούτοιν ἀποδίδωσι τὴν γνῶσιν τῷ τε ὁμοίῳ καὶ τῇ ἁφῇ, διὸ καὶ τὸ 'ἁρμόττειν' εἴρηκεν· ὥστ' εἰ τὸ ἔλαττον ἅψαιτο τῶν μειζόνων, εἴη ἂν αἴσθησις. ὅλως τε κατά γε ἐκεῖνον ἀφαι-
ρεῖται καὶ τὸ ὅμοιον, ἀλλὰ ἡ συμμετρία μόνον ἱκανόν. διὰ τοῦτο γὰρ οὐκ αἰσθάνεσθαί φησιν ἀλλήλων, ὅτι τοὺς πόρους ἀσυμμέτρους ἔχουσιν· εἰ δ' ὅμοιον ἢ ἀνόμοιον τὸ ἀπορρέον, οὐδὲν ἔτι προσαφώρισεν. ὥστε ἢ οὐ τῷ ὁμοίῳ ἡ αἴσθησις ἢ οὐ διά τινα ἀσυμμετρίαν οὐ κρίνουσιν, ἁπάσας ⟨τ'⟩ ἀνάγκη τὰς αἰσθήσεις καὶ πάντα τὰ αἰσθητὰ τὴν αὐτὴν ἔχειν φύσιν.

ἀλλὰ μὴν οὐδὲ τὴν ἡδονὴν καὶ λύπην ὁμολογουμένως ἀποδίδωσιν 16
ἥδεσθαι μὲν ποιῶν τοῖς ὁμοίοις, λυπεῖσθαι δὲ τοῖς ἐναντίοις· 'ἐχθρὰ'

---

1 ἔλαιον in mrg. iteravit sec. P || καὶ περὶ ὅσων non tango. καὶ πάντα περὶ volebat Philippson || 4 τοῖς super vers. add. pr. F || 7 δὲ καὶ Camotius || 10 ἑαυτῷ subpallidum F || 12 καίτοι P: καί τι F || 13 γίνεσθαι Schneider || τῶν F: om. P || 14 κἂν συμβαίνῃ Schneider: καὶ συμβαίνει: καί συμβαίνει Wimmer || φασί PF: corr. Schneider || 14 ἀσύμμετρος ἡ P: ἡ σύμμετρος ἡ resc. F || ὁτὲ P: ὅτε F itemque 15 || 17 τῶν μὲν PF: corr. Schneider || 18 ἔχειν PF: corr. Stephanus || 19 ἁρμόττειν PF: suspicor hunc sibi constitisse scriptorem ἐναρμόττειν ut v. 11 et 21 usurpantem cf. ad § 9. simplex verbum poetam decet cf. infra v. 21 vel Platonem Menon. p. 76 c || 20 ἔχον ex ἔχων ut videtur correctum F || 21 ἐναρμόττει PF: corr. Stephanus || 21 ὁτιοῦν F || 22 τό τε resc. F: corr. sec. F || 23 suspicor καὶ τοῦτο vel καὶ τότε. nam proprius usus verbi ἁρμόττειν ab hoc loco alienus || ὥστ' F || 24 ὅλως τε PF: ὅλως δὲ Schneider || ἀναιρεῖται coni. Schneider || 25 μόνῃ ἱκανῇ coni. Schneider at cf. ind. Aristot. p. 484ª51. 59 || 26 αἰσθάνεται PF: correxi cf. § 7. αἰσθάνονται Stephanus || 28 οὐ κρίνουσιν PF: corr. Schneider || τ' addidit Usener || 30 ὁμολογομένως F || ἐχθρὰ sic P et rescriptum F: ἔχθεα Cam. cf. Emped. vv. 331.

γὰρ εἶναι, διότι

'πλεῖστον ἀπ' ἀλλήλων διέχουσι . . .
γέννῃ τε κράσει ⟨τε⟩ καὶ εἴδεσιν ἐκμακτοῖσιν.'

αἰσθήσεις γάρ τινας ἢ μετ' αἰσθήσεως ποιοῦσι τὴν ἡδονὴν καὶ τὴν λύπην, ὥστε οὐχ ἅπασι γίνεται τοῖς ὁμοίοις. ἔτι εἰ τὰ συγγενῆ μάλιστα ποιεῖ τὴν ἡδονὴν ἐν τῇ ἁφῇ, καθάπερ φησί, τὰ σύμφυτα μάλιστ' ἂν ἥδοιτο καὶ ὅλως αἰσθάνοιτο· διὰ τῶν αὐτῶν γὰρ ποιεῖ τὴν αἴσθησιν καὶ τὴν ἡδονήν. 17 καίτοι πολλάκις αἰσθανόμενοι λυποὑμεθα κατ' αὐτὴν τὴν αἴσθησιν, ὡς ⟨δ'⟩ Ἀναξαγόρας φησίν, ἀεί· πᾶσαν γὰρ αἴσθησιν εἶναι μετὰ λύπης. ἔτι δ' ἐν ταῖς κατὰ μέρος· συμβαίνει γὰρ τῷ ὁμοίῳ γίνεσθαι τὴν γνῶσιν· τὴν γὰρ ὄψιν ὅταν ἐκ πυρὸς καὶ τοῦ ἐναντίου συστήσῃ, τὸ μὲν λευκὸν καὶ τὸ μέλαν δύναιτ' ἂν τοῖς ὁμοίοις γνωρίζειν, τὸ δὲ φαιὸν καὶ τἆλλα χρώματα τὰ μικτὰ πῶς; οὔτε γὰρ τοῖς τοῦ πυρὸς οὔτε τοῖς τοῦ ὕδατος πόροις οὔτ' ἄλλοις 18 ποιεῖ κοινοῖς ἐξ ἀμφοῖν· ὁρῶμεν δ' οὐδὲν ἧττον ταῦτα τῶν ἁπλῶν. ἀτόπως δὲ καὶ ὅτι τὰ μὲν ἡμέρας, τὰ δὲ νύκτωρ μᾶλλον ὁρᾷ· τὸ γὰρ ἔλαττον πῦρ ὑπὸ τοῦ πλείονος φθείρεται, διὸ καὶ πρὸς τὸν ἥλιον καὶ ὅλως τὸ καθαρὸν οὐ δυνάμεθ' ἀντιβλέπειν. ὥστε ὅσοις ἐνδεέστερον τὸ φῶς, ἧττον ἐχρῆν ὁρᾶν μεθ' ἡμέραν· ἢ εἴπερ τὸ ὅμοιον συναύξει, καθάπερ φησί, τὸ δὲ ἐναντίον φθείρει καὶ κωλύει, τὰ μὲν λευκὰ μᾶλλον ἐχρῆν ὁρᾶν ἅπαντας μεθ' ἡμέραν καὶ ὅσοις ἔλαττον καὶ ὅσοις πλεῖον τὸ φῶς, τὰ δὲ μέλανα νύκτωρ. νῦν δὲ πάντες ἅπαντα μεθ' ἡμέραν μᾶλλον ὁρῶσι πλὴν ὀλίγων ζῴων· τούτοις δ' εὔλογον τοῦτ' ἰσχύειν τὸ οἰκεῖον πῦρ, ὥσπερ ἔνια καὶ τῇ 19 χρόᾳ διαλάμπει μᾶλλον τῆς νυκτός. ἔτι δ' οἷς ἡ κρᾶσις ἐξ ἴσων, ἀνάγκη συναύξεσθαι κατὰ μέρος ἑκάτερον· ὥστ' εἰ πλεονάζον κωλύει θάτερον ὁρᾶν, ἁπάντων ἂν εἴη παραπλησία πως ἡ διάθεσις. ἀλλὰ τὰ μὲν τῆς ὄψεως πάθη χαλεπώτερον ἔσται διελεῖν. τὰ δὲ περὶ τὰς ἄλλας αἰσθήσεις πῶς κρίνωμεν τῷ ὁμοίῳ; τὸ γὰρ ὅμοιον ἀόριστον. οὔτε γὰρ ψόφῳ τὸν ψόφον οὔτ' ὀσμῇ τὴν ὀσμὴν οὔτε τοῖς ἄλλοις τοῖς ὁμογενέσιν, ἀλλὰ μᾶλλον ὡς εἰπεῖν τοῖς ἐναντίοις. ἀπαθῆ γὰρ δεῖ τὴν αἴσθησιν προσάγειν· ἤχου δὲ ἐνόντος ἐν ὠσὶν ἢ χυλῶν ἐν γεύσει καὶ ὀσμῆς ἐν ὀσφρήσει κωφότεραι

---

332 K. 191. 192 St. Simplic. in phys. f. 34 v 2 ἔχθρα [sic *a*F: ἔργα DE. δὲ add. Karsten] πλεῖστον [transp. post ἀλλήλων Stein] ἀπ' [sic DEF] ἀλλήλων διέχουσι μάλιστα [διέχουσιν ἄμικτα Karst.] γέννῃ τε κρίσει [DEF: κράσει *a*] τε καὶ εἴδεσιν ἐκμακτοῖσι || διό PF: corr. Usener || 3 γένει τε καὶ κράσει καὶ εἴδεσιν PF: corr. Karsten, qui γέννᾳ commendat p. 200 || 4 αἰσθήσει γάρ τινι coni. Wimmer || ποιοῦσι: simul intellegitur Anaxagoras cf. v. 9 || 5 ὥσγε reser. F || ἅπασα coni. Schneider || fuit qui ἔτι δ' mallet, sed cf. p. 506, 8 || 8 δ' addidit Wimmer || 9 λύπης sic PF || 10 κατὰ μέγεθος PF: corr. Schneider || γὰρ iteratum ut p. 501, 12. 510, 15 || 13 ἄλλοις PF: vulgo ἄλλους || 14 κοινοὺς PF: correxi. nam μικτοὶ πόροι μικτοῖς χρώμασι conveniunt || 14 ἀτόπως PF: 'nisi λέγει intellegatur, malim ἄτοπον' Schneider. num ἔχει audiendum est cf. ad p. 526, 14? || 15 ὁρᾷ PF: ὁρῶμεν Camot. || 18 ᾗ correctum ex nescio quo P || 20 τὰ δὲ μέλανα P itemque (sed μελανὰ) F: καὶ τὰ μέλανα Camot. vulgo || 23 διαλάμπειν PF: corr. Stephanus || 24 συναύξασθαι ead. m. corr. F || 26 num ἔστι διελεῖν ut p. 505, 3? || 27 κρίνομεν PF cf. p. 505, 4: corr. Stephanus || 29 εὐπαθῆ malis at cf. Arist. p. 429 a 15 sqq. [index Bonitz. p. 72 a 38] || δεῖ P: δὴ F || 30 χυλῶν P sec. F: χειλῶν pr. F || κοφώτεραι pr. F

πᾶσαι γίνονται ⟨καὶ⟩ μᾶλλον ὅσῳ ἂν πλήρεις ὦσι τῶν ὁμοίων, εἰ μή τις λεχθείη περὶ τούτων διορισμός. ἔτι δὲ τὸ περὶ τὴν ἀπορροήν, καίπερ οὐχ 20
ἱκανῶς λεγόμενον περὶ μὲν τὰς ἄλλας ὅμως ἔστι πως ὑπολαβεῖν, περὶ δὲ τὴν ἁφὴν καὶ γεῦσιν οὐ ῥᾴδιον. πῶς γὰρ τῇ ἀπορροῇ κρίνωμεν ἢ πῶς ἐναρμόττον τοῖς πόροις τὸ τραχὺ καὶ τὸ λεῖον; μόνου γὰρ δοκεῖ τῶν στοιχείων τοῦ πυρὸς ἀπορρεῖν, ἀπὸ δὲ τῶν ἄλλων οὐδενός. ἔτι δ' εἰ ἡ φθίσις διὰ τὴν ἀπορροήν, ᾧπερ χρῆται κοινοτάτῳ σημείῳ. συμβαίνει δὲ καὶ τὰς ὀσμὰς ἀπορροῇ γίνεσθαι, τὰ πλείστην ἔχοντα ὀσμὴν τάχιστ' ἐχρῆν φθείρεσθαι. νῦν δὲ σχεδὸν ἐναντίως ἔχει· τὰ γὰρ ὀσμωδέστατα τῶν φυτῶν καὶ τῶν ἄλλων ἐστὶ χρονιώτατα. συμβαίνει δὲ καὶ ἐπὶ τῆς φιλίας ὅλως μὴ εἶναι αἴσθησιν ἢ ἧττον διὰ τὸ συγκρίνεσθαι τότε καὶ μὴ ἀπορρεῖν.

ἀλλὰ περὶ μὲν τὴν ἀκοὴν ὅταν ἀποδῷ τοῖς ἔσωθεν γίνεσθαι ψόφοις, ἄτοπον 21
τὸ οἴεσθαι ὄῆλον εἶναι πῶς ἀκούουσιν, ἔνδον ποιήσαντα ψόφον ὥσπερ κώδωνος. τῶν μὲν γὰρ ἔξω δι' ἐκεῖνον ἀκούομεν, ἐκείνου δὲ ψοφοῦντος διὰ τί; τοῦτο γὰρ αὐτὸ λείπεται ζητεῖν. ἀτόπως δὲ καὶ τὸ περὶ τὴν ὄσφρησιν εἴρηκεν. πρῶτον μὲν γὰρ οὐ κοινὴν αἰτίαν ἀπέδωκεν· ἔνια μὲν γὰρ ὅλως οὐδ' ἀναπνέει τῶν ὀσφραινομένων. ἔπειτα τὸ μάλιστα ὀσφραίνεσθαι τοὺς πλεῖστον ἐπισπωμένους εὔηθες· οὐδὲν γὰρ ὄφελος μὴ ὑγιαινούσης ἢ μὴ ἀνεῳγμένης πως τῆς αἰσθήσεως. πολλοῖς δὲ συμβαίνει πεπηρῶσθαι καὶ ὅλως μηδὲν αἰσθάνεσθαι. πρὸς δὲ τούτοις οἱ δύσπνοοι καὶ οἱ πονοῦντες καὶ οἱ καθεύδοντες μᾶλλον ἂν αἰσθάνοιντο τῶν ὀσμῶν· τὸν πλεῖστον γὰρ ἕλκουσιν ἀέρα. νῦν δὲ συμβαίνει τοὐναντίον. οὐ γὰρ ἴσως καθ' 22
αὐτὸ τὸ ἀναπνεῖν αἴτιον τῆς ὀσφρήσεως, ἀλλὰ κατὰ συμβεβηκός, ὡς ἔκ τε τῶν ἄλλων ζῴων μαρτυρεῖται καὶ διὰ τῶν εἰρημένων παθῶν· ὁ δ' ὡς ταύτης οὔσης τῆς αἰτίας καὶ ἐπὶ τέλει πάλιν εἴρηκεν ὥσπερ ἐπισημαινόμενος

ὧδε μὲν οὖν πνοιῆς τε λελόγχασι πάντα καὶ ὀσμῶν.

---

1 καὶ μᾶλλον ὅσῳ ἂν scripsi. nam ὅσῳ non sequente μᾶλλον Aristoteleus est mos [cf. ind. Bonitzii p. 453ª42] nec minus probe μᾶλλον comparativum excipit. v. Vahlen ad poet.² 127 sq. cf. p. 507, 2 ὁρᾶν . . . τῷ διαφανεῖ . . . καὶ ὅσῳ ἂν καθαρώτερον ᾖ μᾶλλον. ὅσῳ μᾶλλον ἂν collocaverat Schneider | εἰ μὴ κτλ: referenda sunt ad πᾶσαι cf. p. 503, 3 sq. || 2 τὰ περὶ F || 4 κρίνομεν PF: corr. Stephanus cf. p. 504, 27 || 5 ἐναρμόττον P: ἐναρμόττειν F: vulgo ἐναρμόττει ex Schneideri coniectura. sed audiendum κρίνομεν || 7 συμβαίνειν PF: scripsi συμβαίνει δὲ. deleverat συμβαίνειν Wimmer || 8 φθείρειν PF: corr. Schneider φθίνειν simul proponens. sed cf. p. 508, 21 || 10 φιλία Empedoclea opponi videtur τῇ φθίσει v. 6, quod intellexit Philippson. hinc συγκρίνεσθαι v. 11 explicandum cf. Arist. p. 333ᵇ12. 984ª10 || 12 ἔσωθεν cf. § 9 || 13 πῶς sic PF || ποιήσαντα PF sc. Empedoclem, qui audiendus est in infinitivo οἴεσθαι. ποιήσαντος Wimmer || 14 κώδωνας PF: corr. Sturz cf. § 9 || δι' ἐκεῖνα PF: δι' ἐκεῖνον Schneider, puta κώδωνα: δι' ἐκείνου Usener || ἀκούωμεν pr. F || ἐκεῖνο (?) pr. F || 15 τί; τὸ γὰρ PF: corr. Wimmer || ὄσφρησις sec. P in mrg. || 17 ἀναπνεῖ corrigebat Schneider || 19 ἀνεγνωσμένης P (superscripta ωγ m. sec.): ἀνεγνωσμένης F || 19 πεπληρῶσθαι PF: corr. Coray || 21 καθεύδοντες . . . . . νοσμῶν lacuna extremo versu relicta pr. P, quam explevit sec. P: καθεύδοντες extremo versu, νοσμῶν initio proximi nulla lacuna indicata, sed in mrg. eadem manu ζή(τει) F cf. p. 498, 15 || 24 ὃ δ' PF || 26 πνοῆς τε PF: corr. Stephanus

οὐκ ἀληθὲς ⟨δὲ⟩ οὐδὲ τὸ μάλιστα ὀσφραίνεσθαι τῶν κούφων, ἀλλὰ δεῖ καὶ ὀσμὴν ἐνυπάρχειν. ὁ γὰρ ἀὴρ καὶ τὸ πῦρ κουφότατα μέν, οὐ ποιοῦσι δὲ
23 αἴσθησιν ὀσμῆς. ὡσαύτως δ' ἄν τις καὶ περὶ τὴν φρόνησιν ἀπορήσειεν, εἰ γὰρ τῶν αὐτῶν ποιεῖ καὶ τὴν αἴσθησιν. καὶ γὰρ ἅπαντα μεθέξει τοῦ φρονεῖν. καὶ ἅμα πῶς ἐνδέχεται καὶ ἐν ἀλλοιώσει καὶ ὑπὸ τοῦ ὁμοίου γίνεσθαι τὸ φρονεῖν; τὸ γὰρ ὅμοιον οὐκ ἀλλοιοῦται τῷ ὁμοίῳ. τὸ δὲ δὴ τῷ αἵματι φρονεῖν καὶ παντελῶς ἄτοπον· πολλὰ γὰρ τῶν ζῴων ἄναιμα, τῶν δὲ ἐναίμων τὰ περὶ τὰς αἰσθήσεις ἀναιμότατα τῶν μερῶν. ἔτι καὶ ὀστοῦν καὶ θρὶξ αἰσθάνοιτ' ἄν, ἐπεὶ οὖν ἐξ ἁπάντων ἐστὶ τῶν στοιχείων. καὶ συμβαίνει ταὐτὸ εἶναι τὸ φρονεῖν καὶ αἰσθάνεσθαι καὶ ἥδεσθαι καὶ ⟨τὸ⟩ λυπεῖσθαι καὶ [τὸ] ἀγνοεῖν· ἄμφω γὰρ ποιεῖ τοῖς ἀνομοίοις. ὥσθ' ἅμα
24 τῷ μὲν ἀγνοεῖν ἔδει γίνεσθαι λύπην, τῷ δὲ φρονεῖν ἡδονήν. ἄτοπον δὲ καὶ τὸ τὰς δυνάμεις ἑκάστοις ἐγγίνεσθαι διὰ τὴν ἐν τοῖς μορίοις τοῦ αἵματος σύγκρασιν, ὡς ἢ τὴν γλῶτταν αἰτίαν τοῦ εὖ λέγειν ⟨οὖσαν ἢ⟩ τὰς χεῖρας τοῦ δημιουργεῖν, ἀλλ' οὐκ ὀργάνου τάξιν ἔχοντα. διὸ καὶ μᾶλλον ἄν τις ἀποδοίη τῇ μορφῇ τὴν αἰτίαν ἢ τῇ κράσει τοῦ αἵματος, ἢ χωρὶς διανοίας ἐστίν· οὕτως γὰρ ἔχει καὶ ἐπὶ τῶν ἄλλων ζῴων. Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐν πολλοῖς διαμαρτάνειν.

25 Τῶν δὲ μὴ τῷ ὁμοίῳ ποιούντων τὴν αἴσθησιν Ἀλκμαίων μὲν πρῶτον ἀφορίζει τὴν πρὸς τὰ ζῷα διαφοράν. ἄνθρωπον γάρ φησι τῶν ἄλλων διαφέρειν ὅτι μόνος ξυνίησι, τὰ δ' ἄλλα αἰσθάνεται μὲν οὐ ξυνίησι δέ, ὡς ἕτερον ὂν τὸ φρονεῖν καὶ αἰσθάνεσθαι, καὶ οὔ, καθάπερ Ἐμπεδοκλῆς, ταὐτόν. ἔπειτα περὶ ἑκάστης λέγει. ἀκούειν μὲν οὖν φησι τοῖς ὠσίν, διότι κενὸν ἐν αὐτοῖς ἐνυπάρχει· τοῦτο γὰρ ἠχεῖν. φθέγγεσθαι δὲ τῷ κοίλῳ, τὸν ἀέρα δ' ἀντηχεῖν. ὀσφραίνεσθαι δὲ ῥισὶν ἅμα τῷ ἀναπνεῖν ἀνάγοντα τὸ πνεῦμα πρὸς τὸν ἐγκέφαλον. γλώττῃ δὲ τοὺς χυμοὺς κρίνειν· χλιαρὰν γὰρ οὖσαν καὶ μαλακὴν τήκειν τῇ θερμότητι· δέχεσθαι δὲ καὶ διαδιδόναι διὰ
26 τὴν μανότητα καὶ ἀπαλότητα. ὀφθαλμοὺς δὲ ὁρᾶν διὰ τοῦ πέριξ

---

1 ἀληθές. οὐδὲ PF: corr. Schneider || τὸ μάλιστα (τὸ et μαλ rescripta) F || δεῖ P: δὴ F || 3 φρόνησις in mrg. sec. P || 4 εἴπερ τῶν αὐτῶν olim conieci, genetivum ut πυρός p. 500, 9 explicans. nunc εἰ γὰρ teneo Vahleni ad Ar. poet. [Berol. 1874] p. 115 exemplis motus. εἴ γ' ἀπὸ τῶν αὐτῶν Usener, ἐκ γὰρ τῶν αὐτῶν vel εἰ διὰ τῶν αὐτῶν [cf. § 70] Schneider, εἴ γε τὴν αὐτὴν Coray || 4 ἅπαντα μεθέξει κτλ. dubitant Schneider et Philippson. at cf. Arist. d. anim. III 3 p. 427ᵇ 6 || 8 δὲ ἀναίμων PF: corr. Schneider || 9 ἐπεὶ γοῦν Wimmer. Usener ἐπεὶ ὁμοίως sc. αἵματι cf. p. 502, 13 || 10 τοῦτο PF: ταυτὸν Stephanus || τὸ ante λυπεῖσθαι addidit Schneider || 11 τὸ ante ἀγνοεῖν delevit Wimmer || ὥσθ' P: ὥστ' F || 12 τὸ δὲ φρονεῖν pr. F || 14 ὡς ἢ PF: ὡς εἶναι Usener. ὡσεὶ Stephanus || οὖσαν ἢ addidi cf. p. 502, 23 || 16 ἃ χωρὶς ante Schneiderum || 18 ἐν πολλοῖς sic PF || 19 ἀλκμαίων in mrg. sec. P || 20 ἀφωρίζει pr. F || 21 μόνον PF: corr. post Zellerum I. Klein quaest. Nigid. p. 26, VIII || 24 ἐνυπάρχει F: ὑπάρχει P || τοῦτο F: τούτῳ P. conicio τοῦτο γὰρ ἠχοῦν [cf. Plac. IV 17 2] φθέγγεσθαι διὰ τὸ κοίλον, aliter Prol. p. 223 || 25 ἀνάγοντας coni. Usener conl. § 38 || 27 δεδέχθαι δὲ καὶ διδόναι PF: corr. Schneider || 28 καὶ ἀπαλότητα corr. Wimmer cf. § 40. 43: τῆς ἀπαλότητος PF || fuit qui ὀφθαλμοῖς mallet. sed cf. Ar. d. sens. p. 438ᵃ 4 hist. an. X 1 p. 633ᵇ 20. ego propter sequentia ὀφθαλμὸν exspecto ||

ὕδατος· ὅτι δ' ἔχει πῦρ ὂν ἦλον εἶναι, πληγέντος γὰρ ἐκλάμπειν. ὁρᾶν δὲ τῷ στίλβοντι καὶ τῷ διαφανεῖ, ὅταν ἀντιφαίνῃ, καὶ ὅσῳ ἂν καθαρώτερον ἢ μᾶλλον. ἁπάσας δὲ τὰς αἰσθήσεις συνηρτῆσθαί πως πρὸς τὸν ἐγκέφαλον, διὸ καὶ πηροῦσθαι κινουμένου καὶ μεταλλάττοντος τὴν χώραν· ἐπιλαμβάνειν γὰρ τοὺς πόρους, δι' ὧν αἱ αἰσθήσεις. περὶ δὲ ἁφῆς οὐκ εἴρηκεν οὔτε πῶς οὔτε τίνι γίνεται. [ἀλλ'] Ἀλκμαίων μὲν οὖν ἐπὶ τοσοῦτον ἀφώρικεν.

Ἀναξαγόρας δὲ γίνεσθαι μὲν τοῖς ἐναντίοις· τὸ γὰρ ὅμοιον ἀπαθὲς 27
ὑπὸ τοῦ ὁμοίου. καθ' ἑκάστην δ' ἰδίᾳ πειρᾶται διαριθμεῖν. ὁρᾶν μὲν γὰρ τῇ ἐμφάσει τῆς κόρης, οὐκ ἐμφαίνεσθαι δὲ εἰς τὸ ὁμόχρων, ἀλλ' εἰς τὸ διάφορον. καὶ τοῖς μὲν πολλοῖς μεθ' ἡμέραν, ἐνίοις δὲ νύκτωρ εἶναι τὸ ἀλλόχρων, διὸ ὀξυωπεῖν τότε. ἁπλῶς δὲ τὴν νύκτα μᾶλλον ὁμόχρων εἶναι τοῖς ὀφθαλμοῖς. ἐμφαίνεσθαι δὲ μεθ' ἡμέραν, ὅτι τὸ φῶς συναίτιον τῆς ἐμφάσεως· τὴν δὲ χρόαν τὴν κρατοῦσαν μᾶλλον εἰς τὴν ἑτέραν ἐμφαίνεσθαι [εἰς]. τὸν αὐτὸν δὲ τρόπον καὶ τὴν ἁφὴν καὶ τὴν γεῦσιν 28
κρίνειν· τὸ γὰρ ὁμοίως θερμὸν καὶ ψυχρὸν οὔτε θερμαίνειν οὔτε ψύχειν πλησιάζον οὐδὲ δὴ τὸ γλυκὺ καὶ τὸ ὀξὺ δι' αὐτῶν γνωρίζειν, ἀλλὰ τῷ μὲν θερμῷ τὸ ψυχρόν, τῷ δ' ἁλμυρῷ τὸ πότιμον, τῷ δ' ὀξεῖ τὸ γλυκὺ κατὰ τὴν ἔλλειψιν τὴν ἑκάστου· πάντα γὰρ ἐνυπάρχειν † ἐστὶν ἐν ἡμῖν. ὡσαύτως δὲ καὶ ὀσφραίνεσθαι καὶ ἀκούειν τὸ μὲν ἅμα τῇ ἀναπνοῇ, τὸ δὲ τῷ διικνεῖσθαι τὸν ψόφον ἄχρι τοῦ ἐγκεφάλου· τὸ γὰρ περιέχον ὀστοῦν εἶναι κοῖλον, εἰς ὃ ἐμπίπτειν τὸν ψόφον. ἅπασαν δ' αἴσθησιν μετὰ λύπης, 29
ὅπερ ἂν δόξειεν ἀκόλουθον εἶναι τῇ ὑποθέσει· πᾶν γὰρ τὸ ἀνόμοιον ἁπτόμενον πόνον παρέχει. φανερὸν δὲ τοῦτο τῷ τε τοῦ χρόνου πλήθει καὶ τῇ τῶν αἰσθητῶν ὑπερβολῇ. τά τε γὰρ λαμπρὰ χρώματα καὶ τοὺς ὑπερβάλλοντας ψόφους λύπην ἐμποιεῖν καὶ οὐ πολὺν χρόνον δύνασθαι τοῖς αὐτοῖς ἐπιμένειν. αἰσθητικώτερα δὲ τὰ μείζω ζῷα καὶ ἁπλῶς εἶναι κατὰ τὸ μέγεθος τὴν αἴσθησιν. ὅσα μὲν γὰρ μεγάλους καὶ καθαροὺς καὶ λαμπροὺς ὀφθαλμοὺς ἔχει, μεγάλα τε καὶ πόρρωθεν ὁρᾶν, ὅσα δὲ μικρούς, ἐναντίως. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀκοῆς. τὰ μὲν γὰρ μεγάλα τῶν μεγάλων καὶ τῶν 30
πόρρωθεν ἀκούειν, τὰ δ' ἐλάττω λανθάνειν, τὰ δὲ μικρὰ τῶν μικρῶν καὶ τῶν ἐγγύς. καὶ ἐπὶ τῆς ὀσφρήσεως ὁμοίως· ὄζειν μὲν γὰρ μᾶλλον τὸν λεπτὸν ἀέρα, θερμαινόμενον μὲν γὰρ καὶ μανούμενον ὄζειν. ἀναπνέον δὲ τὸ μὲν μέγα ζῷον ἅμα τῷ μανῷ καὶ τὸ πυκνὸν ἕλκειν, τὸ δὲ μικρὸν

---

2 ὅσον ἂν PF: corr. Schneider || καθαρότατον pr. F || ἢ PF || 4 πληροῦσθαι PF: corr. Coray || ἐπιλαμβάνειν sc. τὸν ἐγκέφαλον. ἐπιλαμβάνεσθαι Wimmer || 5 περὶ δὲ ἁφῆς οὐκ εἰ

μ

in litura pr. P || 6 ἀλλ' [i. e. ἀλκ in contextum falso receptum, velut sec. P ἀλκμαῖ in mrg. habet cf. p. 499,13] PF: induxit Stephanus || ἀκμαίων PF || 8 δὲ διαπειρᾶται PF: corr. Wimmer || 9 ἐμφαίνεσθαι pr. F (χ sec. m. superscripto): ἐχφαίνεσθαι P || ὁμόχρουν hoc loco PF, alias fere ὁμόχρων et sim. quod constanter scripsi || 11 διὸ ὀξυωπεῖν τότε Schneider: διοξυωπεῖν δὲ PF: delevit Philippson || 13 ἐπιφάσεως PF: corr. Schneider || 14 εἰς seclusit Philippson || 16 οὐδὲ δεῖ PF: corr. Stephanus || 18 ἐστὶν secl. Philippson. πάντῃ Usener cf. p. 502,13 || 23 τοῦ χρόνου Schneider conl. § 32: τοῦ ὕπνου PF || 27 αἴσθησιν ⟨τῶν αἰσθητηρίων⟩ ex § 34 veri similiter scripsit Schneider || 28 μικροὺς sic PF || 29 τῶν μεγάλων habent PF || 32 μανούμενον sic PF || 33 fort. καὶ τὸν πυκνόν itemque p. 508,1 αὐτὸν τὸν μανὸν cf. p. 509,16

αὐτὸ τὸ μανόν, διὸ καὶ τὰ μεγάλα μᾶλλον αἰσθάνεσθαι. καὶ γὰρ τὴν ὀσμὴν ἐγγὺς εἶναι μᾶλλον ἢ πόρρω διὰ τὸ πυκνοτέραν εἶναι, σκεδαννυμένην δὲ ἀσθενῆ. σχεδὸν δὲ ὡς εἰπεῖν οὐκ αἰσθάνεσθαι τὰ μὲν μεγάλα τῆς λεπτῆς [ἀέρος], τὰ δὲ μικρὰ τῆς πυκνῆς.

31 Τὸ μὲν οὖν τοῖς ἐναντίοις ποιεῖν τὴν αἴσθησιν ἔχει τινὰ λόγον, ὥσπερ ἐλέχθη· δοκεῖ γὰρ ἡ ἀλλοίωσις οὐχ ὑπὸ τῶν ὁμοίων, ἀλλ' ὑπὸ τῶν ἐναντίων εἶναι. καίτοι καὶ τοῦτο δεῖται πίστεως, εἰ ἀλλοίωσις ἡ αἴσθησις εἴ τε τὸ ἐναντίον τοῦ ἐναντίου κριτικόν. τὸ δὲ μετὰ λύπης ἅπασαν εἶναι [ψεῦδος] οὔτ' ἐκ τῆς χρήσεως ὁμολογεῖται, τὰ μὲν ⟨γὰρ⟩ μεθ' ἡδονῆς τὰ δὲ πλεῖστα ἄνευ λύπης ἐστίν, οὔτ' ἐκ τῶν εὐλόγων. ἡ μὲν γὰρ αἴσθησις κατὰ φύσιν, οὐδὲν δὲ τῶν φύσει βίᾳ καὶ μετὰ λύπης, ἀλλὰ μᾶλλον μεθ' ἡδονῆς, ὅπερ καὶ φαίνεται συμβαῖνον. τὰ γὰρ πλείω καὶ πλεονάκις ἡδόμεθα καὶ αὐτὸ δὲ τὸ αἰσθάνεσθαι χωρὶς τῆς περὶ ἕκαστον ἐπιθυμίας διώκομεν.

32 ἔτι δ' ἐπεὶ καὶ ἡδονὴ καὶ λύπη γίνεται διὰ τῆς αἰσθήσεως, ἅπαν δὲ φύσει πρὸς τὸ βέλτιόν ἐστι, καθάπερ ἡ ἐπιστήμη, μᾶλλον ἂν εἴη μεθ' ἡδονῆς ἢ μετὰ λύπης. ἁπλῶς δ' εἴπερ μηδὲ τὸ διανοεῖσθαι μετὰ λύπης, οὐδὲ τὸ αἰσθάνεσθαι· τὸν αὐτὸν γὰρ ἔχει λόγον ἑκάτερον πρὸς τὴν αὐτὴν χρείαν. ἀλλὰ μὴν οὐδὲ αἱ τῶν αἰσθητῶν ὑπερβολαὶ καὶ τὸ τοῦ χρόνου πλῆθος οὐδὲν σημεῖον ὡς μετὰ λύπης ἐστίν, ἀλλὰ μᾶλλον ὡς ἐν συμμετρίᾳ τινὶ καὶ κράσει πρὸς τὸ αἰσθητὸν ἡ αἴσθησις. διόπερ ἴσως τὸ μὲν ἐλλεῖπον

33 ἀναίσθητον, τὸ δ' ὑπερβάλλον λύπην τε ποιεῖ καὶ φθείρει. συμβαίνει τοίνυν τὸ κατὰ φύσιν ἐκ τοῦ παρὰ φύσιν σκοπεῖν· ἡ γὰρ ὑπερβολὴ παρὰ φύσιν. ἐπεὶ τό γε ἀπ' ἐνίων καὶ ἐνίοτε λυπεῖσθαι, καθάπερ καὶ ἥδεσθαι, φανερὸν καὶ ὁμολογούμενον· ὥστ' οὐδὲν μᾶλλον διά γε τοῦτο μετὰ λύπης ἢ μεθ' ἡδονῆς ἐστιν, ἀλλ' ἴσως μετ' οὐδετέρου κατά γε τὸ ἀληθές· οὐδὲ γὰρ ἂν δύναιτο κρίνειν, ὥσπερ οὐδὲ ἡ διάνοια συνεχῶς οὖσα μετὰ λύπης ἢ ἡδονῆς. ἀλλὰ τοῦτο μὲν ἀπὸ μικρᾶς ἀρχῆς ἐφ' ὅλην μετήνεγκε τὴν

34 αἴσθησιν. ὅταν δὲ λέγῃ τὰ μείζω μᾶλλον αἰσθάνεσθαι καὶ ἁπλῶς

---

2 nisi intercidit velut ἰσχυρὰν post μᾶλλον cf. p. 509,26, legendum κρῖναι μᾶλλον || πυκνότερα PF: corr. Camotius || 4 ἀέρος glossema ex p. 507, 32 fictum delevi. immo audiendum ὀσμῆς, quod substituebat Philippson || 6 ἐλέχθη §§ 1. 2 || 7 καίτοι P: καίτι F || ἡ ἀλλοίωσις PF: corr. Schneider || 8 εἴ τε Schneider: οὔτε PF || 9 ψεῦδος seclusit Wimmer || τῆς κρίσεως Stephanus || 10 ἐκ τῶν εὐλόγων vix sanum. aut ἐκ τῶν λόγων scribes aut quod Usenerus proposuit ἔστι τῶν εὐλόγων || 11 τῇ PF: corr. Schneider || 12 τὰ γὰρ πλείω καὶ πλεονάκις cf. v. 23 ἀπ' ἐνίων καὶ ἐνίοτε || 13 αὐτοὶ PF: corr. Schneider || χωρὶς κτλ. cf. Arist. metaph. A 1 πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δ' ἡ τῶν αἰσθήσεων ἀγάπησις· καὶ γὰρ χωρὶς τῆς χρείας ἀγαπῶνται δι' αὐτάς. ἐπιθυμίαν dicit χρείαν (cf. v. 17), nam ἐπιθυμία est ἔνδεια cf. Probl. p. 930 a 27 || 15 καθάπερ ἡ ἐπιστήμη PF: om. Vossianus et delevit Schneider: scripserim καθάπερ καὶ ἡ ἐπιστήμη sc. φύσει πρὸς τὸ βέλτιόν ἐστιν. quid sit ἐπιστήμη docet Ar. de anima II 5 p. 417b22 τῶν καθ' ἕκαστον ἡ κατ' ἐνέργειαν αἴσθησις, ἡ δ' ἐπιστήμη τῶν καθόλου. . . . διὸ νοῆσαι μὲν ἐπ' αὐτῷ ὁπόταν βούληται, αἰσθάνεσθαι δ' οὐκ ἐπ' αὐτῷ. hinc διανοεῖσθαι et αἰσθάνεσθαι opposita in proximis vv. 16. 27 || ἐπιστήμη in mrg. iterat sec. P || 17 γὰρ F: om. P || intellegerem αὐτοῦ: *ad proprium utriusque usum.* nam et cum cogitat et sentit aliquis, voluptate quadam perfunditur || 19 οὐδὲ ἓν PF || 20 καὶ πράξει PF: corr. Coray || 28 λέγῃ P: λέγει sed corr. pr. F

κατὰ τὸ μέγεθος τῶν αἰσθητηρίων εἶναι τὴν αἴσθησιν, τὸ μὲν αὐτῶν ἔχει τινὰ ἀπορίαν, οἷον πότερον τὰ μικρὰ μᾶλλον ἢ τὰ μεγάλα τῶν ζῴων αἰσθητικά· δόξειε γὰρ ἂν ἀκριβεστέρας αἰσθήσεως εἶναι τὰ μικρὰ μὴ λανθάνειν, καὶ ἅμα τὸ τὰ ἐλάττω δυνάμενον καὶ τὰ μείζω κρίνειν οὐκ ἄλογον. ἅμα δὲ καὶ δοκεῖ περὶ ἐνίας αἰσθήσεις βέλτιον ἔχειν τὰ μικρὰ τῶν μεγάλων, ὥστε ταύτῃ μὲν χείρων ἡ τῶν μειζόνων αἴσθησις. εἰ δ' αὖ φαίνεται 35 καὶ πολλὰ λανθάνειν τὰ μικρά [τῶν μειζόνων οἷον οἱ ψόφοι, χρώματα], βελτίων ἡ τῶν μειζόνων· ἅμα δὲ καὶ εὔλογον, ὥσπερ καὶ τὴν ὅλην τοῦ σώματος κρᾶσιν, ὁμοίως ἔχειν καὶ τὰ περὶ τὰς αἰσθήσεις. τοῦτο μὲν οὖν, ὥσπερ ἐλέχθη, διαπορήσειεν ἄν τις, εἰ ἄρα καὶ δεῖ λέγειν οὕτως· οὐ γὰρ ἐν τοῖς ὁμοίοις γένεσιν ἀφώρισται κατὰ τὸ μέγεθος, ἀλλὰ κυριώτατα ἴσως ἡ τοῦ σώματος διάθεσίς τε καὶ κρᾶσις. τὸ δὲ πρὸς τὰ μεγέθη τὴν συμμετρίαν ἀποδιδόναι τῶν αἰσθητῶν ἔοικεν ὁμοίως λέγειν Ἐμπεδοκλεῖ· τῷ γὰρ ἐναρμόττειν τοῖς πόροις ποιεῖ τὴν αἴσθησιν. πλὴν ἐπὶ τῆς ὀσφρήσεως ἴδιον συμβαίνει δυσχερές· ὄζειν μὲν γάρ φησι τὸν λεπτὸν ἀέρα μᾶλλον, ὀσφραίνεσθαι δὲ ἀκριβέστερον ὅσα τὸν πυκνὸν ἢ τὸν μανὸν ἔλκει.

περὶ δὲ τῆς ἐμφάσεως κοινή τίς ἐστιν ἡ δόξα· σχεδὸν γὰρ οἱ πολλοὶ τὸ 36 ὁρᾶν οὕτως ὑπολαμβάνουσι διὰ τὴν γινομένην ἐν τοῖς ὀφθαλμοῖς ἔμφασιν. τοῦτο δὲ οὐκέτι συνεῖδον ὡς οὔτε τὰ μεγέθη σύμμετρα τὰ ὁρώμενα τοῖς ἐμφαινομένοις οὔτε ἐμφαίνεσθαι πολλὰ ἅμα καὶ τἀναντία δυνατόν, ἔτι δὲ κίνησις καὶ διάστημα καὶ μέγεθος ὁρατὰ μέν, ἔμφασιν δὲ οὐ ποιοῦσιν. ἐνίοις δὲ τῶν ζῴων οὐδὲν ἐμφαίνεται, καθάπερ τοῖς σκληροφθάλμοις καὶ τοῖς ἐνύδροις. ἔτι δὲ καὶ τῶν ἀψύχων διά γε τοῦτο πολλὰ ἂν ὁρῷεν· καὶ γὰρ ἐν ὕδατι καὶ χαλκῷ καὶ ἑτέροις πολλοῖς ἐστιν ἀνάκλασις. φησὶ 37 δὲ καὶ αὐτὸς ἐμφαίνεσθαι μὲν εἰς ἄλληλα ⟨τὰ⟩ χρώματα, μᾶλλον δὲ τὸ ἰσχυρὸν εἰς τὸ ἀσθενές· ὥστε ἑκάτερον μὲν ἐχρῆν ὁρᾶν, μᾶλλον δὲ ⟨τὸ⟩ μέλαν καὶ ὅλως ⟨τὸ⟩ ἀσθενέστερον. διὸ καὶ τὴν ὄψιν ὁμόχρων ποιεῖ τῇ νυκτὶ καὶ τὸ φῶς αἴτιον τῆς ἐμφάσεως. καίτοι πρῶτον μὲν τὸ φῶς ὁρῶμεν αὐτὸ δι' οὐδεμιᾶς ἐμφάσεως, ἔπειτα οὐδὲν ἧττον τὰ μέλανα τῶν λευκῶν οὐκ ἔχει φῶς. ἔτι δὲ κἂν τοῖς ἄλλοις ἀεὶ τὴν ἔμφασιν ὁρῶμεν εἰς τὸ λαμπρότερον καὶ καθαρώτερον γινομένην, ὥσπερ καὶ αὐτὸς λέγει τοὺς ὑμένας τῶν ὀμμάτων λεπτοὺς εἶναι καὶ λαμπρούς. τιθέασι δὲ καὶ τὴν ὄψιν αὐτὴν οἱ πολλοὶ πυρός, ⟨ὡς⟩ τούτου τὰς χρόας μετεχούσας μᾶλλον. Ἀναξαγόρας

---

1 ἔχειν PF: corr. Vossianus et Camotius || 3 δόξει PF: corr. Stephanus || 4 ἅμα τὰ τῶ pr. F || 5 ἔνια PF: corr. Stephanus. πρὸς ἐνίας coni. Usener || 7 τῶν μειζόνων delevit Schneider. οἷον—χρώματα delevit Philippson || 10 καὶ δεῖ sic PF cf. Vahlen ad Aristot. Poet. [Berol. 1874] p. 176 || 11 κυριωτέρα non necessarium est || 14 τὸ γὰρ PF: corr. Philippson || 16 ἡ τὸν μικρὸν PF: corr. Wimmer cf. § 30 p. 507, 33 et 508, 1 || 18 ἔμφασις in mrg. sec. P || 22 οὐδὲν φαίνεται PF: corr. Schneider: οὐδ' ἐμφαίνεται Wimmer || 23 ἐνύδροις P: ἐνύγροις F || 25 τὰ addidit Schneider || δὲ τοῖς F: δὲ τεῖς sic pr. P || 26 τὸ ante μέλαν et ἀσθενέστερον addidit Schneider || 30 κἂν scripsi: γ' ἐν vulgo cf. G. Mueller de Theophr. dicendi gen. [Arnstadt 1874] p. 27 || 33 ὡς addidi || ταύτης PF: correxit Usener cf. [Aristot.] de col. p. 791b8. καὶ ταύτης τῆς φύσεως τὰς χρόας μετεχούσας μᾶλλον Schneider || τῆς χρόας P: τῆς χρείας ead. m. corr. pr. F: corr. Schneider

μὲν οὖν, ὥσπερ ἐλέχθη, κοινήν τινα ταύτην καὶ παλαιὰν δόξαν ἀναφέρει. πλὴν ἰδίως ἐπὶ πάσαις λέγει ταῖς αἰσθήσεσι καὶ μάλιστα ἐπὶ τῇ ὄψει, διότι τὸ μέγα αἰσθανόμενόν ἐστιν, οὐ δηλοῖ δὲ τὰς σωματικωτέρας αἰσθήσεις.

38 Κλείδημος δὲ μόνος ἰδίως εἴρηκε περὶ τῆς ὄψεως· αἰσθάνεσθαι γάρ φησι τοῖς ὀφθαλμοῖς μόνον ὅτι διαφανεῖς· ταῖς ⟨δ'⟩ ἀκοαῖς, ὅτι ἐμπίπτων ὁ ἀὴρ κινεῖ· ταῖς δὲ ῥισὶν ἐφελκομένους τὸν ἀέρα, τοῦτον γὰρ ἀναμίγνυσθαι· τῇ δὲ γλώσσῃ τοὺς χυμοὺς καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν διὰ τὸ σομφὴν εἶναι· τῷ δὲ ἄλλῳ σώματι παρὰ μὲν ταῦτ' οὐθέν, αὐτῶν δὲ τούτων καὶ τὸ θερμὸν καὶ τὰ ὑγρὰ καὶ τὰ ἐναντία· μόνον δὲ τὰς ἀκοὰς αὐτὰς μὲν οὐδὲν κρίνειν, εἰς δὲ τὸν νοῦν διαπέμπειν, οὐχ ὥσπερ Ἀναξαγόρας ἀρχὴν ποιεῖ πάντων τὸν νοῦν.

39 Διογένης δ' ὥσπερ τὸ ζῆν καὶ τὸ φρονεῖν τῷ ἀέρι καὶ τὰς αἰσθήσεις ἀνάπτει· διὸ καὶ δόξειεν ἂν τῷ ὁμοίῳ ποιεῖν (οὐδὲ γὰρ τὸ ποιεῖν εἶναι καὶ πάσχειν, εἰ μὴ πάντα ἦν ἐξ ἑνός)· τὴν μὲν ὄσφρησιν τῷ περὶ τὸν ἐγκέφαλον ἀέρι· τοῦτον γὰρ ἄθρουν εἶναι καὶ σύμμετρον τῇ ὀσμῇ· τὸν γὰρ ἐγκέφαλον αὐτὸν μανὸν καὶ ⟨τὰ⟩ φλεβία, λεπτότατον δ' ἐν οἷς ἡ διάθεσις ἀσύμμετρος, καὶ οὐ μίγνυσθαι ταῖς ὀσμαῖς· ὡς εἴ τις εἴη τῇ κράσει σύμμετρος,

40 ὄῆλον ὡς αἰσθανόμενον ἄν. τὴν δ' ἀκοήν, ὅταν ὁ ἐν τοῖς ὠσὶν ἀὴρ κινηθεὶς ὑπὸ τοῦ ἔξω διαδῷ πρὸς τὸν ἐγκέφαλον. τὴν δὲ ὄψιν [ὁρᾶν] ἐμφαινομένων εἰς τὴν κόρην, ταύτην δὲ μιγνυμένην τῷ ἐντὸς ἀέρι ποιεῖν αἴσθησιν· σημεῖον δέ· ἐὰν γὰρ φλεγμασία γένηται τῶν φλεβῶν, οὐ μίγνυσθαι τῷ ἐντὸς οὐδ' ὁρᾶν ὁμοίως τῆς ἐμφάσεως οὔσης. τὴν δὲ γεῦσιν τῇ γλώττῃ διὰ τὸ μανὸν καὶ ἁπαλόν. περὶ δὲ ἁφῆς οὐδὲν ἀφώρισεν, οὔτε πῶς οὔτε τίνων ἐστίν. ἀλλὰ μετὰ ταῦτα πειρᾶται λέγειν, διὰ τί συμβαίνει

41 τὰς αἰσθήσεις ἀκριβεστέρας εἶναι καὶ τῶν ποίων. ὄσφρησιν μὲν οὖν ὀξυτάτην οἷς ἐλάχιστος ἀὴρ ἐν τῇ κεφαλῇ, τάχιστα γὰρ μίγνυσθαι· καὶ

---

1 ἐλέχθη p. 509,17 || 2 ἴδιον PF: correxi cf. § 38 50. 55. τι φέρειν ἴδιον dixit supra p. 480, 1 || διὰ τί coni. Schneider, at διότι idem quod ὅτι propter vocalem praecedentem usurpatum ut p. 519,11. 522,11 cf. Vahlen Sitzungsb. d. Wien. Ak. hist.-phil. Kl. vol. XXXVIII p. 58 || 3 τὸ μέγα scripsi cf. § 29 sqq.: τὸ μὲν PF || σωματικωτάτας PF: correxi itemque Usenerus. intellegitur velut tactus, quem verbo stringit § 28 || 4 κλείδιμος P itemque in mrg. sec. P || μόνος ante ἰδίως om. Vossianus at cf. Arist. p. 323b10 || 5 μόνον i. e. αἰσθάνεσθαι διὰ τοῦτο μόνον: μὲν corrigebat Wimmer || δ' addidit Stephanus || 6 ἐφελκόμενος PF: corr. Schneider || 9 scripserim τὸ ὑγρὸν, si cetera sana || 9 μόνον: nam qui praecedunt sensus ipsi iudicium ferunt || 11 ποιῶν Wimmer, at cf. Vahlen ad poët.[2] p. 229 || 12 διογένης in mrg. iterat sec. P || 13 parenthesim significavi. utitur Aristotelis verbis de gen. et corr. I 6 p. 322b13 || 15 ὀσμῇ Schneider IV p. 523: ἀκοῇ PF: ἀνατνοῇ falso alias Schneider || γὰρ post τὸν om. Stephanus || 16 μόνον καὶ φλεβία PF: correxi || λεπτότατον sc. ἀέρα εἶναι. tentabam φλεβία λεπτά, ἧττον δὲ οἷς cf. § 41. Arist. de sens. p. 458a7 || 16 θέσις PF: restitui ex usu Theophrasti cf. §§ 4. 19. 35. 64. d. caus. pl. VI 5 4 || 17 καὶ οὐ PF: fortasse ὡς οὐ || 18 ὄῆλον PF: δεῖλον pr. F in mrg. || 19 ὁρᾶν del. Usener || δ' ἀκοὴν — 19 διαδῷ om. pr. F; add. in mrg. sec. m. || διαδῶ sic PF || 20 ἐμφαινομένην PF: corr. Wimmer || ταύτην — ἐὰν v. 21 om. pr. F, add. in mrg. sec. F || 21 μίγνυσι PF: corr. Wimmer || 22 οὐχ ὁρᾶν PF: correxi || ὁμοίως F: ὁμοίας P || 23 οὔτε πῶς οὔτε τίνων ἐστὶν iteravit, sed idem delevit pr. F || 26 ἧς PF: corr. Schneider || 26 ἥκιστα γὰρ PF: correxi cf. p. 511, 1. minus placet ἧδιστα

πρὸς τούτοις ἐὰν ἕλκῃ διὰ μακροτέρου καὶ στενωτέρου, θᾶττον γὰρ οὕτω κρίνεσθαι· διόπερ ἔνια τῶν ζῴων ὀσφραντικώτερα τῶν ἀνθρώπων εἶναι· οὐ μὴν ἀλλὰ συμμέτρου γε οὔσης τῆς ὀσμῆς τῷ ἀέρι πρὸς τὴν κρᾶσιν μάλιστα ἂν αἰσθάνεσθαι τὸν ἄνθρωπον. ἀκούειν δ' ὀξύτατα, ὧν αἵ τε φλέβες λεπταὶ καθάπερ† τῇ αἰσθήσει καὶ τῇ ἀκοῇ τέτρηται βραχὺ καὶ λεπτὸν καὶ ἰθὺ καὶ πρὸς τούτοις τὸ οὖς ὀρθὸν ἔχει καὶ μέγα· κινούμενον γὰρ τὸν ἐν τοῖς ὠσὶν ἀέρα κινεῖν τὸν ἐντός. ἐὰν δὲ εὐρυτέρα ᾖ, κινουμένου τοῦ ἀέρος ἦχον εἶναι καὶ τὸν ψόφον ἄναρθρον διὰ τὸ μὴ προσπίπτειν πρὸς ἠρεμοῦν. ὁρᾶν δ' ὀξύτατα, ὅσα τε τὸν ἀέρα καὶ τὰς φλέβας ἔχει λεπτάς, ὥσπερ ἐπὶ 42
τῶν ἄλλων καὶ ὅσα τὸν ὀφθαλμὸν λαμπρότατον. μάλιστα δ' ἐμφαίνεσθαι τὸ ἐναντίον χρῶμα· διὸ τοὺς μελανοφθάλμους μεθ' ἡμέραν καὶ τὰ λαμπρὰ μᾶλλον ὁρᾶν, τοὺς δ' ἐναντίους νύκτωρ. ὅτι δὲ ὁ ἐντὸς ἀὴρ αἰσθάνεται μικρὸν ὢν μόριον τοῦ θεοῦ, σημεῖον εἶναι, διότι πολλάκις πρὸς ἄλλα τὸν νοῦν ἔχοντες οὔθ' ὁρῶμεν οὔτ' ἀκούομεν. ἡδονὴν δὲ καὶ λύπην 43
γίνεσθαι τόνδε τὸν τρόπον. ὅταν μὲν πολὺς ὁ ἀὴρ μίσγηται τῷ αἵματι καὶ κουφίζῃ κατὰ φύσιν ὢν καὶ κατὰ πᾶν τὸ σῶμα διεξιών, ἡδονήν· ὅταν δὲ παρὰ φύσιν καὶ μὴ μίσγηται συνιζάνοντος τοῦ αἵματος καὶ ἀσθενεστέρου καὶ πυκνοτέρου γινομένου, λύπην. ὁμοίως καὶ θάρσος καὶ ὑγίειαν καὶ τἀναντία. κριτικώτατον δὲ ἡδονῆς τὴν γλῶτταν· ἁπαλώτατον γὰρ εἶναι καὶ μανὸν καὶ τὰς φλέβας ἁπάσας ἀνήκειν εἰς αὐτήν· διὸ σημεῖά τε πλεῖστα τοῖς κάμνουσιν ἐπ' αὐτῆς εἶναι, καὶ τῶν ἄλλων ζῴων τὰ χρώματα μηνύειν· ὁπόσα γὰρ ἂν ᾖ καὶ ὁποῖα, τοσαῦτα ἐμφαίνεσθαι. τὴν μὲν οὖν αἴσθησιν οὕτω καὶ διὰ τοῦτο γίνεσθαι. φρονεῖν δ', ὥσπερ ἐλέχθη, τῷ ἀέρι 44
καθαρῷ καὶ ξηρῷ· κωλύειν γὰρ τὴν ἰκμάδα τὸν νοῦν· διὸ καὶ ἐν τοῖς ὕπνοις καὶ ἐν ταῖς μέθαις καὶ ἐν ταῖς πλησμοναῖς ἧττον φρονεῖν. ὅτι δὲ ἡ ὑγρότης ἀφαιρεῖται τὸν νοῦν, σημεῖον, διότι τὰ ἄλλα ζῷα χείρω τὴν διάνοιαν· ἀναπνεῖν τε γὰρ τὸν ἀπὸ τῆς γῆς ἀέρα καὶ τροφὴν ὑγροτέραν προσφέρεσθαι. τοὺς δὲ ὄρνιθας ἀναπνεῖν μὲν καθαρόν, φύσιν δὲ ὁμοίαν ἔχειν τοῖς ἰχθύσι· καὶ γὰρ τὴν σάρκα στιφράν, καὶ τὸ πνεῦμα οὐ διιέναι διὰ παντός, ἀλλὰ ἑστάναι περὶ τὴν κοιλίαν. διὸ τὴν μὲν τροφὴν ταχὺ πέττειν, αὐτὸ δ' ἄφρον εἶναι. συμβάλλεσθαι δέ τι πρὸς τῇ τροφῇ καὶ τὸ στόμα

---

1 στενωτέρου P: στενοτέρου F || 5 corrupta verba varie tentata: καὶ τὸ περὶ τῇ αἰσθήσει Philippson, αἱ παρὰ τῇ αἰσθήσει καὶ ἡ ἀκοὴ Wimmer. dubitanter propono καθάπερ τῇ ὀσφρήσει κτλ., ubi post καὶ v. 6 facile cogitando suppleas ἃ cf. v. 9 || 7 εὐρυτέρα sc. ἡ ἀκοή || ᾖ F: ἦ P || 8 quid differat ἦχος et φθόγγος docet Theo Smyrn. p. 50, 14 Hill. cf. Arist. d. anima II 8 p. 420ᵃ15 || τὸν post καὶ delebat Schneider || 9 ὀξύτατον PF: corr. Stephanus || 10 τὸν ὀφθαλμὸν P: τῶν ὀφθαλμῶν F || 11 διὸ PF cf. p. 10, 17: δι' ὃ vulgo || 13 ὢν P: ὂν F || θεοῦ P: θῦ F. θυμοῦ Schneider || 13 διὸ PF: correxi cf. v. 26 et § 68 || 15 μίσγυται pr. F || 16 κουφίζει pr. F || 17 μίσγνυται pr. F || συνισάζοντος PF: corr. Schneider || 18 θάρσος F: θράσος F || 21 αὐτοῖς PF: corr. Stephanus || 22 ὁπόσα sc. χρώματα cf. Arist. probl. 34 6 p. 964ᵃ4 || 23 ἐλέχθη § 39 || 25 ἔτι δὲ PF: corr. Schneider || 26 δ' ὅτι PF: correxi cf. p. 15, 27 || διαπνεῖν PF: corr. Schneider ex v. 27 || 29 σάρκα σρυφνὰν PF: corr. Coray. carnis densitas illis aerem intus arcet nec evaporare sinit || 30 ἱστάναι PF: corr. Schneider || 31 δ' ἔτι PF: correxi. audiendum πρὸς τὸ ἄφρον εἶναι || σῶμα pr. F, quae eadem manus correxit et in mrg. στόμα scripsit

καὶ τὴν γλῶτταν· οὐ γὰρ δύνασθαι συνεῖναι ἀλλήλων. τὰ δὲ φυτὰ διὰ τὸ μὴ εἶναι κοῖλα μηδὲ ἀναδέχεσθαι τὸν ἀέρα παντελῶς ἀφῃρῆσθαι τὸ
45 φρονεῖν. ταὐτὸν δ' αἴτιον εἶναι καὶ ὅτι τὰ παιδία ἄφρονα. πολὺ γὰρ ἔχειν τὸ ὑγρόν, ὥστε μὴ δύνασθαι διὰ παντὸς διιέναι τοῦ σώματος, ἀλλὰ ἐκκρίνεσθαι περὶ τὰ στήθη, διὸ νωθῆ τε εἶναι καὶ ἄφρονα. ὀργίλα δὲ καὶ ὅλως ὀξύρροπα καὶ εὐμετάπτωτα διὰ τὸ ἐκ μικρῶν κρίνεσθαι τὸν ἀέρα πολύν· ὅπερ καὶ τῆς λήθης αἴτιον εἶναι· διὰ γὰρ τὸ μὴ ἰέναι διὰ παντὸς τοῦ σώματος οὐ δύνασθαι συνεῖναι· σημεῖον δέ· καὶ γὰρ τοῖς ἀναμιμνησκομένοις τὴν ἀπορίαν εἶναι περὶ τὸ στῆθος, ὅταν δὲ εὕρωσιν, 'διασχίδνασθαι' καὶ ἀνακουφίζεσθαι τῆς λύπης.

46 Διογένης μὲν οὖν πάντα βουλόμενος ἀνάπτειν τῷ ἀέρι πολλῶν ἀπολείπεται πρὸς πίστιν. οὔτε γὰρ τὴν αἴσθησιν οὔτε τὴν φρόνησιν ἴδιον ποιεῖ τῶν ἐμψύχων. ἴσως γὰρ καὶ ἀέρα τοιοῦτον καὶ κρᾶσιν καὶ συμμετρίαν ἐνδέχεται πανταχοῦ καὶ πᾶσιν ὑπάρχειν, εἰ δὲ μή, τοῦτο αὐτὸ λεκτέον. ἔτι δὲ καὶ ἐν αὐταῖς ταῖς διαφόροις αἰσθήσεσιν, ὥστε ἐνδέχεσθαι τὰ τῆς ὄψεως τὴν ἀκοὴν κρίνειν καὶ ἅπερ ἡμεῖς τῇ ὀσφρήσει, ταῦτα ἄλλο τι ζῷον ἑτέρᾳ διὰ τὸ τὴν αὐτὴν ἔχειν κρᾶσιν· ὥστε καὶ τῇ περὶ τὸν θώρακα ἀναπνοῇ κρίνειν τότε τὰς ὀσμάς· ἐνδέχεται γὰρ ἐνίοτε σύμμετρον εἶναι
47 ταύταις. εὐήθη δὲ καὶ τὰ περὶ τὴν ὄψιν, ὡς τῷ ἀέρι τῷ ἐντὸς ὁρῶμεν· ἀλλὰ ἐλέγχει μέν πως τοὺς τὴν ἔμφασιν ποιοῦντας, οὐ μὴν αὐτὸς λέγει τὴν αἰτίαν. ἔπειτα τὸ μὲν αἰσθάνεσθαι καὶ ἥδεσθαι καὶ φρονεῖν τῇ τε ἀναπνοῇ καὶ τῇ μίξει τοῦ αἵματος ἀποδίδωσι. πολλὰ δὲ τῶν ζῴων τὰ μὲν ἄναιμα, τὰ δὲ ὅλως οὐκ ἀναπνεῖ· καὶ εἰ δεῖ διὰ παντὸς τοῦ σώματος διιέναι τὴν ἀναπνοήν, ἀλλὰ ⟨μὴ⟩ μορίων τινῶν (μικροῦ γὰρ ἕνεκα τοῦτ' ἔστιν), οὐθὲν ἂν κωλύοι διά γε τοῦτο καὶ τὰ πάντα καὶ μεμνῆσθαι καὶ φρονεῖν. *** ἔτι δὲ εἰ καὶ τοῦτο συνέβαινεν, οὐκ ἂν ἦν ἐμποδών. οὐ γὰρ ἐν ἅπασι τοῖς μέρεσιν ὁ νοῦς, οἷον ἐν τοῖς σκέλεσι καὶ τοῖς ποσίν, ἀλλὰ ἐν ὡρισμένοις, δι' ὧν καὶ οἱ ἐν ἡλικίᾳ καὶ μέμνηνται καὶ

---

1 συνεῖναι PF: συνιέναι Schneider at cf. v. 8 || 2 ἀναιρεῖσθαι PF: corr. Schneider || 4 διέναι, sed in mrg. corr. pr. F. puta aerem cf. v. 7. 24 p. 511, 29 || τοῦ σώματος — 5 ἄφρονα om. pr. F; add. et inter versus et in mrg. sec. F || 6 κινεῖσθαι P: oblitterata post τὸ habet F: correxi cf. v. 5 et p. 511, 2. ἐν μικρῷ κινεῖσθαι coni. Schneider || 8 συνεῖναι P: καὶ συνεῖναι F: συνιέναι Schneider || 9 διασχίδνασθαι sc. aera. servavit Ionicam formam cf. § 55. 56 || 13 τῶν ὄψεων PF: τῶν ἐμψύχων scripsit Wimmer cf. § 12 || τὸν αὐτὸν cf. v. 17 non necessarium est || 15 ἔτι δὲ sc. ἐνδέχεται τὸν τοιοῦτον ἀέρα ὑπάρχειν || 16 ὥσπερ PF: correxi. nam et διὰ τὸ τὴν αὐτὴν κρᾶσιν et proximum exemplum sensuum promiscuum usum probari docet || 17 ἕτερα PF: scripsi ἑτέρᾳ sc. αἰσθήσει cf. v. 15 || τῇ P: τὸ F ||

18 τότε fuit qui ποτε corrigere vellet. sed intellege: *si verum esset eodem aeris genere omnia sentiri* cf. p. 505, 11 || 19 εὔηθες Stephanus et τὸ περὶ Schneider cf. § 48 || ἀστέρι F sed στέρι rescriptum || 20 ἐλέγχομέν πως PF: corr. Stephanus || 22 τῇ τε Wimmer: ἔτι δέ PF || 23 καὶ εἰ δεῖ P pr. F: καὶ δεῖ resc. F || 24 addidi μή. verte: *et si respirationem necesse est per totum corpus, non per partes tantum permeare* velut per nares (*nam parum hoc efficitur* velut olfactus) *tamen per hoc vel omnia* animalia *cogitare nihil est quod prohibeat.* iam vero causa intercidit velut οὐθὲν γὰρ ἂν κωλύοι διὰ παντὸς ἀναπνεῖν || 25 κωλύει F: κωλύῃ P: corr. Stephanus || 28 ὡρισμέναις PF: corr. Camotius (ὡρισμαίνοις Vossianus) || οἱ P: ἡ F

φρονοῦσιν. εὔηθες δὲ καὶ τὸ τοὺς ἀνθρώπους διαφέρειν τῷ καθα- 48
ρώτερον ἀναπνεῖν, ἀλλ' οὐ τὴν φύσιν, καθάπερ καὶ τὰ ἔμψυχα τῶν ἀψύχων. ἐχρῆν γὰρ εὐθὺς μεταλλάξαντα τόπον διαφέρειν τῷ φρονεῖν καὶ τῶν ἀνθρώπων δὲ τοὺς ἐν τοῖς ὑψηλοῖς ἐμφρονεστέρους εἶναι, τῶν πάντων δὲ μάλιστα τοὺς ὄρνιθας· οὐ γὰρ τοσοῦτον ἡ τῆς σαρκὸς διαφέρει φύσις, ὅσον ἡ τοῦ ἀέρος καθαριότης. ἔτι δὲ τὰ φυτὰ μὴ φρονεῖν διὰ τὸ μὴ ἔχειν κενόν. οἷς δ' ἐνυπάρχει, ταῦτα πάντα φρονεῖν. Διογένης μὲν οὖν, ὥσπερ εἴπομεν, ἅπαντα προθυμούμενος ἀνάγειν εἰς τὴν ἀρχὴν πολλὰ διαμαρτάνει τῶν εὐλόγων.

Δημόκριτος δὲ περὶ μὲν αἰσθήσεως οὐ διορίζει, πότερα τοῖς ἐναντίοις 49
ἢ τοῖς ὁμοίοις ἐστίν. εἰ μὲν γὰρ ⟨τῷ⟩ ἀλλοιοῦσθαι ποιεῖ τὸ αἰσθάνεσθαι, δόξειεν ἂν τοῖς διαφόροις· οὐ γὰρ ἀλλοιοῦται τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου· πάλιν δ' ⟨εἰ⟩ τὸ μὲν αἰσθάνεσθαι καὶ ἁπλῶς ἀλλοιοῦσθαι ⟨τῷ⟩ πάσχειν, ἀδύνατον δέ, φησί, τὰ μὴ ταὐτὰ πάσχειν, ἀλλὰ κἂν ἕτερα ὄντα ποιῇ οὐχ ⟨ἧ⟩ ἕτερα ἀλλ' ἧ ταὐτόν τι ὑπάρχει, τοῖς ὁμοίοις. διὸ περὶ μὲν τούτων ἀμφοτέρως ἔστιν ὑπολαβεῖν. περὶ ἑκάστης δ' ἤδη αὐτῶν ἐν μέρει πειρᾶται λέγειν. ὁρᾶν μὲν οὖν ποιεῖ τῇ ἐμφάσει· ταύτην δὲ ἰδίως λέγει· τὴν 50
γὰρ ἔμφασιν οὐκ εὐθὺς ἐν τῇ κόρῃ γίνεσθαι, ἀλλὰ τὸν ἀέρα τὸν μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου τυποῦσθαι συστελλόμενον ὑπὸ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος· ἅπαντος γὰρ ἀεί γίνεσθαί τινα ἀπορροήν· ἔπειτα τοῦτον στερεὸν ὄντα καὶ ἀλλόχρων ἐμφαίνεσθαι τοῖς ὄμμασιν ὑγροῖς. καὶ τὸ μὲν πυκνὸν οὐ δέχεσθαι, τὸ δὲ ὑγρὸν διιέναι. διὸ καὶ τοὺς ὑγροὺς τῶν σκληρῶν ὀφθαλμῶν ἀμείνους εἶναι πρὸς τὸ ὁρᾶν, εἰ ὁ μὲν ἔξω χιτὼν ὡς λεπτότατος καὶ πυκνότατος εἴη, τὰ δ' ἐντὸς ὡς μάλιστα σομφὰ καὶ κενὰ πυκνῆς καὶ στιφρᾶς σαρκός, ἔτι δὲ ἰκμάδος παχείας τε καὶ λιπαρᾶς, καὶ αἱ φλέβες ⟨αἱ⟩ κατὰ τοὺς ὀφθαλμοὺς εὐθεῖαι καὶ ἄνικμοι, ὡς 'ὁμοιοσχημονεῖν' τοῖς ἀποτυπουμένοις. τὰ γὰρ ὁμόφυλα μάλιστα ἕκαστον γνωρίζειν.

Πρῶτον μὲν οὖν ἄτοπος ἡ ἀποτύπωσις ἡ ἐν τῷ ἀέρι. δεῖ γὰρ ἔχειν 51
πυκνότητα καὶ μὴ 'θρύπτεσθαι' τὸ τυπούμενον, ὥσπερ καὶ αὐτὸς λέγει

---

1 τὸ καὶ PF: transposuit Wimmer || τῷ P: τὸ F || 3 τὸ φρονεῖν PF: corr. Stephanus || 4 ἐμφανεστέρους P: ἐμφαινεστέρους F: corr. Schneider || fortasse τῶν ⟨κάτω⟩, πάντων || 7 post φρονεῖν Theophrasti refutatio intercidisse videtur || 8 εἴπομεν § 46 || 10 δημόκριτος in mrg. iterat sec. P || 11 ἧ μὲν γὰρ coni. Schneider || τῷ addidit Camotius: om. PF Vossianus || 13 εἰ addidit Wimmer || πάλιν δὲ τὸ μὲν αἰσθάνεσθαι καὶ ὑπ' ἀλλήλων ἀλλοιοῦσθαι ἢ πάσχειν μὴ ὄντα ταὐτὰ ἀδύνατόν φησιν εἶναι volebat Burchard || ἁπλῶς τὸ ἀλλοιοῦσθαι λέγει πάσχειν coni. Schneider || τῷ addidit Philippson || 14 φησι, τῷ P: φησί, τὸ F: corr. Zeller || ἀλλὰ καὶ ἕτερα ὄντα ποιεῖν οὐχ ἕτερα, ἀλλ' ἢ ταυτόν τι πάσχει, PF: correctum ex Arist. de gen. et corr. I 7 p. 323b 13 ἀλλὰ κἂν ἕτερα ὄντα ποιῇ τι εἰς ἄλληλα, οὐχ ἧ ἕτερα ἀλλ' ἧ ταὐτόν τι ὑπάρχει κτλ. || 15 διὰ PF: corr. Camotius. δι' ἃ Vossianus || 16 ὑπολαμβάνειν Schneider || αὐτῶν Mullach: τῶν PF: τούτων Burchard || 19 an στελλόμενον ἀπὸ τ. ὁ. κατὰ τοῦ ὁ.? || 23 λεπτώτατος pr. F || 25 ἰσχυρᾶς σαρκός PF: corr. Usener || αἱ addidi || 26 καὶ μὴ εὐσχημονεῖν FP: correxi ὡς ὁμοιοσχημονεῖν. Schneider καὶ ὁμοιοσχημονοῖεν. verbum est Democriteum cf. Placit. IV 19 3 v. Prol. p. 219. καὶ μὴ ἐνοχλοῖεν coni. Burchard || 29 θρύπτεσθαι Democriteum verbum cf. Placit. l. c. Prol. l. c. || τὸ πυκνούμενον PF: corr. Zeller. non conferri debent p. 514, 6 et 26

παραβάλλων τοιαύτην εἶναι τὴν ἐντύπωσιν, οἷον εἰ ἐκμάξειας εἰς κηρόν. ἔπειτα μᾶλλον ἐν ὕδατι τυποῦσθαι δυνατόν, ὅσῳ πυκνότερον· ἧττον δὲ ὁρᾶται, καίτοι προσῆκε μᾶλλον. ὅλως δὲ ἀπορρὴν ποιοῦντα τῆς μορφῆς, ὥσπερ ἐν τοῖς περὶ τῶν εἰδῶν, τί δεῖ τὴν ἀποτύπωσιν ποιεῖν; αὐτὰ γὰρ
52 ἐμφαίνεται τὰ εἴδωλα. εἰ δὲ δὴ τοῦτο συμβαίνει καὶ ὁ ἀὴρ ἀπομάττεται καθάπερ κηρὸς ὠθούμενος καὶ πυκνούμενος, πῶς καὶ ποία τις ἡ ἔμφασις γίνεται; δῆλον γὰρ ὡς ἐπὶ προσώπου ⟨ὁ⟩ τύπος ἔσται τῷ ὁρωμένῳ καθάπερ ἐν τοῖς ἄλλοις. τοιούτου δ' ὄντος ἀδύνατον ἐξ ἐναντίας ἔμφασιν γίνεσθαι μὴ στραφέντος τοῦ τύπου. τοῦτο δ' ὑπὸ τίνος ἔσται καὶ πῶς, δεικτέον· οὐχ οἷόν τε γὰρ ἄλλως γίνεσθαι τὸ ὁρᾶν. ἔπειτα ὅταν ὁρᾶται πλείονα κατὰ τὸν αὐτὸν τόπον, πῶς ἐν τῷ αὐτῷ ἀέρι πλείους ἔσονται τύποι; καὶ πάλιν πῶς ἀλλήλους ὁρᾶν ἐνδέχεται; τοὺς γὰρ τύπους ἀνάγκη συμβάλλειν ἑαυτοῖς, ἑκάτερον ἀντιπρόσωπον ὄντα ἀφ' ὧν ἐστιν. ὥστε
53 τοῦτο ζήτησιν ἔχει. καὶ πρὸς τούτῳ διὰ τί ποτε ἕκαστος αὐτὸς αὑτὸν οὐχ ὁρᾷ; καθάπερ γὰρ τοῖς τῶν πέλας ὄμμασιν, οἱ τύποι καὶ τοῖς ἑαυτῶν ἐμφαίνοιντ' ἄν, ἄλλως τε εἰ καὶ εὐθὺς ἀντιπρόσωποι κεῖνται καὶ ταὐτὸ συμβαίνει πάθος ὥσπερ ἐπὶ τῆς ἠχοῦς. ἀνακλᾶσθαι γάρ φησι καὶ πρὸς αὐτὸν τὸν φθεγξάμενον τὴν φωνήν. ὅλως δὲ ἄτοπος ἡ τοῦ ἀέρος τύπωσις. ἀνάγκη γὰρ ἐξ ὧν λέγει πάντα ἐναποτυποῦσθαι τὰ σώματα καὶ πολλὰ ἐναλλάττειν, ὃ καὶ πρὸς τὴν ὄψιν ἐμπόδιον ἂν εἴη καὶ ἄλλως οὐκ εὔλογον. ἔτι δὲ εἴπερ ἡ τύπωσις διαμένει, καὶ μὴ φανερῶν [ὄντων] μηδὲ πλησίον ὄντων τῶν σωμάτων ἐχρῆν ὁρᾶν εἰ καὶ μὴ νύκτωρ, ἀλλὰ μεθ' ἡμέραν. καίτοι τούς γε τύπους οὐχ ἧττον εἰκὸς διαμένειν νυκτός, ὅσῳ ἐμ-
54 ψυχρότερος ὁ ἀήρ. ἀλλ' ἴσως τὴν ἔμφασιν ὁ ἥλιος ποιεῖ καὶ τὸ φῶς ὥσπερ * ἐπιφέρων ἐπὶ τὴν ὄψιν, καθάπερ ἔοικε βούλεσθαι λέγειν· ἐπεὶ τό γε τὸν ἥλιον ἀπωθοῦντα ἀφ' ἑαυτοῦ καὶ ἀποπληττόμενον πυκνοῦν τὸν ἀέρα, καθάπερ φησίν, ἄτοπον· διακρίνειν γὰρ πέφυκε μᾶλλον. ἄτοπον δὲ καὶ τὸ μὴ μόνον τοῖς ὄμμασιν, ἀλλὰ καὶ τῷ ἄλλῳ σώματι μεταδιδόναι τῆς αἰσθήσεως· φησὶ γὰρ διὰ τοῦτο κενότητα καὶ ὑγρότητα ἔχειν δεῖν τὸν ὀφθαλμόν, ἵν' ἐπὶ πλέον δέχηται καὶ τῷ ἄλλῳ σώματι παραδιδῷ. ἄλογον δὲ καὶ τὸ μάλιστα μὲν ὁρᾶν φάναι τὰ ὁμόφυλα, τὴν δὲ ἔμφασιν ποιεῖν τοῖς ἀλλόχρωσιν ὡς οὐκ ἐμφαινομένων τῶν ὁμοίων. τὰ δὲ μεγέθη καὶ

---

1 εἰς σκληρόν PF: corr. Burchard cf. v. 6 || 3 ὁρᾶσθαι PF: corr. Wimmer || 4 εἰδῶν tuetur Mullach Democr. fragm. p. 135. de citandi forma cf. p. 525, 4: εἰδώλων Schneider || τί δὴ τὴν ἀποτύπωσιν ποιεῖ, αὐτῷ γὰρ ἐμφαίνει τῷ τὰ εἴδωλα P resc. F: corr. Schneider || 6 τίς PF (sed oblitteratum) || 7 ὁ addidit Schneider || 13 ἂν πρόσωπον PF: corr. Stephanus || ὄντα recte PF: ὄντας Camotius || 15 καίτοιγε αὐτῶν PF: correxi. καὶ τοῖς αὐτῶν praeiverat Schneider || 16 εἰ καὶ cf. G. Mueller l. c. p. 39. Aristot. p. 511 b 12 || 17 ἐπὶ — 18 φθεγξάμενον om., sed in mrg. add. pr. F || 20 ἐναλάττειν F et sic saepius || 21 post διαμένει distinxi, vulgo post σωμάτων. καίτοι breviter dictum '*atqui noctu quoque fieri potest, nam etc.*' || ὄντων post φανερῶν delevit Schneider || 23 ἐμψυχότερος PF: corr. Wimmer || 24 καὶ post ποιεῖ PF: om. Voss. Camot. || 25 hiatum supplere nequivi || 26 τό γε P, sec. F: τό τε pr. F || τὸν ὅτι ἀπαθοῦντα sic PF: corr. Schneider || ἀποπλαττόμενον PF: corr Usener conl. Ar. probl. 11 7 p. 899 b 44 || πυκνὸν PF: corr. Schneider || 31 τὴν P: τὸν(?) F || 32 τοῖς P: τοῖς δ' F || ὁμοίως PF: corr. Vossianus

τὰ διαστήματα πῶς ἐμφαίνεται, καίπερ ἐπιχειρήσας λέγειν οὐκ ἀποδίδωσιν. περὶ μὲν οὖν ὄψεως ἰδίως ἕνια βουλόμενος λέγειν πλείω παραδίδωσι ζήτησιν. 55 τὴν δ' ἀκοὴν παραπλησίως ποιεῖ τοῖς ἄλλοις. εἰς γὰρ τὸ κενὸν ἐμπίπτοντα τὸν ἀέρα κίνησιν ἐμποιεῖν· πλὴν ὅτι κατὰ πᾶν μὲν ὁμοίως τὸ σῶμα εἰσιέναι, μάλιστα δὲ καὶ πλεῖστον διὰ τῶν ὤτων, ὅτι διὰ πλείστου τε κενοῦ διέρχεται καὶ ἥκιστα 'διαμίμνει'. διὸ καὶ κατὰ μὲν τὸ ἄλλο σῶμα οὐκ αἰσθάνεσθαι, ταύτῃ δὲ μόνον. ὅταν δὲ ἐντὸς γένηται, 'σκίδνασθαι' διὰ τὸ τάχος· τὴν γὰρ φωνὴν εἶναι πυκνουμένου τοῦ ἀέρος καὶ μετὰ βίας εἰσιόντος. ὥσπερ οὖν ἐκτὸς ποιεῖ τῇ ἀφῇ τὴν αἴσθησιν, οὕτω καὶ ἐντός. ὀξύ- 56 τατα δ' ἀκούειν, εἰ ὁ μὲν ἔξω χιτὼν εἴη πυκνός, τὰ δὲ φλεβία κενὰ καὶ ὡς μάλιστα ἄνικμα καὶ εὔτρητα κατά τε τὸ ἄλλο σῶμα καὶ τὴν κεφαλὴν καὶ τὰς ἀκοάς, ἔτι δὲ τὰ ὀστᾶ πυκνὰ καὶ ὁ ἐγκέφαλος εὔκρατος καὶ τὸ περὶ αὐτὸν ὡς ξηρότατον· ἀθρόον γὰρ ἂν οὕτως εἰσιέναι τὴν φωνὴν ἅτε διὰ πολλοῦ κενοῦ καὶ ἀνίκμου καὶ εὐτρήτου εἰσιοῦσαν καὶ ταχὺ 'σκίδνασθαι' καὶ ὁμαλῶς κατὰ τὸ σῶμα καὶ οὐ διεκπίπτειν ἔξω. τὸ μὲν οὖν ἀσα- 57 φῶς ἀφορίζειν ὁμοίως ἔχει τοῖς ἄλλοις. ἄτοπον δὲ καὶ ἴδιον ⟨τὸ⟩ κατὰ πᾶν τὸ σῶμα τὸν ψόφον εἰσιέναι, καὶ ὅταν εἰσέλθῃ διὰ τῆς ἀκοῆς, διαχεῖσθαι κατὰ πᾶν, ὥσπερ οὐ ταῖς ἀκοαῖς, ἀλλ' ὅλῳ τῷ σώματι τὴν αἴσθησιν οὖσαν. οὐ γὰρ κἂν συμπάσχῃ τι τῇ ἀκοῇ, διὰ τοῦτο καὶ αἰσθάνεται. πάσαις γὰρ τοῦτό γε ὁμοίως ποιεῖ, καὶ οὐ μόνον ταῖς αἰσθήσεσιν, ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ περὶ μὲν ὄψεως καὶ ἀκοῆς οὕτως ἀποδίδωσι, τὰς δὲ ἄλλας αἰσθήσεις σχεδὸν ὁμοίως ποιεῖ τοῖς πλείστοις. περὶ 58 δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν, ὅτι γίνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρᾶσιν· ἐὰν δὲ περίθερμός τις ἢ περίψυχρος γένηται, μεταλλάττειν φησί. διὸ καὶ τοὺς παλαιοὺς καλῶς τοῦθ' ὑπολαβεῖν, ὅτι ἐστὶν 'ἀλλοφρονεῖν'. ὥστε φανερόν, ὅτι τῇ κράσει τοῦ σώματος ποιεῖ τὸ φρονεῖν, ὅπερ ἴσως αὐτῷ καὶ κατὰ λόγον ἐστὶ σῶμα ποιοῦντι τὴν ψυχήν.

1 φαίνεται PF: corr. Philippson || οὐκ Schneider: πῶς PF || 4 post πλὴν add. μὲν statim deletum F || 6 διαμίμνει FP: διαμένει Camotius. servata est vox Democritea cf. p. 513,26 et 29. similiter σκίδνασθαι vv. 7. 14 cf. p. 512, 10 Proleg. p. 219 || 8 διὰ τὸ τάχος PF: διὰ τάχους Mullach conl. § 56 v. 14 ταχὺ σκίδνασθαι. πανταχόσε Usener cf. v. 18 || 8 τυπτομένου coni. Burchard cf. Gell. N. A. V 15: θρυπτομένου Papencordt conl. Placit. IV 19 3 || 9 οὕτω τῇ ἀκοῇ ἐντός coni. Schneider. fortasse recte || ὀξύτατον vulgo: correxi || 11 ἄνικμα P: ἔνικμα pr. F (κ iteravit super versum sec. m.) || κατὰ δὲ PF || 12 τὰ ὀστᾶ P: τὰ oblitt. F || 13 ξυρότατον F || ἂν PF: om. Voss. Camot. || 15 οὐδὲ ἐκπίπτειν PF: correxi cf. Theophr. d. ign. 17. Aristot. probl. 14 14 p. 910a 17 et 14 16 p. 910b 5 ἀραιοῦ γὰρ ὄντος αὐτοῖς τοῦ σώματος τὸ θερμὸν αὐτῶν ἔξω διεκπίπτει || 15 σαφῶς PF: correxi. οὐ σαφῶς coni. Wimmer || 16 καὶ δι' ὧν PF: καὶ ἴδιον Zeller cf. Theophr. de odor. 62 θαυμαστὸν δὲ καὶ ἴδιον τὸ συμπάσχειν κτλ.: τὸ ἴδιον Wimmer: καὶ ἄδηλον Mullach. καὶ δι' ὤτων Burchard || τὸ addidi || 19 οὐ γὰρ Schneider: εἰ γὰρ PF || καὶ συμπάσχει PF: correxi. εἰ καὶ συμπάσχει Schneider || καὶ αἰσθάνεσθαι PF: corr. Schneider. οὐκ αἰσθάνεται servato in protasi εἰ Wimmer || 20 ὁμοίως πρόσεστιν, οὐ Usener || 22 ὁμοίως PF: ὁμοίας Stephanus || ποιοῖ rescr. F || 24 ψυχῆς μετὰ τὴν κίνησιν PF: correxit Schneider cf. v. 26 et p. 516, 16. 17: vulgatum frustra tuentur Philippson, Heimsoeth d. anim. doctr. p. 11, Mullach p. 345, Zeller I⁴ 821 1 || 25 διότι PF: correxi || 26 ἀλλοφρονεῖν PF. cf. Arist. de anima I 2 p. 404a 27 metaph. Γ 5 p. 1009b 30 [La Roche hom. Textcrit. p. 31] || 27 αὐτὸ pr. F

αἱ μὲν οὖν περὶ αἰσθήσεως καὶ τοῦ φρονεῖν δόξαι σχεδὸν αὗται καὶ τοσαῦται τυγχάνουσιν οὖσαι [παρὰ] τῶν πρότερον.

59 Περὶ δὲ τῶν αἰσθητῶν, τίς ἡ φύσις καὶ ποῖον ἕκαστόν ἐστιν, οἱ μὲν ἄλλοι παραλείπουσιν. τῶν μὲν γὰρ ὑπὸ τὴν ἁφὴν περὶ βαρέος καὶ κούφου καὶ θερμοῦ καὶ ψυχροῦ λέγουσιν, οἷον ὅτι τὸ μὲν μανὸν καὶ λεπτὸν θερμόν, τὸ δὲ πυκνὸν καὶ παχὺ ψυχρόν, ὥσπερ Ἀναξαγόρας διαιρεῖ τὸν ἀέρα καὶ τὸν αἰθέρα· σχεδὸν δὲ καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον τοῖς αὐτοῖς καὶ ἔτι ταῖς ἄνω καὶ κάτω φοραῖς, καὶ πρὸς τούτοις περί τε φωνῆς ὅτι κίνησις τοῦ ἀέρος, καὶ περὶ ὀσμῆς ὅτι ἀπορροή τις. Ἐμπεδοκλῆς δὲ καὶ περὶ τῶν χρωμάτων καὶ ὅτι τὸ μὲν λευκὸν τοῦ πυρός, τὸ δὲ μέλαν τοῦ ὕδατος. οἱ δὲ ἄλλοι τοσοῦτον μόνον, ὅτι τό τε λευκὸν καὶ τὸ μέλαν ἀρχαί, τὰ δ' ἄλλα μιγνυμένων γίνεται τούτων. καὶ γὰρ Ἀναξαγόρας ἁπλῶς
60 εἴρηκε περὶ αὐτῶν. Δημόκριτος δὲ καὶ Πλάτων ἐπὶ πλεῖστόν εἰσιν ἡμμένοι, καθ' ἕκαστον γὰρ ἀφορίζουσι, πλὴν ὁ μὲν οὐκ ἀποστερῶν τῶν αἰσθητῶν τὴν φύσιν, Δημόκριτος δὲ πάντα πάθη τῆς αἰσθήσεως ποιῶν. ποτέρως μὲν οὖν ἔχει τἀληθές, οὐκ ἂν εἴη λόγος. ἐφ' ὅσον δὲ ἑκάτερος ἥπται καὶ πῶς ἀφώρικε, πειραθῶμεν ἀποδοῦναι πρότερον εἰπόντες τὴν ὅλην ἔφοδον ἑκατέρου. Δημόκριτος μὲν οὖν οὐχ ὁμοίως λέγει περὶ πάντων, ἀλλὰ τὰ μὲν τοῖς μεγέθεσι, τὰ δὲ τοῖς σχήμασιν, ἔνια δὲ τάξει καὶ θέσει διορίζει. Πλάτων δὲ σχεδὸν ἅπαντα πρὸς τὰ πάθη καὶ τὴν αἴσθησιν ἀποδίδωσιν. ὥστε δόξειεν ἂν ἑκάτερος ἐναντίως τῇ ὑποθέσει λέ-
61 γειν. ὁ μὲν γὰρ πάθη ποιῶν τῆς αἰσθήσεως καθ' αὑτὰ διορίζει τὴν φύσιν· ὁ δὲ καθ' αὑτὰ ποιῶν ταῖς οὐσίαις πρὸς τὰ πάθη τῆς αἰσθήσεως ἀποδίδωσι.

Βαρὺ μὲν οὖν καὶ κοῦφον τῷ μεγέθει διαιρεῖ Δημόκριτος. εἰ γὰρ διακριθείη καθ' ἓν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι [διαφέρει], σταθμοῦ ἂν ἐπὶ μεγέθει τὴν φύσιν ἔχειν. οὐ μὴν ἀλλ' ἔν γε τοῖς μικτοῖς κουφότερον μὲν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δὲ τὸ ἔλαττον. ἐν ἐνίοις
62 μὲν οὕτως εἴρηκεν. ἐν ἄλλοις δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. παραπλησίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ. σκληρὸν μὲν γὰρ εἶναι τὸ πυκνόν, μαλακὸν δὲ τὸ μανόν, καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον

---

2 περὶ pr. F: παρὰ P sec. F: del. Usener cf. v. 3. παρὰ τοῖς πρότερον Wimmer || 3 περὶ αἰσθητῶν in mrg. sec. P || 4 γὰρ περὶ P pr. F: corr. eadem pr. F || 7 ἐπὶ ταῖς PF: corr. Schneider || 8 καὶ πρὸς F: πρὸς (om. καὶ) P || φωνῆ (φωνῶν) PF: correxi || 10 καὶ *et is quidem.* opponuntur οἱ δὲ ἄλλοι v. 11 || 14 οἰμμένοι pr. F: ἡ superscr. sec. F: recte P || τῶν PF: om. Stephanus || 15 ποιῶν P: πονῶν pr. F: ποτῶν sec. F || 16 νῦν addidit post εἴη Schneider, sed cf. Arist. p. 1006 a 23, b 6 || 17 πειραθῶμεν P: πειρασθῶμεν F || 18 mrg. adscripsit δημόκριτος sec. P || ἑκατέρην statim corr. pr. F || 22 et 23 καθ' αὑτὰ P: καθαυτὰ sic F || 22 διωρίζει pr. F || 25 διαιρεῖν PF: corr. Stephanus || 26 διακριθῇ vulgo: correxi. opponuntur τὰ μικτά v. 27 || καθ' ἓν ἕκαστον scripsi: ἔνθεν ἕκαστον PF: ἓν ἕκαστον Mullach. ἓν μὲν ἕκαστον Burchard. de re cf. Arist. d. cael. IV 2 p. 308 b 35 || διαφέρει PF: om. Vossianus || σταθμὸν PF: corr. Papencordt || 27 pro τὴν φύσιν, quod utique scribendum erat τινὰ φύσιν cf. p. 520, 3, rescripsit Preller τὴν κρίσιν, Usener coni. τὴν διαφοράν || 28 ἂν εἶναι PF: corr. Usener || 29 num μὲν οὖν? || 31 μᾶλλον δὲ PF: μᾶλλόν τε Stephanus

καὶ † μᾶλιστα κατὰ λόγον. διαφέρειν δέ τι τὴν θέσιν καὶ τὴν ἐναπόληψιν τῶν κενῶν τοῦ σκληροῦ καὶ μαλακοῦ καὶ βαρέος καὶ κούφου. διὸ σκληρότερον μὲν εἶναι σίδηρον, βαρύτερον δὲ μόλυβδον· τὸν μὲν γὰρ σίδηρον ἀνωμάλως συγκεῖσθαι καὶ τὸ κενὸν ἔχειν πολλαχῇ καὶ κατὰ μεγάλα, πεπυκνῶσθαι δὲ κατὰ ἔνια, ἁπλῶς δὲ πλέον ἔχειν κενόν. τὸν δὲ μόλυβδον ἔλαττον ἔχοντα κενὸν ὁμαλῶς συγκεῖσθαι ⟨καὶ⟩ κατὰ πᾶν ὁμοίως, διὸ βαρύτερον μέν, μαλακώτερον δ' εἶναι τοῦ σιδήρου. περὶ μὲν ⟨οὖν⟩ βαρέος καὶ κούφου 63
καὶ σκληροῦ καὶ μαλακοῦ ἐν τούτοις ἀφορίζει. τῶν δὲ ἄλλων αἰσθητῶν οὐδενὸς εἶναι φύσιν, ἀλλὰ πάντα πάθη τῆς αἰσθήσεως ἀλλοιουμένης, ἐξ ἧς γίνεσθαι τὴν φαντασίαν. οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν. ἀλλὰ τὸ σχῆμα 'μεταπῖπτον' ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν· ὅ τι γὰρ ἂν ἄθρουν ᾖ, τοῦτ' ἐνισχύειν ἑκάστῳ, τὸ δ' εἰς μακρὰ διανενεμημένον ἀναίσθητον εἶναι. σημεῖον δ' ὡς οὐκ εἰσὶ φύσει τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι τοῖς ζῴοις, ἀλλ' ὃ ἡμῖν γλυκύ, τοῦτ' ἄλλοις πικρὸν καὶ ἑτέροις ὀξὺ καὶ ἄλλοις ἁρμὺ τοῖς δὲ στρυφνόν καὶ τὰ ἄλλα δ' ὡσαύτως. ἔτι δ' αὐτοὺς μεταβάλλειν τῇ κράσει κατὰ τὰ πάθη καὶ τὰς ἡλικίας· ᾗ 64
καὶ φανερόν, ὡς ἡ διάθεσις αἰτία τῆς φαντασίας. ἁπλῶς μὲν οὖν περὶ τῶν αἰσθητῶν οὕτω δεῖν ὑπολαμβάνειν. οὐ μὴν ἀλλ' ὥσπερ καὶ τὰ ἄλλα καὶ ταῦτα ἀνατίθησι τοῖς σχήμασι· πλὴν οὐχ ἁπάντων ἀποδίδωσι τὰς μορφάς, ἀλλὰ μᾶλλον τῶν χυλῶν καὶ τῶν χρωμάτων καὶ τούτων ἀκριβέστερον διορίζει τὰ περὶ τοὺς χυλοὺς ἀναφέρων τὴν φαντασίαν πρὸς ἄνθρωπον. τὸν μὲν οὖν ὀξὺν εἶναι τῷ σχήματι γωνοειδῆ τε καὶ πολυκαμπῆ καὶ μικρὸν 65
καὶ λεπτόν. διὰ γὰρ τὴν ὀριμύτητα ταχὺ καὶ πάντῃ διαδύεσθαι, τραχὺν δ' ὄντα καὶ γωνοειδῆ συνάγειν καὶ συσπᾶν, διὸ καὶ θερμαίνειν τὸ σῶμα κενότητας ἐμποιοῦντα· μάλιστα γὰρ θερμαίνεσθαι τὸ πλεῖστον ἔχον κενόν. τὸν δὲ γλυκὺν ἐκ περιφερῶν συγκεῖσθαι σχημάτων ⟨καὶ⟩ οὐκ ἄγαν μικρῶν,

---

1 μάλιστα ⟨καὶ ἥκιστα⟩ coni. Burchard, qui pergit κενὸν ἔχον. fortasse καὶ τὰ λοιπὰ cf. v. 15 p. 525, 2 || δ' ἔτι Schneider, at cf. p. 521, 14 || ἐναπόλειψιν PF: corr. Papencordt conl. § 74 || 2 τοῦ ante σκληροῦ suspectum cf. v. 7 || τοῦ ante βαρέος addebat Philippson || 3 μόλιβδον P pr. F itemque infra v. 5 || ἀνωμάλως P: ἀνωμαλῶς pr. F || 4 post μεγάλα distinxi || πεπυκνῶσθαι καὶ [καὶ compend.] κατὰ PF: correxi. similiter dictum κατὰ μικρὸν *parvo intervallo* p. 521, 7 || 6 καὶ addidi ante κατὰ cf. p. 521, 8. an καὶ κατὰ πᾶν ὁμοίως πεπυκνῶσθαι? similiter Schneider καὶ κατὰ πᾶν ὁμοίως πυκνόν cf. Arist. meteor. III 6 p. 377^{b}16 ἀὴρ ὁμαλὸς καὶ πυκνὸς ὁμοίως. Philippson addi iussit μανόν || 7 τοῦ extr. v. delevit, tum initio alterius iteravit P || οὖν addidit Schneider || 11 μεταπῖπτον cf. Democritus apud Sext. VII 136 || 12 ἀθροῦν (sic pr. F) ᾖ F: ἄθρουν ᾖ P || τοῦτ' Stephanus: τοῦ PF || εἰς μακρὰ PF *in longa spatia dispersum*: εἰς μικρὰ Schneider || 13 τὸ F: τῷ P || ταῦτα PF: ταυτὰ correxit Vossianus || 15 ὁρυμὺ pr. F || στυφνόν F || 16 τῇ κρίσει PF: corr. Schneider: τὴν κρίσιν volebat cum Papencordtio Mullach || ᾗ τὰ πάθη P: καὶ τὰ πάθη F: corr. Papencordt. scriptum fuit ᾗτὰ τὰ πάθη || ᾗ καὶ PF: corr. Stephanus || 19 ταῦτα sc. τὰ πάθη || ἀντίθησι pr. F: ἀντιτίθησι sec. F: corr. Stephanus || 20 μᾶλλον PF: malim μόνων || 21 χυλοὺς F: χυλοὺς in litura (ex χυμοὺς opinor corr.) P || 22 οὖν om. Stephanus || τῷ ὄμματι P et rescriptum F: corr. Coray || 22 et 24 γωνοειδῆ P: γωνοειδῆ pr. F: γωνιοειδῆ sec. F. servavi praesertim in Democriteis γωνοειδῆ ut ex γῶνος [cf. Hesych. s. v. γῶνορ et γῶνος] probe formatum cf. Theophr. d. caus. pl. VI 1 6 10 3 || 23 διαδύνεσθαι P pr. F: corr. sec. F || 26 καὶ addidi

διὸ καὶ διαχεῖν ὅλως τὸ σῶμα καὶ οὐ βιαίως, καὶ οὐ ταχὺ πάντα περαίνειν· τοὺς ⟨δ'⟩ ἄλλους ταράττειν, ὅτι διαδύνων πλανᾷ τὰ ἄλλα καὶ ὑγραίνει· ὑγραινόμενα δὲ καὶ ἐκ τῆς τάξεως κινούμενα συρρεῖν εἰς τὴν κοιλίαν· ταύτην
66 γὰρ εὐπορώτατον εἶναι διὰ τὸ πλεῖστον ἐνεῖναι κενόν. τὸν δὲ στρυφνὸν ἐκ μεγάλων σχημάτων καὶ πολυγωνίων καὶ περιφερὲς ἧκιστ' ἐχόντων· ταῦτα γὰρ ὅταν εἰς τὰ σώματα ἔλθῃ, ἐπιτυφλοῦν ἐμπλάττοντα τὰ φλεβία καὶ κωλύειν συρρεῖν, διὸ καὶ τὰς κοιλίας ἱστάναι. τὸν δὲ πικρὸν ἐκ μικρῶν καὶ λείων καὶ περιφερῶν, τὴν περιφέρειαν εἰληχότα καὶ καμπὰς ἔχουσαν· διὸ καὶ γλισχρὸν εἶναι καὶ κολλώδη. ἁλμυρὸν δὲ τὸν ἐκ μεγάλων καὶ οὐ περιφερῶν, ἀλλ' ἐπ' ἐνίων καὶ σκαληνῶν, διὸ οὐδὲ πολυκαμπῶν (βούλεται δὲ σκαληνὰ λέγειν, ἅπερ παράλλαξιν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν)· μεγάλων μέν, ὅτι ἡ ἁλμυρὶς ἐπιπολάζει· μικρὰ γὰρ ὄντα καὶ τυπτόμενα τοῖς περιέχουσι μίγνυσθαι ἂν τῷ παντί· οὐ περιφερῶν δ', ὅτι τὸ μὲν ἁλμυρὸν τραχύ, τὸ δὲ περιφερὲς λεῖον· [οὐ] σκαληνῶν δὲ διὰ τὸ μὴ
67 περιπλάττεσθαι, διὸ ψαφαρὸν εἶναι. τὸν δὲ ὁριμὺν μικρὸν καὶ περιφερῆ καὶ γωνιοειδῆ, σκαληνὸν δὲ οὐκ ἔχειν. τὸν μὲν γὰρ ὁριμὺν πολυγώνιον ποιεῖν τῇ τραχύτητι θερμαίνειν καὶ διαχεῖν. [διὰ τὸ μικρὸν εἶναι καὶ περιφερῆ καὶ † ἀγωνιοειδῆ] καὶ γὰρ τὸ γωνιοειδὲς εἶναι τοιοῦτον. ὡσαύτως δὲ καὶ τὰς ἄλλας ἑκάστου δυνάμεις ἀποδίδωσιν ἀνάγων εἰς τὰ σχήματα. ἁπάντων δὲ τῶν σχημάτων οὐδὲν ἀκέραιον εἶναι καὶ ἀμιγὲς τοῖς ἄλλοις, ἀλλ' ἐν ἑκάστῳ πολλὰ εἶναι καὶ τὸν αὐτὸν ἔχειν λείου καὶ τραχέος καὶ

---

1 πόρους τινὰς αὐρώδεις Cedr.: τόπους τινὰς ἀερώδεις libri: correxi Prol. p. 204 || φαίνεται libri: φαίνονται Cedr. φαίνεσθαι verisimiliter Usener || 3 παρὰ Cedr. T: κατὰ C || 4 ἑπταικαιεικοσιπλασίονα Cedr.: ἑπταικαιεικοσαπλασίονα BC: ἑπτακοσιεικοσαπλασίονα Roeper || 5 τοῦ τῆς σελήνης Roeth. σελήνης tuetur Teichmueller Stud. z. Gesch. d. Begr. p. 17. Zeller I⁴ 207 cf. Prol. p. 68². errore compilatoris pro γῆς scriptum censet Gruppeum secutus Roeper. non plene descripta mihi videntur talia ἑπταικαιεικοσιπλασίονα ⟨τῆς γῆς, ἐννεακαιδεκαπλασίονα δὲ τὸν⟩ τῆς σελήνης. lunam etiam in proximis desideres cf. Aët. Plac. II 15 6 Ἀναξίμανδρος . . . ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν δὲ τὴν σελήνην, ὑπὸ δὲ αὐτοὺς τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας. antiquum errorem odoratur Roeper p. 609. καὶ ἀνωτέρω (sc. τῆς σελήνης) μὲν εἶναι τὸν ἥλιον, ἀνωτάτω δὲ κτλ. coni. Roeth II 1 p. 15 || 5 ἥλιον Cedr. libri: ἡλίου coni. Roeper || 6 ζῴδια Cedr. || γίνεσθαι ἐν ὑγρῷ ἐξατμιζομένῳ coni. Aët. V 19 4 coni. Cruice. fortasse γίνεσθαι ἐξ ὑγροῦ ἐξατμιζομένου cf. Prol. p. 189 || 7 τὸν ἥλιον B || 8 ἰχθεί sed ultima ι cancellata B || 9 ἐκ τοῦ ἀέρος Cedr. || ἀθρηθῶσι T || ὑετοὺς Cedr. fortasse rectius || 10 ἐκ τῆς ἀτμίδος τῆς ἐκ τῶν ὑφ' ἥλιον ἀναδιδουμένης Cedr.: ἐκ γῆς [τῆς T] ἀναδιδομένης ἐκ τῶν ὑφ' ἥλιον libri. pro ἐκ τῶν ὑφ' ἥλιον corrupto coni. ἐκ τῶν νεφελῶν Gottingenses. sensui satisfaceret ἐκ [ἀπὸ?] γῆς ὑφ' ἡλίου cf. Arius Did. fr. 11 p. 451, 20 Theophr. fr. 23 p. 494, 6 Diog. IX 19 Aët. III 4 4 || 11 ἐκπίπτων διίστησι Cedr. || 13 Ἀναξιμήνης B || ἀέρα — 15 γίνεσθαι exc. Cedr. || 14 καὶ post γινόμενα Cedr.: om. libri || 15 τούτου C: τούτων T non recte defensum a Wolfio Roepero Schneidewino || 16 ἢν ὄψει, εὔδηλον T || 17 ψυχῷ, mrg. ψυχιῷ B || τὸ νοτερὸν B || 18 κινεῖσθαι κτλ. cf. Theophr. fr. 2 p. 477,4 || 19 πικνούμενον B. de toto hoc loco cf. Theophr. l. c. p. 477, 1 sqq. || φέρεσθαι T || ὅταν δὲ libri: corr. Roeper || 20 ἀνέμους Zeller cf. Theophr. l. c. [Prol. p. 135]: μέσως vulgo || δὲ πάλιν Roeper: δ' ἐπὰν libri || εἶναι scripsi: εἰς libri || 21 δὲ addidi || ἀποτελεσθῇ libri: corr. Roeper || πήλλησιν T: πόλησιν C: corr. Salvinius || 22 ἐπὶ πλεῖον cf. §§ 7. 8 addiderim δὲ

[πυκνότατον] λίθους. ὥστε τὰ κυριώτατα τῆς γενέσεως ἐναντία εἶναι θερμόν τε καὶ ψυχρόν. τὴν δὲ γῆν πλατεῖαν εἶναι ἐπ' ἀέρος ὀχουμένην, 4 ὁμοίως δὲ καὶ ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα πάντα πύρινα ὄντα ἐποχεῖσθαι τῷ ἀέρι διὰ πλάτος. γεγονέναι δὲ τὰ ἄστρα ἐκ γῆς 5 διὰ τὸ τὴν ἰκμάδα ἐκ ταύτης ἀνίστασθαι, ἧς ἀραιουμένης τὸ πῦρ γίνεσθαι, ἐκ δὲ τοῦ πυρὸς μετεωριζομένου τοὺς ἀστέρας συνίστασθαι. εἶναι δὲ καὶ γεώδεις φύσεις ἐν τῷ τόπῳ τῶν ἀστέρων συμπεριφερομένας ἐκείνοις. οὐ 6 κινεῖσθαι δὲ ὑπὸ γῆν τὰ ἄστρα λέγει, καθὼς ἕτεροι ὑπειλήφασιν, ἀλλὰ περὶ γῆν, ὡσπερεὶ περὶ τὴν ἡμετέραν κεφαλὴν στρέφεται τὸ πιλίον. κρύπτεσθαί τε τὸν ἥλιον οὐχ ὑπὸ γῆν γενόμενον, ἀλλ' ὑπὸ τῶν τῆς γῆς ὑψηλοτέρων μερῶν σκεπόμενον καὶ διὰ τὴν πλείονα ἡμῶν αὐτοῦ γενομένην ἀπόστασιν. τὰ δὲ ἄστρα μὴ θερμαίνειν διὰ τὸ μῆκος τῆς ἀποστάσεως. ἀνέμους 7 δὲ γεννᾶσθαι, ὅταν †ἐκπεπυκνωμένος ὁ ἀὴρ ἀραιωθεὶς φέρηται· συνελθόντος δὲ καὶ ἐπὶ πλεῖον παχυνθέντος νέφη γεννᾶσθαι καὶ οὕτως εἰς ὕδωρ μεταβάλλειν. χάλαζαν δὲ γίνεσθαι, ὅταν ἀπὸ τῶν νεφῶν τὸ ὕδωρ καταφερόμενον παγῇ· χιόνα δέ, ὅταν αὐτὰ ταῦτα ἐνυγρότερα ὄντα πῆξιν λάβῃ·

ἀστραπὴν δ', ὅταν τὰ νέφη διιστῆται βίᾳ πνευμάτων· τούτων γὰρ διι- 8 σταμένων λαμπρὰν καὶ πυρώδη γίνεσθαι τὴν αὐγήν. ἶριν δὲ γεννᾶσθαι τῶν ἡλιακῶν αὐγῶν εἰς ἀέρα συνεστῶτα πιπτουσῶν· σεισμὸν δὲ τῆς γῆς ἐπὶ πλεῖον ἀλλοιουμένης ὑπὸ θερμασίας καὶ ψύξεως ταῦτα μὲν οὖν 9 Ἀναξιμένης. οὗτος ἤκμασε περὶ ἔτος πρῶτον τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος.

8 Μετὰ τοῦτον γίνεται Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος. οὗτος ἔφη τὴν παντὸς ἀρχὴν νοῦν καὶ ὕλην, τὸν μὲν νοῦν ποιοῦντα, τὴν δὲ ὕλην γινομένην. ὄντων γὰρ πάντων ὁμοῦ, νοῦς ἐπελθὼν διεκόσμησεν. τὰς δ' ὑλικὰς ἀρχὰς ἀπείρους ὑπάρχειν, †καὶ τὰς σμικροτέρας αὐτῶν ἄπειρα λέγει. κινήσεως δὲ μετέχειν τὰ πάντα ὑπό τε νοῦ κινούμενα συνελ- 2

1 πυκνότατον B: vulgo πυκνώτατον. delevi || 2 τὴν δὲ — 7 ἐκείνοις exc. Cedr. || εἶναι om. Cedr.: habent BO quos omittere falso adnotant Gottingenses || 3 δὲ ἥλιον Cedr. || πάντα — 4 ἄστρα om. T || πάντα γὰρ libri: γὰρ om. Cedr. || ἐπιχεῖσθαι O || 4 διὰ τὸ πλάτος. γέγονε Cedr. || 6 ἐκ — συνίστασθαι om. Cedr. || 7 συμπεριφερομένας Cedr. cf. p. 562, 16: συμφερομένας libri || 9 στέφεται B || πηλεῖον T: πιλεῖον C: corr. Menagius || 10 τε om. B || 11 μερῶν: fuit cum mallem ὁρῶν. similiter παραφράζει L: ὑπὸ τῶν ὑψηλοτάτων ὁρῶν. at intellege partes septemtrionales cf. Aristot. Meteor. II 1 p. 354ᵃ28 τὸν ἥλιον μὴ φέρεσθαι ὑπὸ γῆν, ἀλλὰ περὶ τὴν γῆν καὶ τὸν τόπον τοῦτον, ἀφανίζεσθαι δὲ καὶ ποιεῖν νύκτα διὰ τὸ ὑψηλὴν εἶναι πρὸς ἄρκτον τὴν γῆν || 13 ἐκπεπυκνωμένος BC: ἐκπεπυκνωμένης T: ἐκπεπυκνωμένος vix explices *densitate privatus* ut ἐξυγρανθέντος p. 470, 7 nec simul ἀραιωθεὶς ferri potest. ὅταν εἰς πεπυκνωμένον ἀὴρ coni. Usener cf. p. 563, 3. || ἀρθεὶς Zeller || συνελθόντα libri: corr. Zeller || 14 παχυθέντα vulgo: παχυθέντος Zeller. παχυνθέντα Salvinius || 17 διίσταται libri || 21 πρῶτον: verum est τρίτον cf. Mus. Rh. XXXI 27 || 23 περὶ ἀναξαγόρου superscribit B || ἡγησιφόντου T || κλυζομένιος B || 24 τὴν τοῦ παντὸς B || vv. 24. 25 Suidae flosculo intexuit Cedr. || 25 ὁμοφυῶν ὁ Cedr. || 26 ὑπάρχειν καὶ πλῆθος καὶ σμικρότητα. καὶ τὰ σμικρότερα γὰρ ἄπειρα λέγει Gottingenses coni. Simpl. in phys. f. 33ᵛ 17 cf. Arist. de gen. I 8 p. 325ᵃ30 unde veri similius talia rescribes καὶ κατὰ τὴν σμικρότητα αὐτῶν ἄπειρα λέγει || 27 ὑπό τε Usener: ὑπὸ τοῦ vulgo

θεῖν [τε] τὰ ὅμοια. καὶ τὰ μὲν κατὰ τὸν οὐρανὸν κεκοσμῆσθαι ὑπὸ τῆς ἐγκυκλίου κινήσεως. τὸ μὲν οὖν πυκνὸν καὶ ὑγρὸν καὶ τὸ σκοτεινὸν καὶ ψυχρὸν καὶ πάντα τὰ βαρέα συνελθεῖν ἐπὶ τὸ μέσον, ἐξ ὧν παγέντων τὴν γῆν ὑποστῆναι· τὰ δ' ἀντικείμενα τούτοις τὸ θερμὸν καὶ τὸ λαμπρὸν καὶ τὸ ξηρὸν καὶ τὸ
3 * * * κοῦφον εἰς τὸ πρόσω τοῦ αἰθέρος ὁρμῆσαι. τὴν δὲ γῆν τῷ σχήματι πλατεῖαν εἶναι καὶ μένειν μετέωρον διὰ τὸ μέγεθος καὶ διὰ τὸ μηδὲν εἶναι κενόν· καὶ διὰ τοῦτο τὸν ἀέρα ἰσχυρότατον ὄντα φέρειν ἐποχουμένην τὴν γῆν.
4 τῶν δ' ἐπὶ γῆς ὑγρῶν τὴν μὲν θάλασσαν ὑπάρξαι, ἣ τά τε ἐν αὐτῇ ὕδατα ἐξατμισθέντα ὑποστάντα οὕτως γεγονέναι καὶ ἀπὸ τῶν καταρρευσάντων πο-
5 ταμῶν. τοὺς δὲ ποταμοὺς καὶ ἀπὸ τῶν ὄμβρων λαμβάνειν τὴν ὑπόστασιν καὶ ἐξ ὑδάτων τῶν ἐν τῇ γῇ. εἶναι γὰρ αὐτὴν κοίλην καὶ ἔχειν ὕδωρ ἐν τοῖς κοιλώμασιν. τὸν δὲ Νεῖλον αὔξεσθαι κατὰ τὸ θέρος καταφερομένων εἰς αὐτὸν ὑδάτων ἀπὸ τῶν ἐν ἢ τοῖς ἄρκτοις χιόνων.
6 ἥλιον δὲ καὶ σελήνην καὶ πάντα τὰ ἄστρα λίθους εἶναι ἐμπύρους συμπεριληφθέντας ὑπὸ τῆς αἰθέρος περιφορᾶς. εἶναι δ' ὑποκάτω τῶν ἄστρων
7 ἥλιον καὶ σελήνην ⟨καὶ⟩ σώματά τινα συμπεριφερόμενα, ἡμῖν ἀόρατα. τῆς δὲ θερμότητος μὴ αἰσθάνεσθαι τῶν ἄστρων διὰ τὸ μακρὰν εἶναι [καὶ διὰ] τὴν ἀπόστασιν τῆς γῆς· ἔτι δὲ οὐχ ὁμοίως θερμὰ τῷ ἡλίῳ διὰ τὸ χώραν ἔχειν ψυχροτέραν. εἶναι δὲ τὴν σελήνην κατωτέρω τοῦ ἡλίου πλησιώτερον
8 ἡμῶν. ὑπερέχειν δὲ τὸν ἥλιον μεγέθει τὴν Πελοπόννησον. τὸ δὲ φῶς τὴν σελήνην μὴ ἴδιον ἔχειν, ἀλλὰ ἀπὸ τοῦ ἡλίου. τὴν δὲ τῶν ἄστρων
9 περιφορὰν ὑπὸ γῆν γίνεσθαι. ἐκλείπειν δὲ τὴν σελήνην γῆς ἀντιφραττούσης, ἐνίοτε δὲ καὶ τῶν ὑποκάτω τῆς σελήνης, τὸν δὲ ἥλιον ταῖς νουμηνίαις σελήνης ἀντιφραττούσης. τροπὰς δὲ ποιεῖσθαι καὶ ἥλιον καὶ σελήνην ἀπωθουμένους ὑπὸ τοῦ ἀέρος. σελήνην δὲ πολλάκις τρέπεσθαι διὰ
10 τὸ μὴ δύνασθαι κρατεῖν τοῦ ψυχροῦ. οὗτος ἀφώρισε πρῶτος τὰ περὶ τὰς ἐκλείψεις καὶ φωτισμούς. ἔφη δὲ γηίνην εἶναι τὴν σελήνην ἔχειν τε ἐν αὐτῇ πεδία καὶ φάραγγας. τὸν δὲ γαλαξίαν ἀνάκλασιν εἶναι τοῦ φωτὸς

---

1 τε BTC: δὲ L: del. Usener || νοῦν ante οὐρανόν B statim deletum || 3 fortasse πάντως cf. Aët. Placit. I 4 2 ὅσα μείζονα ἦν καὶ βαρύτατα πάντως, ὑπεκάθιζεν || βαρεῖα libri: corr. Salvinius || 5 ⟨μανὸν καὶ πάντως τὰ⟩ κοῦφα explet Usener || 7 τοῦτο Usener: τὸ vulgo || ἐπεγουμένην T || 8 ὑπάρξαι ⟨ἀρχήν⟩ Wolfius: ἐξατμισθέντα εἶτα ὑποστάντα οὕτως γεγονέναι καὶ τὰ τῶν La Croze: ἐξατμισθέντων ⟨ὑπὸ τοῦ ἡλίου ἐκείνων⟩ ὑποστάντα Roeper: minus displiceant haec: ⟨ἔκ⟩ τε τῶν ἐν αὐτῇ [sc. terra] ὑδάτων, ⟨ὧν⟩ ἐξατμισθέντων ⟨τὰ⟩ ὑποστάντα κάτω γενονέναι, καὶ ἀπὸ τῶν καταρρευσάντων ποταμῶν. cf. Aet. Plac. III 16 2 Laert. II 8 Arist. Meteor. II 1 p. 353b7. Theophr. fr. 23 p. 495, 2 || 11 ἐξ αὐτῶν libri: corr. Roeper | 13 pronum est corrigere ἐν ταῖς ἄρκτοις. sed desideramus ἐν τοῖς Αἰθιοπικοῖς cf. Diodor. I 38 Aët. Plac. IV 1 3 Senec. Qu. N. IV 2, nisi Anaxagorae sententia liberius redditur ut ἐν τοῖς νοτίοις vel ἀντοίκοις. hoc Roepero potissimum probatur. cf. Apoll. Rhod. schol. IV 269. Aët.. Plac. IV 1 7 || 14 ἐμπύρους ἐμπυρισθέντας probabiliter Usener cf. Aët. II 13 3 || 16 ἥλιον καὶ σελήνην libri: ἥλιον καὶ σελήνην καὶ Brandis cf. Prol. p. 138: ἡλίῳ καὶ σελήνῃ Roeper. ἡλίου καὶ σελήνης la Croce || 17 μακρὸν B: μακρὰν C: μικρά Roeper || καὶ διὰ Gottingenses removerunt cf. 7 6 || 20 πελοπόνησον B || 22 σελήνην ⟨πανσέληνον⟩ propter ταῖς νουμηνίαις v. 23 coni. Usener || 23 cf. Theophr. fr. 19 p. 493,3 | 25 ἀποθουμένης BL || 26 τὰς περὶ B || 26 αὐτῇ vulgo || τῶν τε B: τόν τε C: corr. Roeper

τῶν ἄστρων τῶν μὴ καταλαμπομένων ὑπὸ τοῦ ἡλίου. τοὺς δὲ μεταβαίνοντας ἀστέρας ὡσεὶ σπινθῆρας ἀφαλλομένους γίνεσθαι ἐκ τῆς κινήσεως τοῦ πόλου.

ἀνέμους δὲ γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου καὶ τῶν 11
ἐκκαιομένων πρὸς τὸν πόλον ὑποχωρούντων καὶ ἀποφερομένων. βροντὰς δὲ
καὶ ἀστραπὰς ἀπὸ θερμοῦ γίνεσθαι ἐμπίπτοντος εἰς τὰ νέφη. σεισμοὺς 12
δὲ γίνεσθαι τοῦ ἄνωθεν ἀέρος εἰς τὸν ὑπὸ γῆν ἐμπίπτοντος· τούτου γὰρ κινουμένου καὶ τὴν ὀχουμένην γῆν ὑπ' αὐτοῦ σαλεύεσθαι. ζῷα δὲ τὴν μὲν ἀρχὴν ἐν ὑγρῷ γενέσθαι, μετὰ ταῦτα δὲ ἐξ ἀλλήλων· καὶ ἄρρενας μὲν γίνεσθαι, ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀποκριθὲν τὸ σπέρμα τοῖς δεξιοῖς
μέρεσι τῆς μήτρας κολληθῇ, τὰ δὲ θήλεα κατὰ τοὐναντίον. οὗτος 13
ἦκμασεν ἔτους πρώτου τῆς ὀγδοηκοστῆς ὀγδόης ὀλυμπιάδος, καθ' ὃν καιρὸν καὶ Πλάτωνα λέγουσι γεγενῆσθαι. τοῦτον λέγουσι καὶ προγνωστικὸν γεγονέναι.

9 Ἀρχέλαος τὸ μὲν γένος Ἀθηναῖος, υἱὸς δὲ Ἀπολλοδώρου. οὗτος
ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ τάς τε ἀρχὰς ὡσαύτως· οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα. εἶναι δ' ἀρχὰς τῆς κινή- 2
σεως * ἀποκρίνεσθαι ἀπ' ἀλλήλων τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὸ μὲν θερμὸν κινεῖσθαι, τὸ δὲ ψυχρὸν ἠρεμεῖν. τηκόμενον δὲ τὸ ὕδωρ εἰς μέσον ῥεῖν, ἐν ᾧ [καὶ] καταξαιόμενον ἀέρα γίνεσθαι καὶ γῆν, ὧν τὸν μὲν ἄνω
φέρεσθαι, τὴν δὲ ὑφίστασθαι κάτω. τὴν μὲν οὖν γῆν ἠρεμεῖν καὶ 3
γενέσθαι διὰ ταῦτα, κεῖσθαι δ' ἐν μέσῳ οὐδὲν μέρος οὖσαν, ὡς εἰπεῖν, τοῦ παντός, * * * ἐκθεομένου ἐκ τῆς πυρώσεως, ἀφ' οὗ πρῶτον ἀποκαιομένου τὴν τῶν ἀστέρων εἶναι φύσιν, ὧν μέγιστον μὲν ἥλιον, δεύτερον δὲ σελήνην, τῶν δὲ ἄλλων τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω. ἐπικλιθῆναι δὲ τὸν 4
οὐρανόν φησι, καὶ οὕτως τὸν ἥλιον ἐπὶ τῆς γῆς ποιῆσαι φῶς καὶ τόν [τε] ἀέρα ποιῆσαι διαφανῆ καὶ τὴν γῆν ξηράν. λίμνην γὰρ εἶναι τὸ πρῶτον, ἅτε κύκλῳ μὲν οὖσαν ὑψηλήν, μέσον δὲ κοίλην. σημεῖον δὲ φέρει τῆς

---

1 καταλαμβανομένων vulgari vitio [cf. Gal. H. Ph. c. 59. 70] libri: corr. Gronovius cum Menagio cf. Laert. II 9 καὶ τὸν γαλαξίαν ἀνάκλασιν εἶναι τῶν ὑπὸ φωτὸς ἡλιακοῦ μὴ καταλαμπομένων ἄστρων || 2 ὥσπερ B || ἀφαλομένους B || 3 post ἡλίου errore repetit ex v. 1 τοὺς δὲ μ. ἀστέρας B statim punctis deleta || 4 ἀνταποφερομένων veri similiter Usener || βροντὰς δὲ B ut Roeper flagitaverat: βροντάς τε C || 5 ἐμπίπτοντος B ut Schaubach correxerat: ἐκπίπτοντος C || 8 ἐν ὑγρῷ cf. Aët. Plac. V 19 4: fortasse ἐξ ὑγροῦ cf. Laert. l. c. ζῷα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους, ὕστερον δὲ ἐξ ἀλλήλων || γενέσθαι C: γεννᾶσθαι B || 10 θήλεια B || οὗτος—γεγενῆσθαι liberius repetivit Cedr. || 11 ἦκμασεν Cedr. libri: olim fuisse ἐτελεύτησε vel simile demonstratum est Mus. Rh. XXXI 28 || 14 οὗτος — ὡσαύτως exc. Cedr. || 15 ὁμοίως cf. Theophr. fr. 4 p. 480,1 || 16 corrupto loco ita succurram: εἶναι δὲ ⟨δύο⟩ ἀρχὰς τῆς κινήσεως ⟨ἃς⟩ ἀποκρίνεσθαι cf. Diog. II 16: ἀρχὴν volebat Roeper: ἀποκριτόμενα Brandis: τὸ ἀποκρίνεσθαι Ritter || 19 ῥεῖν vulgo: ῥηνῶν B || καὶ seclusit Roeper || τὸν μὲν — τὴν δὲ Roeper: τὸ μὲν — τὸ δέ libri || 20 καὶ delebat Roeper || 22 lacunam indicavit Roeper intercidisse ratus τὸν δὲ ἀέρα περιέχειν τὰ πάντα. τὸν δὲ ἀέρα κρατεῖν τοῦ παντός cf. Anaxag. fr. 6 ad p. 532, 12 || 24 ἐπικριθῆναι postea correctum L || 25 τε seclusi || 27 μέσον BO cf. p. 566,18: μέσου C || σειμεῖον B sed η super σει positum, alterum ει in litura

κοιλότητος, ὅτι ὁ ἥλιος οὐχ ἅμα ἀνατέλλει τε καὶ δύεται πᾶσιν, ὅπερ ἔδει
5 συμβαίνειν, εἴπερ ἦν ὁμαλή. περὶ δὲ ζώων φησίν, ὅτι θερμαινομένης
τῆς γῆς τὸ πρῶτον ἐν τῷ κάτω μέρει, ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν
ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῷα πολλὰ καὶ οἱ ἄνθρωποι, ἅπαντα τὴν
αὐτὴν δίαιταν ἔχοντα ἐκ τῆς ἰλύος τρεφόμενα (ἦν δὲ ὀλιγοχρόνια)· ὕστερον
6 δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις συνέστη. καὶ διεκρίθησαν ἄνθρωποι
ἀπὸ τῶν ἄλλων καὶ ἡγεμόνας καὶ νόμους καὶ τέχνας καὶ πόλεις καὶ τὰ
ἄλλα συνέστησαν. νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζώοις ὁμοίως. χρῆ-
σθαι γὰρ ἕκαστον καὶ τῶν ζώων τῷ νῷ τὸ μὲν βραδυτέρως, τὸ δὲ
ταχυτέρως.

10 Ἡ μὲν οὖν φυσικὴ φιλοσοφία ἀπὸ Θάλητος ἕως Ἀρχελάου
διέμεινε· τούτου γίνεται Σωκράτης ἀκροατής. εἰσὶ δὲ καὶ ἕτεροι πλεῖστοι
διαφόρους δόξας προενεγκάμενοι περί τε τοῦ θείου καὶ τῆς τοῦ παντὸς
φύσεως. ὧν εἰ πάσας τὰς δόξας ἐβουλόμεθα παραθεῖναι, πολλὴν ἂν ὕλην
2 βιβλίων ἔδει κατασκευάζειν. ὧν δὲ ἔδει μάλιστα ἐπ' ὀνόματος ὄντων
καὶ ὡς εἰπεῖν κορυφαίων πᾶσι τοῖς μετέπειτα φιλοσοφήσασι γενομένων
ἀφορμὰς δεδωκότων πρὸς τὰ ἐπιχειρούμενα ὑπομνησθέντες ἐπὶ τὰ ἑξῆς
ὁρμήσομεν.

11 Καὶ γὰρ καὶ Παρμενίδης ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀίδιόν τε
καὶ ἀγένητον καὶ σφαιροειδές, οὐδὲ αὐτὸς ἐκφεύγων τὴν τῶν πολλῶν δόξαν,
πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς, τὴν μὲν γῆν ὡς ὕλην, τὸ δὲ
πῦρ ὡς αἴτιον καὶ ποιοῦν· τὸν ⟨δὲ⟩ κόσμον ἔφη φθείρεσθαι, ᾧ δὲ τρόπῳ,
2 οὐκ εἶπεν. ὁ αὐτὸς δὲ εἶπεν ἀίδιον εἶναι τὸ πᾶν καὶ οὐ γενόμενον
καὶ σφαιροειδὲς καὶ ὅμοιον, οὐκ ἔχον δὲ τόπον ἐν ἑαυτῷ, καὶ ἀκίνητον καὶ
πεπερασμένον.

12 Λεύκιππος δὲ Ζήνωνος ἑταῖρος οὐ τὴν αὐτὴν δόξαν διετήρησεν,
ἀλλά φησιν ἄπειρα εἶναι καὶ ἀεὶ κινούμενα καὶ γένεσιν καὶ μεταβολὴν
2 συνεχῶς οὖσαν. στοιχεῖα δὲ λέγει τὸ πλῆρες καὶ τὸ κενόν. κόσμους
δὲ γίνεσθαι λέγει· ὅταν εἰς μέγα κενὸν ἐκ τοῦ περιέχοντος ἀθροισθῇ πολλὰ

---

1 ἀνατέλλει B || 2 περὶ—6 καὶ ἡ ἐ. ἀ. γένεσις ἐπηκολούθησεν exc. Cedr. || 3 κάτω μέρει Cedr., ut Ritter coniecerat: κατὰ μέρος libri || 4 τά τε ἄλλα ζῷα καὶ οἱ ἄνθρωποι, ὕστερον δὲ αὐτοῖς κτλ. Cedr.: τά τε ἄλλα ζῶα πολλὰ καὶ ἀνόμοια πάντα κτλ. inepte libri || 5 ἥλεως B || 6 συνέστη TO: ἀνέστη C: ἐπηκολούθησεν Cedr. || 8 λέγειν B || χρήσεσθαι B: χρήσασθαι C: corr. Zeller || 9 τῶν σωμάτων ὅσῳ [ὅσα B] libri: τῶν ζώων τῷ νοῆσαι Usener. τῷ σώματι ὁμοίως coni. Ritter, ἕκαστον σῶμα τῷ νόῳ (del. καὶ τῶν) Cruice || 11 τί μὲν B || θαίητος B || 13 προσενεγκάμενοι libri: corr. Roeper cf. p. 232, 15 Gott. || 14 ἐβουλεύμεθα B || 15 Roeper mutabat τῶν δὲ μάλιστα — κορυφαίων γενομένων πᾶσι ἀφορμὰς δεδωκότων κτλ. || 16 γονίμους ἀφορμὰς coni. Usener || 18 ὁρμήσωμεν libri: corr. Wolfius || 19 καὶ Παρμενίδης cf. Theophr. fr. 6 p. 482, 81 Prol. p. 146 || 20 ἐκφεύγει mavult Roeper || 22 δὲ addidi || 24 τύπον libri: corr. Brandis || 26 τὴν αὐτοῦ δόξαν Menagius, at cf. Theophr. fr. 8 p. 483, 12 || 27 τὰ πάντα post εἶναι addidit Cruice ex Diog. IX 30 || 28 συνεχῆ malim, ut ἀδιάλειπτον apud Theophr. l. c. p. 483, 69 || 29 γενέσθαι libri: corr. Roeper cf. Diog. IX 31 [Prol. p. 143], unde οὕτως post λέγει addidit. δὲ ⟨ὧδε⟩ coni. Usener || μετάκοινον libri: corr. Roeper conl. Laertii l. c. φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν, ἅπερ ἀθροισθέντα δίνην ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια.

σώματα καὶ συρρυῇ, προσκρούοντα ἀλλήλοις συμπλέκεσθαι τὰ ὁμοιοσχήμονα καὶ παραπλήσια τὰς μορφάς, καὶ περιπλεχθέντων ἀστέρας γίνεσθαι, αὔξειν δὲ καὶ φθίνειν διά τινα ἀνάγκην. τίς δ' ἂν εἴη ἡ ἀνάγκη, οὐ διώρισεν.

13 Δημόκριτος δὲ Λευκίππου γίνεται γνώριμος. Δημόκριτος Δαμασίππου Ἀβδηρίτης πολλοῖς συμβαλὼν γυμνοσοφισταῖς ἐν Ἰνδοῖς καὶ ἱερεῦσιν ἐν Αἰγύπτῳ καὶ ἀστρολόγοις καὶ ἐν Βαβυλῶνι μάγοις. λέγει 2 δὲ ὁμοίως Λευκίππῳ περὶ στοιχείων πλήρους καὶ κενοῦ, τὸ μὲν πλῆρες λέγων ὄν, τὸ δὲ κενὸν οὐκ ὄν· ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ· ἀπείρους δὲ εἶναι κόσμους καὶ μεγέθει διαφέροντας ἐν τισὶ δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἐν τισὶ δὲ μείζω τῶν παρ' ἡμῖν καὶ ἐν τισὶ πλείω. εἶναι δὲ τῶν κόσμων ἄνισα τὰ διαστήματα, καὶ τῇ μὲν 3 πλείους, τῇ δὲ ἐλάττους, καὶ τοὺς μὲν αὔξεσθαι, τοὺς δὲ ἀκμάζειν, τοὺς δὲ φθίνειν, καὶ τῇ μὲν γίνεσθαι, τῇ δὲ λείπειν. φθείρεσθαι δὲ αὐτοὺς ὑπ' ἀλλήλων προσπίπτοντας. εἶναι δὲ ἐνίους κόσμους ἐρήμους ζῴων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ. τοῦ δὲ παρ' ἡμῖν κόσμου πρότερον τὴν γῆν τῶν 4 ἄστρων γενέσθαι, εἶναι δὲ τὴν μὲν σελήνην κάτω, ἔπειτα τὸν ἥλιον, εἶτα τοὺς ἀπλανεῖς ἀστέρας. τοὺς δὲ πλανήτας οὐδ' αὐτοὺς ἔχειν ἴσον ὕψος. ἀκμάζειν δὲ κόσμον, ἕως ἂν μηκέτι δύνηται ἔξωθέν τι προσλαμβάνειν. οὗτος ἐγέλα πάντα, ὡς γέλωτος ἀξίων πάντων τῶν ἐν ἀνθρώποις.

14 Ξενοφάνης δὲ ὁ Κολοφώνιος Ὀρθομένους υἱός. οὗτος ἕως Κύρου διέμεινεν. οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων εἰπὼν οὕτως·

εἰ γὰρ καὶ τὰ μάλιστα τύχῃ τετελεσμένον εἰπών,
αὐτὸς ὅμως οὐκ οἶδε, δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται καὶ ὅτι ἓν τὸ 2 πᾶν ἐστιν ἔξω μεταβολῆς. φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀίδιον καὶ ἕνα καὶ ὅμοιον πάντῃ καὶ πεπερασμένον καὶ σφαιροειδῆ καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν. τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι 3 καθ' ἑκάστην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι καὶ μήτε ὑπ' ἀέρος μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς. οὗτος τὴν θάλασσαν ἁλμυρὰν ἔφη διὰ τὸ 4 πολλὰ μίγματα συρρέειν ἐν αὐτῇ· ὁ δὲ Μητρόδωρος διὰ τὸ ἐν τῇ γῇ

---

similiter § 30 τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων καὶ ἀλλήλοις περιπλεκομένων, ἔκ τε τῆς κινήσεως .... γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν || 1 ἀρρυεῖ B || 2 περιπλεχθέντων εἰς ἕτερα libri: correxi ex Diog. l. c. cf. Theophr. metaph. p. 155, 23 W. similiter corruptum. τὰ δὲ μὴ περιπλεχθέντα Roeper, εἰς ἓν σύστημα Zeller || 3 τὴν libri: τινα corr. Roeper conl. Diog. IX 32 κατά τινα ἀνάγκην ἣν ὁποία ἐστὶν οὐ διασαφεῖ cf. Prol. p. 165 || 5 αὐδήριτης libri cf. Prol. p. 234 | συμβάλλων B || 6 καὶ ἀστρολόγοις vulgo: καὶ om. B || λέγει T || 7 πλήρους καὶ κενοῦ delebat Usener, sed cf. p. 571,27 || cum § 2 cf. Theophr. fr. 8 p. 484,2. 483,22 || 10 μείζω et 11 πλείω recte, cum diversi generis ἥλιος et σελήνη comprehendantur: μείζους et πλείους Roeper || 13 ἐκλείπειν Ritter || 21 πρῶτος cf. Prol. p. 148 || 22 Karsten fragm. XIV p. 51 || 25 δὲ τοῦτο θεὸν εἶναι Karsten, sed cf. Roeper p. 617 || 26 οὐ πεπερασμένον Wolfius cum Fabricio, sed cf. ad Theophr. fr. 5 p. 481,9 || 31 σύρειν ἐν ἑαυτῇ male Roeper || 31 de Metrodori mentione cf. Prol. p. 153 || an διὰ τὸ διὰ τῆς γῆς cf. p. 495, 7

διηθεῖσθαι, τούτου χάριν γίνεσθαι ἁλμυράν· ὁ δὲ Ξενοφάνης μῖξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γίνεσθαι δοκεῖ καὶ τῷ χρόνῳ ὑπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν, ἐν δὲ Πάρῳ τύπον ἀφύης ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῃ πλάκας συμπάντων θαλασσίων. ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ἐγρανθῆναι. ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ ταύτην πᾶσι τοῖς κόσμοις γίνεσθαι μεταβολήν.

15 Ἔκφαντός τις Συρακούσιος ἔφη μὴ εἶναι ἀληθινὴν τῶν ὄντων λαβεῖν γνῶσιν, ὁρίζει δὲ ὡς νομίζει· τὰ μὲν πρῶτα ἀδιαίρεταί εἶναι σώματα καὶ παραλλαγὰς αὐτῶν τρεῖς ὑπάρχειν, μέγεθος σχῆμα δύναμιν, ἐξ ὧν τὰ αἰσθητὰ γίνεσθαι. εἶναι δὲ τὸ πλῆθος αὐτῶν ὡρισμένον καὶ τοῦτο ἄπειρον. κινεῖσθαι δὲ τὰ σώματα μήτε ὑπὸ βάρους μήτε πληγῆς, ἀλλ' ὑπὸ θείας δυνάμεως, ἣν νοῦν καὶ ψυχὴν προσαγορεύει. τούτου μὲν οὖν τὸν κόσμον εἶναι ἰδέαν, δι' ὃ καὶ σφαιροειδῆ ὑπὸ θείας δυνάμεως γεγονέναι. τὴν δὲ γῆν μέσον κόσμου κινεῖσθαι περὶ τὸ αὐτῆς κέντρον ὡς πρὸς ἀνατολήν.

16 Ἵππων δὲ ὁ Ῥηγῖνος ἀρχὰς ἔφη ψυχρὸν τὸ ὕδωρ καὶ θερμὸν τὸ πῦρ. γενόμενον δὲ τὸ πῦρ ὑπὸ ὕδατος κατανικῆσαι τὴν τοῦ γεννήσαντος δύναμιν συστῆσαί τε τὸν κόσμον. τὴν δὲ ψυχὴν ποτὲ μὲν ἐγκέφαλον λέγει, ποτὲ δὲ ὕδωρ· καὶ γὰρ τὸ σπέρμα εἶναι, ⟨κατὰ⟩ τὸ φαινόμενον ἡμῖν, ἐξ ὑγροῦ, ἐξ οὗ φησι ψυχὴν γίνεσθαι.

17 Ταῦτα μὲν οὖν ἱκανῶς δοκοῦμεν παρατεθεικέναι. διὸ δοκεῖ λοιπὸν αὐτάρκως διαδραμόντων ἡμῶν τὰ τοῖς φυκικοῖς δόξαντα, ἀναδραμεῖν ἐπὶ Σωκράτην καὶ Πλάτωνα, οἳ τὸ ἠθικὸν μάλιστα προετίμησαν.

---

2 γενέσθαι δοξάζει Cruice. γενέσθαι λέγει Roeper || ὑπὸ B et Karsten: ἀπὸ C cf. Roeper p. 618 || 3 μέσῳ B || 4 κόγχα B || 5 ἀφύης Gronovius: δάφνης libri || 6 μελίτῳ libri: corr. Karsten || συμπάντων τῶν B || ἐπηλώθησαν BT: ἀπηλάθησαν O: ἐπελάθησαν L || 7 πυλῷ B || 9 ἄρχεσθαι scil. τὴν γῆν cf. p. 565,30. fuit qui coniceret ἀρχὴν ἔσεσθαι || τοῦτο vulgo: correxi. Karsten οὕτω || 10 καταβάλλειν libri: καταβολήν Roeper. correxi conlato Aristot. Meteorol. I 14 p. 352a 17 qui Xenophanem respicere videtur. μεταβάλλειν 'vitio typographi' Wolfius itemque Karsten || 11.12 haec paraphrasis L ita capit: ὅτι καὶ Ἔκφαντος μὴ εἶναι γνῶσιν ἀληθῆ τῶν ὄντων λαβεῖν ἐδόξασεν, ἀλλ'| ἕκαστος ὁρίζει ὡς νομίζει τὰ πράγματα. fortasse ὁρίζειν δὲ, ὡς νομίζεται cf. Sext. adv. math. VII 135 de Democrito ὅπερ ἔστι, νομίζεται μὲν εἶναι· καὶ δοξάζεται τὰ αἰσθητά, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ταῦτα, ἀλλὰ τὰ ἄτομα μόνον καὶ τὸ κενόν || 14 καὶ ταὐτὸ ἄπειρον [cf. Diodorus Cronus apud Aët. Plac. I 3 27] vel καὶ οὐκ ἄπειρον Roeper. hoc probatum Zellero I 4 459 2. veri similius Gottingensium ὡρισμένων κατὰ τοῦτο, ἄπειρον || 16 τοῦ μὲν οὖν τ. κ. εἰδέναι ἰδεῖν libri: corr. Roeper || 17 θείας Gottingenses: μιᾶς libri || 18 ἐν μέσῳ Zeller, sed cf. p. 563,27 || 18 ἀπὸ δύσεως πρὸς ἀνατολὴν coni. Zeller || 20 δὲ ῥηγεῖνος B || 21 γεννώμενον libri: corr. Roeper || κατανικῆσαι T: κατανικῆσαν C || 22 δὲ τὸν B || 23 λέγει Zeller: ἔχειν libri: ἔφη εἶναι Roeper || καὶ παρὰ corr. Bakhuizen van den Brink || κατὰ addidi || 24 γίνεσθαι ex γενέσθαι correctum B || 25 παρατεθηκέναι B

18 Ὁ μὲν οὖν Σωκράτης γίνεται Ἀρχελάου τοῦ φυσικοῦ ἀκροατής· ὃς τὸ γνῶθι σαυτὸν προτιμήσας καὶ μεγάλην σχολὴν συστήσας ἔσχε πάντων τῶν μαθητῶν ἱκανώτερον τὸν Πλάτωνα, αὐτὸς μὲν μηδὲ σύγγραμμα καταλιπών. ὁ δὲ Πλάτων τὴν πᾶσαν αὐτοῦ σοφίαν ἀπομαξάμενος 2 συνέστησε τὸ διδασκαλεῖον μίξας ὁμοῦ φυσικὴν ἠθικὴν διαλεκτικήν. ἃ δὲ ὁ Πλάτων ὁρίζεται ταῦτα.

19 Πλάτων ἀρχὰς εἶναι τοῦ παντὸς θεὸν καὶ ὕλην καὶ παράδειγμα· θεὸν μὲν τὸν ποιητὴν καὶ διακοσμήσαντα τόδε τὸ πᾶν καὶ προνοούμενον αὐτοῦ· ὕλην δὲ τὴν πᾶσιν ὑποκειμένην, ἣν καὶ δεξαμενὴν καὶ τιθήνην καλεῖ, ἐξ ἧς διακοσμηθείσης γενέσθαι τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν συνέστηκεν ὁ κόσμος, πυρὸς ἀέρος γῆς ὕδατος, ἐξ ὧν καὶ τὰ ἄλλα πάντα συγκρίματα καλούμενα, ζῷά τε καὶ φυτὰ συνεστηκέναι. τὸ δὲ παράδειγμα τὴν 2 διάνοιαν τοῦ θεοῦ εἶναι, ὃ καὶ ἰδέαν καλεῖ οἷον εἰκόνισμά τι, ᾧ προσέχων ἐν τῇ ψυχῇ ὁ θεὸς τὰ πάντα ἐδημιούργει. τὸν μὲν θεόν φησιν 3 ἀσώματόν τε καὶ ἀνείδεον καὶ μόνοις σοφοῖς ἀνδράσι καταληπτὸν εἶναι· τὴν δὲ ὕλην δυνάμει μὲν σῶμα, ἐνεργείᾳ δὲ οὐδέπω· ἀσχημάτιστον γὰρ αὐτὴν οὖσαν καὶ ἄποιον, προσλαβοῦσαν σχήματα καὶ ποιότητας γενέσθαι σῶμα.

τὴν μὲν οὖν ὕλην ἀρχὴν εἶναι καὶ σύγχρονον τῷ θεῷ, ταύτῃ καὶ ἀγέ- 4 νητον τὸν κόσμον. ἐκ γὰρ αὐτῆς συνεστάναι φησὶν αὐτόν. τῷ δὲ ἀγενήτῳ ἀκολουθεῖν πάντως καὶ τὸ ἄφθαρτον. ᾗ δὲ σῶμά τε καὶ ἐκ πολλῶν ποιοτήτων καὶ ἰδεῶν συγκείμενον ὑποτίθεται, ταύτῃ καὶ γενητὸν καὶ φθαρτόν.

τινὲς δὲ τῶν Πλατωνικῶν ἀμφότερα ἔμιξαν χρησάμενοι παραδείγματι 5 τοιούτῳ· ὅτι ὥσπερ ἅμαξα δύναται ἀεὶ διαμένειν ἄφθαρτος κατὰ μέρος ἐπισκευαζομένη, κἂν τὰ μέρη φθείρηται ἑκάστοτε, αὐτὴ δὲ ὁλόκληρος ἀεὶ μένει· τοῦτον τὸν τρόπον καὶ ὁ κόσμος κατὰ μέρη μὲν ἀεὶ [καὶ] φθείρεται, ἐπισκευαζομένων ⟨δὲ⟩ καὶ ἀντανισουμένων τῶν ἀφαιρουμένων ἀίδιος μένει.

τὸν δὲ θεὸν οἱ μὲν ἕνα φασὶν αὐτὸν εἰπεῖν ἀγένητον καὶ ἄφθαρτον, ὡς 6 λέγει ἐν τοῖς Νόμοις· ‘ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων’. οὕτως ἕνα αὐτὸν

---

1 ὁ δὲ Σωκράτης μαθητὴς Ἀρχελάου τοῦ φυσικοῦ. ἔσχε δὲ πάντων τῶν μαθητῶν ἱκανώτερον τὸν Πλάτωνα. οὗτος ἀρχὰς κτλ. liberius exc. Cedr. || 3 μαθημάτων B || αὐτὸς δὲ B || μηδὲ libri: μηδὲν Roeper || 5 διαλλεκτικὴν B || 6 ὁρίζεται libri: ὁρίζει, ἐστὶ Roeper || 9 πᾶσαν libri: πᾶσιν Cedr. ut Roeper emendaverat cf. 20 1 || ἣν δὲ καὶ solus L unde ἣν δὴ καὶ volebat Roeper || 11 συγκρώματα T || 13 διάνιαν B: διάνοιαν C: ἔννοιαν Cedr. || ἰδέαν Cedr. Gronovius: ἰδέας libri || εἰκόνισμά τι Cedr.: εἰκονίσματι libri || ᾧ addidi ex Cedreno, quod Roeper ante οἷον suppleverat || ᾧ προσέχων, φησιν, ὁ θεὸς τ. π. ἐδημιούργησε. καὶ [fort. recte] τὸν μὲν κτλ. Cedr. || 15 καὶ ἄφθαρτον fortasse vere addidit post ἀνείδεον Cedr. || ante ἀνδράσι habet ἀνθρώποις sed statim expunctum B || 16 οὔπω B || 17 ποιότητας T || 18 ταύτην libri: corr. Gottingenses cf. v. 21, omisit Cedr. || 19 ἐκ γὰρ αὐτοῦ ante Roeperum. ἐκ γὰρ τῆς ὕλης Cedr. || 20 ἀκουλουθεῖν B: ἀκολουθεῖ Cedr. || 21 ταύτην T cf. v. 18 || 22 ἀμφοτέρως T || 24 ἐπισκιαζομένη L || 25 μὲν ἀεὶ Usener: μένει libri: μὲν εἰ Roeper || καὶ delevit Usener || φθείροντα T || 26 ἐπισκιαζομένων BT || δὲ ante καὶ addidit Roeper || 28 Νόμοις IV p. 715 E unde δὴ pro δὲ codicum correctum || 29 ὄντων Cedr. T: om. C || ἔχει errore calami Roeper, iteraverunt Gottingenses et Cruice. Cedr. plenius excerpsit ex Suida II 2 p. 299,18 sqq. B

7 τὸν διὰ πάντων κεχωρηκότα ἀποφαίνεται. οἱ δὲ καὶ πολλοὺς ἀορίστους, ὅταν λέγῃ· 'θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργός τε καὶ πατήρ'. οἱ δὲ καὶ ὡρισμένους, ὅταν λέγῃ· 'ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα
8 ἐλαύνων' καὶ ὅταν γενεαλογῇ τοὺς Οὐρανοῦ παῖδας καὶ Γῆς. οἱ δὲ συστήσασθαι μὲν αὐτὸν θεοὺς γενητοὺς καὶ διὰ μὲν τὸ γεγενῆσθαι πάντως αὐτοὺς φθαρῆναι ἀνάγκην ἔχειν, διὰ δὲ τὴν βούλησιν τοῦ θεοῦ ἀθανάτους εἶναι, ἐν ᾧ προσθεὶς λέγει· 'θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργός τε καὶ πατήρ, ἄλυτα ἐμοῦ γε θέλοντος', ὡς ἂν εἰ λυθῆναι αὐτὰ θέλει, ῥᾳδίως λυθησόμενα.
9 δαιμόνων δὲ φύσεις ἀποδέχεται, καὶ τοὺς μὲν ἀγαθοὺς εἶναί φησιν αὐτῶν,
10 τοὺς δὲ φαύλους. καὶ τὴν ψυχὴν οἱ μέν φασιν αὐτὸν ἀγένητον λέγειν καὶ ἄφθαρτον, ὅταν λέγῃ· 'ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον ἀθάνατον' καὶ ὅταν αὐτοκίνητον αὐτὴν ἀποδεικνύῃ καὶ ἀρχὴν κινήσεως. οἱ δὲ γενητὴν μέν, ἄφθαρτον δὲ διὰ τὴν τοῦ θεοῦ βούλησιν. οἱ δὲ σύνθετον καὶ γενητὴν καὶ φθαρτήν· καὶ γὰρ κρατῆρα αὐτῆς ὑποτίθεσθαι καὶ σῶμα αὐτὴν ἔχειν
11 αὐγοειδές, τὸ δὲ γενόμενον πᾶν ἀνάγκην ἔχειν φθαρῆναι. οἱ δὲ ἀθάνατον αὐτὴν εἶναι λέγοντες μάλιστα ἐκείνοις ἰσχυρίζονται, ⟨ἐν⟩ ὅσοις καὶ κρίσεις φησὶν εἶναι μετὰ τελευτὴν καὶ ἐν Ἅιδου δικαστήρια, καὶ τὰς μὲν ἀγαθὰς ἀγαθοῦ μισθοῦ τυγχάνειν, τὰς δὲ πονηρὰς ἀκολούθων δικῶν.
12 τινὲς μὲν οὖν φασι καὶ μετενσωμάτωσιν αὐτὸν ὁμολογεῖν καὶ μεταβαίνειν τὰς ψυχὰς ὡρισμένας οὔσας ἄλλας εἰς ἄλλα σώματα κατ' ἀξίαν ἑκάστην καὶ κατά τινας περιόδους ὡρισμένας ἀναπέμπεσθαι εἰς τοῦτον τὸν κόσμον
13 πάλιν πεῖραν παρεξομένας τῆς ἑαυτῶν προαιρέσεως. οἱ δὲ οὔ, ἀλλὰ τόπον λαγχάνειν κατ' ἀξίαν ἑκάστην, καὶ χρῶνται μαρτυρίῳ, ὅτι φησὶ μετὰ Διός τινας εἶναι, ἄλλους δὲ μετὰ ἄλλων θεῶν συμπεριπολοῦντας τῶν ἀγαθῶν ἀνδρῶν, τοὺς δὲ ἐν κολάσεσιν ὑπάρχειν αἰωνίοις, ὅσοι πονηρὰ καὶ ἄδικα
14 παρὰ τοῦτον τὸν βίον εἰσὶν ἐξειργασμένοι. φασὶ δὲ αὐτὸν τὰ μὲν ἄμεσα λέγειν, τὰ δὲ ἔμμεσα, τὰ δὲ μέσα τῶν πραγμάτων. ἐγρήγορσιν μὲν καὶ ὕπνον ἄμεσα καὶ ὅσα τοιαῦτα· ἔμμεσα δὲ οἷον ἀγαθὰ καὶ κακά· καὶ
15 μέσα, οἷον τοῦ λευκοῦ καὶ μέλανος τὸ φαιὸν ἤ τι ἄλλο χρῶμα. ἀγαθὰ

---

1 ἀορίστους Cedr.: ἀορίστως libri || 2 θεοὶ Plato Tim. 41 A, Cedr.: θεὸς et hic et infra v. 7 libri cf. [Philo] de incorrupt. mund. p. 223, 10 Bern. || 2 ὧν Cedr.: om. libri || 3 λέγῃ Phaedr. 246 E ubi nostra exempla ἡγεμὼν post μέγας exhibent. etiam Plutarchus p. 1102 E omiserunt et [Iust.] coh. adv. gent. 31 cf. Krische de Pl. Phaedr. p. 58 || πτηνῶν B || 4 γενεαλογῇ Tim p. 40 E || 5 συστήσας δὲ τὸν ἕνα θεὸν εἰσάγει καὶ θεοὺς γεννητοὺς Cedr. || μὲν οὖν θεοὺς T || καὶ διὰ μὲν τοῦ γεγενῆσθαι αὐτοὺς πάντως ἀνάγκην ἔχειν καὶ φθαρῆναι Cedr. || 6 ἀθανάτους πάλιν εἶναι Cedr. || 7 θεὸς libri cf. v. 2 || 8 γε μὴ ἐθέλοντος Plato || 9 παραδέχεται Cedr. p. 280,15 || 10 αὐτῶν ante Wolfium (distat Cedr.) || 11 καὶ ante ἀθάνατον Cedr. || 12 γεννητὴν καὶ ἄφθαρτον Cedr. || 13 γεννητὴν καὶ φθαρτὴν καὶ πάλιν ἀθάνατον Cedr.: ὑποτίθεσθαι BT: ὑποτίθεται C || 14 κρατῆρα Tim. 41 D || 15 πᾶν om. B || ἀνάγκην εἶναι T cf. v. 6 || 16 ἐκεῖνοι ἰσχυρίζονται ὅσοι libri: corr. Roeper, ἐν add. Usener || 17 κρίσεις Cedr. || φησὶν Cedr. Roeper: φασὶν libri || μετὰ τὴν τελευτὴν Cedr. || δικαστήριον Cedr. || 18 τῶν ἀκολούθων Cedr. || 19 μεταβάλλειν O || ὡρισμένας οὔσας ἄλλας om. Cedr. || 20 καὶ ἀξίαν B || ἑκάστην Phaedon. 113 E: ἑκάστης Cedr.: ἑκάστῃ libri || 21 εἰς Cedr. B: ἐς C || 23 ἑκάστῃ vulgo cf. v. 20 (deest Cedr.) || φασὶ ante Wolfium || 24 μετὰ τῶν ἄλλων Cedr. || 25 αἰωνιαίως O: αἰωνίαις C: αἰωνίοις Miller || 27 λέγει L || 29 ὅτι ἄλλο T

δὲ μόνα κυρίως λέγειν φασὶν αὐτὸν τὰ περὶ ψυχήν, τὰ δὲ περὶ σῶμα καὶ τὰ ἐκτὸς οὐκ ἔτι κυρίως ἀγαθά, ἀλλὰ λεγόμενα ἀγαθά, πολλαχοῦ δὲ καὶ μέσα ὠνομακέναι αὐτά· εἶναι γὰρ αὐτοῖς καὶ καλῶς καὶ κακῶς χρῆσθαι.

τὰς μὲν οὖν ἀρετὰς κατὰ τιμὴν ἀκρότητας εἶναί φησι, κατὰ δὲ οὐσίαν 16
μεσότητας· τιμιώτερον [μὲν] γὰρ οὐδὲν ἀρετῆς. τὸ δὲ ὑπερβάλλον αὐτῶν ἢ ἐνδέον εἰς κακίαν τελευτᾶν· οἷον τέσσαράς φησιν εἶναι ἀρετὰς φρόνησιν σωφροσύνην δικαιοσύνην ἀνδρείαν· τούτων ἑκάστῃ παρακολουθεῖν δύο κακίας καθ' ὑπερβολὴν καὶ μείωσιν, οἷον τῇ μὲν φρονήσει ἀφροσύνην κατὰ μείωσιν, πανουργίαν δὲ καθ' ὑπερβολήν, τῇ δὲ σωφροσύνῃ ἀκολασίαν κατὰ μείωσιν, σκαιότητα καθ' ὑπερβολήν, τῇ δὲ δικαιοσύνῃ μειονεξίαν κατὰ μείωσιν, πλεονεξίαν καθ' ὑπερβολήν, τῇ δὲ ἀνδρείᾳ δειλίαν κατὰ μείωσιν, θρασύτητα καθ' ὑπερβολήν. ταύτας δὲ ἐγγενομένας τὰς ἀρετὰς ἀνθρώπῳ ἀπεργάζεσθαι αὐτὸν τέλειον καὶ παρέχειν αὐτῷ εὐδαιμονίαν. τὴν δὲ 17
εὐδαιμονίαν εἶναί φησιν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατόν. τὴν δὲ ὁμοίωσιν τῷ θεῷ, ὅταν τις ὅσιός τε καὶ δίκαιος γένηται μετὰ φρονήσεως. τέλος γὰρ τοῦτο τῆς ἄκρας σοφίας καὶ ἀρετῆς ὑποτίθεται. λέγει δὲ ἀντ- 18
ακολουθεῖν τὰς ἀρετὰς ἀλλήλαις καὶ μονοειδεῖς εἶναι καὶ μηδέποτε ἐναντιοῦσθαι ἀλλήλαις. τὰς δὲ κακίας πολυτρόπους τε εἶναι καὶ ποτὲ μὲν ἀντακολουθεῖν, ποτὲ δὲ ἐναντιοῦσθαι ἀλλήλαις. εἱμαρμένην δέ φησιν εἶναι, 19
οὐ μὴν πάντα καθ' εἱμαρμένην γίνεσθαι, ἀλλ' εἶναί τι καὶ ἐφ' ἡμῖν, ἐν οἷς φησιν 'αἰτία ἑλομένου, θεὸς ἀναίτιος' καί 'θεσμός τε Ἀδραστείας ὅδε'. οὕτω τὸ καθ' εἱμαρμένην οἵδε καὶ τὸ ἐφ' ἡμῖν· ἀκούσια 20
δέ φησιν εἶναι τὰ ἁμαρτήματα· εἰς γὰρ τὸ κάλλιστον τῶν ἐν ἡμῖν, ὅπερ ἐστὶν ἡ ψυχή, οὐκ ἄν τινα τὸ κακὸν παραδέξασθαι, τοῦτ' ἔστι τὴν ἀδικίαν· κατὰ ἄγνοιαν δὲ καὶ σφάλμα τοῦ ἀγαθοῦ, οἰομένους καλόν τι ποιεῖν, ἐπὶ τὸ κακὸν ἔρχεσθαι. καὶ λέξις τούτου ἐμφανεστάτη ἐστὶν ἐν τῇ 21
Πολιτείᾳ, ἐν ᾗ φησι 'πάλιν δ' αὖ τολμᾶτε λέγειν ὡς αἰσχρὸν καὶ θεομισὲς ἡ κακία· πῶς οὖν δή τις τὸ τοιοῦτον κακὸν αἱροῖτ' ἄν; ἥττων ὃς ἂν ᾖ, φατέ, τῶν ἡδονῶν. οὐκοῦν καὶ τοῦτο ἀκούσιον, εἴπερ τὸ νικᾶν ἑκούσιον; ὥστε ἐκ παντὸς λόγου τό γε ἀδικεῖν ἀκούσιον ὁ λόγος αἱρεῖ'. ἀντι- 22
τίθεταί δέ τις αὐτῷ πρὸς τοῦτο· διὰ τί οὖν κολάζονται, εἰ ἀκουσίως ἁμαρτάνουσιν; ὁ δὲ λέγει, ἵνα τε αὐτὸς ὅτι τάχιστα ἀπαλλαγῇ κακίας καὶ κόλασιν ὑπόσχῃ. τὸ γὰρ κόλασιν ὑποσχεῖν οὐ κακὸν εἶναι, ἀλλὰ ἀγαθόν,

2 οὐκ ἔστι T || 4 φασὶ ante Wolfium || 5 μὲν delevit Cruice. totum colon melius ponetur post φησι v. 4 || 6 φασὶν ante Roeperum || 8 ἀφροσύνη BL || 9 ἀκολασία B || 10 τῇ δὲ — 11 ὑπερβολήν om. B || δικαιοσύνῃ πλεονεξίαν T || 12 θρασύτητα B: σκαιότητα superscripto θρᾶσος L: θράσος C || 14 φησὶν Theaet. p. 176 A || 15 ὅσιος τις L || 17 ἀλλήλους B || 18 ἀλλήλοις B || 19 δέ φησιν Cedr.: φασὶν (om. δὲ) libri || οὐ μέντοι Cedr. || 21 φησιν Rep. X 617 E || αἰτίαν T || ἀναιτίαν T || 21 ὅδε Plato Phaedr. 248 C: οἱ δὲ libri. ὅδε. εἰ δὲ Cruice || οἵδε Cruice: οἱ δὲ libri || 26 falsus est Hippolytus, nam est in Clitophonte p. 407 D || 27 πάλιν δ' αὐτῷ ἅματε λέγειν libri || 28 πᾶς B ἢ τῶν ὅσα δή φατε libri || 29 ἑκούσιον (post νικᾶν) ex ἀκούσιον corr. B || 30 ἄδικον T || ὁ λόγος αἱρεῖ Plato: λόγος ἐρεῖ libri || λόγος ἐρεῖ ἀντιτίθεται inter ἀκούσιον et εἴπερ supra iterat B || 31 τοῦτο BT: τούτῳ C || λέγει incertum quem locum respiciat cf. Gorg. 478 E Republ. IX 591 A Leg. XI 934 A Prot. 324 B || 32 ὅτι om. B

εἴπερ μέλλει κάθαρσις τῶν κακῶν γίνεσθαι· καὶ ἵνα μηδὲν ἁμαρτάνωσιν οἱ λοιποὶ ἀκούοντες ἄνθρωποι, ἀλλὰ φυλάσσωνται τὴν τοιαύτην πλάνην.

23 κακοῦ δὲ φύσιν οὔτε ὑπὸ θεοῦ γενέσθαι οὔτε καθ' αὑτὴν ὑπόστασιν ἔχειν, ἀλλὰ κατ' ἐναντίωσιν καὶ παρακολούθησιν τοῦ ἀγαθοῦ γενέσθαι ἢ καθ' ὑπερβολὴν ἢ κατὰ μείωσιν, ὡς περὶ τῶν ἀρετῶν προείπομεν. ὁ μὲν οὖν Πλάτων, καθὼς προείπομεν, συναγαγὼν τὰ τρία μέρη τῆς κατὰ πάντα φιλοσοφίας, οὕτως ἐφιλοσόφησεν.

20 Ἀριστοτέλης τούτου γενόμενος ἀκροατὴς εἰς τέχνην τὴν φιλοσοφίαν ἤγαγεν καὶ λογικώτερος ἐγένετο τὰ μὲν στοιχεῖα τῶν πάντων ὑποθέμενος οὐσίαν καὶ συμβεβηκός· τὴν μὲν οὐσίαν μίαν τὴν πᾶσιν ὑποκειμένην, τὰ δὲ συμβεβηκότα ἐννέα· ποσὸν ποιὸν πρός τι, ποῦ πότε ἔχειν κεῖσθαι

2 ποιεῖν πάσχειν· τὴν μὲν οὖν οὐσίαν τοιαύτην εἶναι, οἷον θεὸν ἄνθρωπον καὶ ἕκαστον τῶν τῷ ὁμοίῳ λόγῳ ὑποπεσεῖν δυναμένων. περὶ δὲ τὰ συμβεβηκότα θεωρεῖται τὸ μὲν ποιόν, οἷον λευκὸν μέλαν· τὸ δὲ ποσόν, οἷον δίπηχυ τρίπηχυ· τὸ δὲ πρός τι, οἷον πατὴρ υἱός· τὸ δὲ ποῦ, οἷον Ἀθήνησι Μεγαροῖ· τὸ δὲ πότε, οἷον ἐπὶ τῆς δεκάτης ὀλυμπιάδος· τὸ δὲ ἔχειν, οἷον κεκτῆσθαι· τὸ δὲ ποιεῖν, οἷον γράφειν καὶ ὅλως ἐνεργεῖν τι· τὸ δὲ κεῖσθαι,

3 οἷον κατακεῖσθαι· τὸ δὲ πάσχειν, οἷον τύπτεσθαι. ὑποτίθεται καὶ αὐτὸς τὰ μὲν μεσότητα ἔχειν, τὰ δὲ ἄμεσα εἶναι, ὡς εἴπομεν καὶ περὶ τοῦ Πλάτωνος. καὶ σχεδὸν τὰ πλεῖστα τῷ Πλάτωνι σύμφωνός ἐστι πλὴν

4 τοῦ περὶ ψυχῆς δόγματος. ὁ μὲν γὰρ Πλάτων ἀθάνατον, ὁ δὲ Ἀριστοτέλης ἐπιδιαμένειν καὶ μετὰ ταῦτα καὶ ταύτην ἐναφανίζεσθαι τῷ πέμπτῳ σώματι, ὃ ὑποτίθεται εἶναι μετὰ τῶν ἄλλων τεσσάρων, τοῦ τε πυρὸς καὶ τῆς γῆς καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος λεπτότερον, οἷον πνεῦμα.

5 ὁ μὲν οὖν Πλάτων μόνα ἀγαθὰ ὄντως τὰ περὶ ψυχὴν εἶναί φησιν καὶ ἀρκεῖν πρὸς τὴν εὐδαιμονίαν. ὁ δὲ Ἀριστοτέλης τριγένειαν τῶν ἀγαθῶν εἰσάγει καὶ λέγει μὴ εἶναι τέλειον τὸν σοφόν, ἐὰν μὴ παρῇ αὐτῷ καὶ τὰ τοῦ σώματος ἀγαθὰ καὶ τὰ ἐκτός, ἅ ἐστι κάλλος ἰσχὺς εὐαισθησία ἀρτιότης· τὰ δὲ ἐκτὸς πλοῦτος εὐγένεια δόξα δύναμις εἰρήνη φιλία. τὰ δὲ ἐντὸς περὶ ψυχήν, καθὼς καὶ Πλάτωνι ἔδοξε, φρόνησιν σωφροσύνην δι-

6 καιοσύνην ἀνδρείαν. τὰ δὲ κακά φησι καὶ οὗτος κατ' ἐναντίωσιν τῶν ἀγαθῶν γενέσθαι καὶ εἶναι ὑπὸ τὸν περὶ σελήνην τόπον, ὑπὲρ δὲ σελήνην μηκέτι. τὴν δὲ ψυχὴν τὴν μὲν ὅλου τοῦ κόσμου ἀθάνατον εἶναι, καὶ αὐτὸν τὸν κόσμον ἀίδιον, τὴν δὲ καθ' ἕκαστον, ὡς προείπομεν, ἀφα-

---

2 μηδὲ libri: corr. Gottingenses || 3 κακοῦ δὲ φύσιν vulgo: κακὸν δέ φησιν B || 4 παρακολούθωσιν L || γενήσεσθαι T || 5 ὁ μὲν—6 προείπομεν om. B || 6 κατὰ πάντα del. Usener || 8 libere exc. c. 10 Cedr. || 10 καὶ ante οὐσίαν sed deletum B || οἷον τὴν οὐσίαν καὶ τὸ συμβεβηκός Cedr. || 10 μίαν τοῖς πᾶσιν Cedr. || 12 ἄνθρωπον καὶ ζῷον, περὶ ἃ καὶ τὰ σ. Cedr. || 15 Ἀθήνησι Μεγάροις Cedr.: ἀθήνησιν μεγάροισιν C: μεγάροισιν. ἀθήνησιν B: corr. Roeper || 17 τὸ δὲ κεῖσθαι — κατακεῖσθαι collocandum erat post κεκτῆσθαι v. 17 in Cedr. ordo est ποιεῖν — πάσχειν, ἔχειν — κεῖσθαι || 21 ψυχῆς Cedr. et Menage: ψυχήν libri || 22 ταῦτα αὐτὴν συναφανίζεσθαι Cedr. || 23 ὃ BC: ᾧ L || 25 μὲν αὖ Roeper || 29 ἐρρωμένη φίλων libri: corr. Roeper ex Ario Didymo ap. Stob. ecl. II 6 p. 274 H. || 33 τοῦ μὲν ὅλου libri: corr. Roeper. ψυχὴν ὅλου τοῦ κόσμου Cedr.

νίζεσθαι. οὗτος μὲν οὖν ἐν τῷ Λυκείῳ ποιούμενος τὰς διατριβὰς 7
ἐφιλοσόφει, ὁ δὲ Ζήνων ἐν τῇ ποικίλῃ στοᾷ. ἐκτήσαντο δὲ οἱ μὲν ἀπὸ
τοῦ Ζήνωνος ἀπὸ τοῦ τόπου τὸ ὄνομα, τοῦτ' ἔστιν ἀπὸ τῆς στοᾶς,
Στωικοὶ κληθέντες· οἱ δὲ ἀπὸ τοῦ Ἀριστοτέλους ἀπὸ τοῦ ἔργου.
ἐπειδὴ γὰρ περιπατοῦντες ἐν τῷ Λυκείῳ ἐζήτουν, διὰ τοῦτο Περιπατητικοὶ
ἐκλήθησαν. ταῦτα μὲν οὖν καὶ ὁ Ἀριστοτέλης.

21 Στωικοὶ καὶ αὐτοὶ μὲν ἐπὶ τὸ συλλογιστικώτερον τὴν φιλοσοφίαν
ἠὔξησαν καὶ σχεδὸν ὅροις περιέλαβον ὁμόδοξοι γενόμενοι ὅ τε Χρύσιππος
καὶ Ζήνων, οἳ ὑπέθεντο καὶ αὐτοὶ ἀρχὴν μὲν θεὸν τῶν πάντων, σῶμα
ὄντα τὸ καθαρώτατον, διὰ πάντων δὲ διήκειν τὴν πρόνοιαν αὐτοῦ.

καὶ αὐτοὶ δὲ τὸ καθ' εἱμαρμένην εἶναι πάντα διεβεβαιώσαντο παραδείγματι 2
χρησάμενοι τοιούτῳ, ὅτι ὥσπερ ὀχήματος ἐὰν ᾖ ἐξηρτημένος κύων, ἐὰν
μὲν βούληται ἕπεσθαι, καὶ ἕλκεται καὶ ἕπεται, ποιῶν καὶ τὸ αὐτεξούσιον
μετὰ τῆς ἀνάγκης [οἷον τῆς εἱμαρμένης]· ἐὰν δὲ μὴ βούληται ἕπεσθαι, πάντως
ἀναγκασθήσεται· τὸ αὐτὸ δήπου καὶ ἐπὶ τῶν ἀνθρώπων· καὶ μὴ βουλό-
μενοι γὰρ ἀκολουθεῖν ἀναγκασθήσονται πάντως εἰς τὸ πεπρωμένον εἰσελθεῖν.

τὴν δὲ ψυχὴν λέγουσιν ἀθάνατον εἶναι, σῶμα δέ, καὶ γενέσθαι ἐκ 3
τῆς περιψύξεως τοῦ ἀέρος τοῦ περιέχοντος, διὸ καὶ καλεῖσθαι ψυχήν. ὁμο-
λογοῦσι δὲ καὶ μετενσωμάτωσιν γίνεσθαι ὡρισμένων οὐσῶν τῶν ψυχῶν.

προσδέχονται δὲ ἐκπύρωσιν ἔσεσθαι καὶ κάθαρσιν τοῦ κόσμου τούτου οἱ 4
μὲν παντός, οἱ δὲ μέρους, καὶ κατὰ μέρος δὲ αὐτὸν καθαίρεσθαι λέγουσιν·
καὶ σχεδὸν τὴν φθορὰν καὶ τὴν ἑτέρου ἐξ αὐτῆς γένεσιν κάθαρσιν ὀνομά-
ζουσιν. σώματα δὲ πάντα ὑπέθεντο καὶ σῶμα διὰ σώματος μὲν 5
χωρεῖν, ἀλλὰ † ἀνάστασιν εἶναι καὶ πεπληρῶσθαι πάντα καὶ μηδὲν εἶναι
κενόν. ταῦτα καὶ οἱ Στωικοί.

22 Ἐπίκουρος δὲ σχεδὸν ἐναντίαν πᾶσι δόξαν ἔθετο. ἀρχὰς μὲν
τῶν ὅλων ὑπέθετο ἀτόμους καὶ κενόν, κενὸν μὲν οἷον τόπον τῶν ἐσομένων,
ἀτόμους δὲ τὴν ὕλην, ἐξ ἧς τὰ πάντα. ἐκ δὲ τῶν ἀτόμων συνελθουσῶν 2

---

1 cf. Prol. p. 246 || 5 γὰρ καὶ T || 7 περὶ στωικῶν superscr. B || οἱ δὲ στοικοὶ T || 9 ὑπέθεντο – 11 διεβεβαιώσαντο adiuncta § 3 breviavit Cedr. || 10 δὲ δίκην T || 11 πάντα T: τὰ πάντα (om. εἶναι) Cedr.: πάντη C vulgo || 13 ἕπεσθαι καὶ μὴ ἕλκεται καὶ ἕπεται ἐκὼν καὶ κτλ. Menage, unde vulgo ἐκὼν ante ποιῶν legebatur. Roeper ἐκὼν deleto ποιῶν suadebat || οἷον τῆς εἱμαρμένης seclusit Roeper || 14 pro his paraphrasin hanc servat T: ἐὰν δὲ μὴ βούληται, πάντως ἕλκεσθαι αὐτὸν ἀνάγκη. οὕτως καὶ οἱ ἄνθρωποι ἐὰν μὴ ἕποιντο [l. μὲν ἕπωνται] τῇ εἱμαρμένῃ, δοκοῦσιν αὐτεξούσιοι [l. αὐτεξούσιοι] εἶναι σωζομένου καὶ τοῦ λόγου τῆς εἱμαρμένης, ἐὰν δὲ μὴ βούλωνται ἕπεσθαι, πάντως ἀναγκασθήσονται εἰς τὸ πεπρωμένον εἰσελθεῖν cf. Cleanthes apud Epict. ench. 52 || 16 εἰσελθεῖν suspectum. ἐλθεῖν Usener || 17 τὴν σελήνην λέγουσιν ἀθάνατον εἶναι, σῶμα δὲ λέγουσι γενέσθαι Cedr.: τὴν δὲ ψυχὴν λέγουσιν [λέγουσι μὲν C] ἀθάνατον, εἶναι δὲ σῶμα καὶ γενέσθαι BC. λέγουσι μένειν μετὰ θάνατον Roeper || 19 καὶ μὴ ἐνσωμάτωσιν T || de metempsychosi Stoicorum cf. ad Epiphan. p. 587,19 et Gal. H. ph. c. 23 p. 256 || 20 ἐμπύρωσιν O || 22 καθάρσιον libri: corr. Roeper || 23 δι' ἀσωμάτου La Croce || μὴ χωρεῖν vulgo: corr. Gottingenses || 24 ἀνάστασιν nihili est. ἀνάκλασιν Ritteri, ἀντίστασιν Salvinii vix meliora. ἀντίτασιν Usener. conicio ἀντιπαρέκτασιν cf. Alex. Aphrod. d. mixt. 142ª m. Arius Did. fr 28 p. 463,24 Diog. VII 151. || 25 καινὸν T || 27 οἷον τὸν τόπον Cedr. || δὲ om. Cedr. || 28 συνελθόντων libri: correxit Roeper confirmatum a Cedreno

γενέσθαι καὶ τὸν θεὸν καὶ τὰ στοιχεῖα καὶ τὰ ἐν αὐτοῖς πάντα καὶ ζῷα καὶ ἄλλα, ὡς μηδὲν μήτε γίνεσθαι μήτε συνεστάναι, εἰ μὴ ἐκ τῶν ἀτόμων εἴη. τὰς δὲ ἀτόμους τὰ λεπτομερέστατα σώματ', ὧν οὐκ ἂν γένοιτο κέντρον οὐδὲ σημεῖον οὐδὲν οὐδὲ διαίρεσις οὐδεμία, ἔφη εἶναι· διὸ καὶ
3 ἀτόμους αὐτὰς ὠνόμασε. τὸν δὲ θεὸν ὁμολογῶν εἶναι ἀίδιον καὶ ἄφθαρτόν φησι μηδενὸς προνοεῖν, καὶ ὅλως πρόνοιαν μὴ εἶναι μηδὲ εἱμαρμένην, ἀλλὰ πάντα αὐτοματισμῷ γίνεσθαι. καθῆσθαι γὰρ τὸν θεὸν ἐν τοῖς μετακοσμίοις οὕτω καλουμένοις ὑπ' αὐτοῦ· ἔξω γάρ τι τοῦ κόσμου οἰκητήριον τοῦ θεοῦ ἔθετο εἶναι λεγόμενον τὰ μετακόσμια, ἥδεσθαί τε καὶ ἡσυχάζειν ἐν τῇ ἀκροτάτῃ εὐφροσύνῃ καὶ οὔτε αὐτὸν πράγματα ἔχειν οὔτε
4 ἄλλῳ παρέχειν. ᾧ ἀκόλουθον καὶ τὸν περὶ τῶν σοφῶν ἀνδρῶν πεποίηται λόγον λέγων τὸ τέλος τῆς σοφίας εἶναι ἡδονήν. ἄλλοι δὲ ἄλλως τὸ ὄνομα τῆς ἡδονῆς ἐξέλαβον· οἱ μὲν γὰρ τὴν κατὰ τὰς θνητὰς ἐπιθυμίας,
5 οἱ δὲ τὴν ἐπὶ τῇ ἀρετῇ ἡδονήν. τὰς δὲ ψυχὰς τῶν ἀνθρώπων λύεσθαι ἅμα τοῖς σώμασιν, ὥσπερ καὶ συγγεννᾶσθαι αὐτοῖς τίθεται. αἷμα γὰρ αὐτὰς εἶναι, οὐ ἐξελθόντος ἢ τραπέντος ἀπόλλυσθαι ὅλον τὸν ἄνθρωπον, ᾧ ἀκολουθεῖ μήτε κρίσεις εἶναι ἐν Ἅιδου μήτε δικαστήρια, ὡς ὅ τι ἂν ὁράσῃ τις ἐν τῷ βίῳ τούτῳ καὶ διαλάθῃ ἀνεύθυνον εἶναι παντελῶς. οὕτως οὖν καὶ Ἐπίκουρος.

23 Ἄλλη δὲ αἵρεσις φιλοσόφων ἐκλήθη Ἀκαδημαϊκὴ διὰ τὸ ἐν τῇ Ἀκαδημίᾳ τὰς διατριβὰς αὐτοὺς ποιεῖσθαι, ὧν ἄρξας ὁ Πύρρων, ἀφ' οὗ Πυρρώνειοι ἐκλήθησαν φιλόσοφοι, τὴν ἀκαταληψίαν ἁπάντων πρῶτος εἰσήγαγεν, ὡς ἐπιχειρεῖν μὲν εἰς ἑκάτερα, μὴ μέντοι ἀποφαίνεσθαι μηδέν.
2 οὐδὲν γὰρ εἶναι οὔτε τῶν νοητῶν οὔτε τῶν αἰσθητῶν ἀληθές, ἀλλὰ δοκεῖν τοῖς ἀνθρώποις οὕτως ἔχειν. ῥευστήν τε εἶναι τὴν οὐσίαν πᾶσαν καὶ μεταβλητὴν καὶ
3 μηδέποτε ἐν τῷ αὐτῷ μένειν. οἱ μὲν οὖν τῶν Ἀκαδημαϊκῶν λέγουσι μὴ δεῖν τὴν ἀρχὴν περὶ μηδενὸς ἀποφαίνεσθαι, ἀλλ' ἁπλῶς ἐπιχειρήσαντας

---

1 στοιχεῖα καὶ Cedr.: στοιχεῖα T: στοιχεῖα πάντα καὶ C || πάντα habet ante τὰ ἐν αὐτοῖς (om. καὶ ζῷα καὶ ἄλλα) Cedr.: στοιχεῖα καὶ τοὺς κόσμους καὶ τὰ ἐν αὐτοῖς πάντα non recte coniecit Roeper || 2 μήτε post μηδὲν addidi ex Cedr. || γενέσθαι Cedr. || μηδὲ B || ἑστάναι Cedr. || 3 εἴη libri: ἦν Cedr. || ἀτόμους δὲ λέγουσι τὸ λεπτομερέστερον καὶ μεθ' ὧν Cedr.: τὰς δ. ἀ. τὸ λεπτομερέστατον καὶ μεθ' οὗ libri: corr. Usener. ἐφ' οὗ vel καθ' οὗ ceteris servatis Roeper || 7 αὐτοματισμῷ Cedr.: αὐτοματισμὸν T: κατὰ αὐτοματισμὸν C vulgo || καθεῖσθαι B oblitteratum || 8 καλούμενον BT: καλουμένου C: corr. Gronovius || 10 ἔν τε L || οὔτε αὐτὸν πρᾶγμα ἔχειν οὔτε ἄλλῳ T: οὔτε αὐτὸς βούλεται πράγματα ἔχειν οὔτε ἄλλῳ Cedr.: μήτε αὐτὸν πράγματα ἔχειν μήτε ἄλλοις C vulgo, sed cf. Epicuri verba (Diog. X 139) τὸ μακάριον καὶ ἄφθαρτον οὔτ' αὐτὸ πράγματ' ἔχει οὔτ' ἄλλῳ παρέχει || 11 ᾧ T: οἷς C sed cf. v. 17 || τῶν om. B || 12 τέλος αὐτοῖς εἶναι T || 13 κατὰ ἔθνη τὰς ἐπιθυμίας libri: τὴν κατὰ τὰς θνητὰς ἐπιθυμίας e Cedr. correxi. antea κατ' αἴσθησιν Roeper, κατενόησαν Gottingenses tentaverant || 15 γεννᾶσθαι T || αἷμα Cedr. et libri: manifestus Hippolyti error. ἄθροισμα rescripturo (cf. Epicur. ap Diog. X 65 διαλυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχὴ διασπείρεται) vel σῶμα obstat τραπέντος v. 16 || 17 ὧν ὅπ libri: corr. Roeper || 19 καὶ ὁ B || 20 Cedr. ante c. 23 inserit caput de Sextis et Pyrrhonibus nugarum plenum || ἀκαδαμαϊκὴ B || 22 πυρρώνιοι libri || ἐπεκλήθησαν Cedr. || ἁπάντων Cedr. libri: πάντων B || 24 οὔτε νοητὸν οὔτε αἰσθητὸν ἀληθές Cedr.

ἐᾶν. οἱ δὲ τὸ ⟨οὐ⟩ μᾶλλον προσέθεσαν λέγοντες οὐ μᾶλλον τὸ πῦρ πῦρ εἶναι ἢ ἄλλο τι. οὐ μέντοι ἀπεφήναντο αὐτὸ ⟨τὸ⟩ τί ἐστιν, ἀλλὰ τὸ τοιόνδε.

24 Ἔστι δὲ καὶ παρὰ Ἰνδοῖς αἵρεσις φιλοσοφουμένων ἐν τοῖς Βραχμάναις, οἳ βίον μὲν αὐτάρκη προβάλλονται, ἐμψύχων δὲ καὶ τῶν διὰ πυρὸς βρωμάτων πάντων ἀπέχονται, ἀκροδρύοις ἀρκούμενοι μηδὲ αὐτὰ ταῦτα τρυγῶντες, ἀλλὰ τὰ πίπτοντα εἰς τὴν γῆν βαστάζοντες ζῶσιν, ὕδωρ ποταμοῦ † Ταγαβενὰ πίνοντες. διαβιοῦσι δὲ γυμνοί, τὸ σῶμα ἔνδυμα 2 τῇ ψυχῇ ὑπὸ τοῦ θεοῦ γεγονέναι λέγοντες. οὗτοι τὸν θεὸν φῶς εἶναι λέγουσιν οὐχ ὁποῖόν τις ὁρᾷ οὐδ' οἷον ἥλιος καὶ πῦρ, ἀλλ' ἔστιν αὐτοῖς ὁ θεὸς λόγος, οὐχ ὁ ἔναρθρος, ἀλλὰ ὁ τῆς γνώσεως, δι' οὗ τὰ κρυπτὰ τῆς φύσεως μυστήρια ὁρᾶται σοφοῖς. τοῦτο δὲ τὸ φῶς, ὅ φασι λόγον [τὸν θεόν], αὐτοὺς μόνους εἰδέναι Βραχμᾶνες λέγουσι διὰ τὸ ἀπορρῖψαι μόνους τὴν κενοδοξίαν, ὃς ἐστι χιτὼν τῆς ψυχῆς ἔσχατος. οὗτοι θανάτου 3 καταφρονοῦσιν· ἀεὶ δὲ ἰδίᾳ φωνῇ θεὸν δοξάζουσι, καθὼς προείπομεν. ὕμνους τε ἀναπέμπουσιν. οὔτε δὲ γυναῖκες παρ' αὐτοῖς οὔτε τέκνα εἰσίν. οἱ 4 δὲ τοῦ ὁμοίου αὐτοῖς βίου ὁρεχθέντες ἐκ τῆς ἀντιπέραν χώρας τοῦ ποταμοῦ διαπεράσαντες ἐκεῖσε ἐναπομένουσιν, ἀναστρέφοντες μηκέτι· καὶ αὐτοὶ δὲ Βραχμᾶνες καλοῦνται. βίον δὲ οὐχ ὁμοίως διάγουσιν· εἰσὶ γὰρ καὶ γυναῖκες ἐν τῇ χώρᾳ. ἐξ ὧνπερ οἱ ἐκεῖ κατοικοῦντες γεννῶνται καὶ γεννῶσιν. τοῦτον δὲ τὸν λόγον, ὃν θεὸν ὀνομάζουσι, σωματικὸν εἶναι περικείμενόν 5 τε σῶμα ἔξωθεν ἑαυτοῦ, καθάπερ εἴ τις τὸ ἐκ τῶν προβάτων ἔνδυμα φορεῖ, ἀπεκδυσάμενον δὲ τὸ σῶμα, ὃ περίκειται, ὀφθαλμοφανῶς φαίνεσθαι. πόλεμον δὲ εἶναι ἐν τῷ περικειμένῳ αὐτῶν σώματι οἱ Βραχμᾶνες λέγουσι [καὶ πλῆρες εἶναι πολέμων αὐτοῖς τὸ σῶμα νενομίκασι], πρὸς ὃ ὡς πρὸς πολεμίους παρατεταγμένοι μάχονται, καθὼς προδεδηλώκαμεν. πάντας 6 δὲ ἀνθρώπους λέγουσιν αἰχμαλώτους εἶναι τῶν ἰδίων συγγενῶν πολεμίων, γαστρὸς καὶ αἰδοίων λαιμοῦ ὀργῆς χαρᾶς λύπης ἐπιθυμίας καὶ τῶν ὁμοίων· μόνος δὲ πρὸς τὸν θεὸν χωρεῖ ὁ κατὰ τούτων ἐγείρας τρόπαιον.

1 οὐ add. Roeper || λέγοντες τὸ μᾶλλον libri: corr. Roeper || πῦρ πῦρ B (si recte conlatum est): alterum πῦρ om. C quod add. Roeper, potuit etiam τι πῦρ εἶναι || 2 τὸ antl τί add. Roeper cf. Sext. P. H. I 19 sqq. adv. math. VII 197 || 3 φιλοσοφουμένη B: φιλοσοφουμένων C cf. libri titulus Φιλοσοφούμενα || φιλοσοφουμένων τις Βραχμᾶνες coni. Usener || 4 βραχμέναις B || 6 ἐν τῇ γῇ T quam elegantiam ab Hippolyto alienam credo || 7 Γάγγου ἐπιπίνοντες Roeper || 8 οὗτοι Roeper: αὐτοὶ libri || 9 ὁρᾷ ὁ δ' ὁποῖον ἥλιος ἢ πῦρ T || 11 φύσεως T: γνώσεως C || μυστήριον T || τὸν θεὸν ut ex v. 10 inlatum delevi || 12 βραχμάνας B (et C ut videtur): corr. Roeper || 13 ὃ libri: corr. Roeper. ἢ Wolfius || 14 ὀνομάζουσι libri: correxi e Cedr. p. 268, 2 γυμνῶς διαζῶντες ἀεὶ τὸν θεὸν δοξάζουσι (cetera ibi ex Suida descripta sunt) cf. Arr. anab. VII 3: ᾄδουσι δὲ ἰδίᾳ κτλ. Gottingenses. ἀεὶ δὲ ἰδίᾳ φῶς τὸν θεὸν ὀνομάζουσι Roeper || προείπομεν fortasse § 2 respicitur || 15 τέκνα εἰσίν scripsi: τεκνοῦσιν libri || 17 διαπεράσαντες B: διαπερήσαντες C || nonne ἐκεῖ συναπομένουσιν? || 18 βίον vulgo: βίῳ BL || 20 Roeper tentabat: ἀσώματον εἶναι—φορεῖ ⟨ὁρᾶσθαι⟩, ἀπεκδυσάμενον δὲ τὸ σῶμα, ὃ περίκειται, ⟨οὐκέτι⟩ ὀφθαλμοφανῶς φαίνεσθαι. sed deus φῶς est (v. 8), qui cum corpus, quo lucis splendor obscuratur, exuit oculis percipi potest. cf. Bhaga Vedam apud Villoissonem de Stoic. theol. p. 461 || 21 τὸ σῶμα non necessarium videtur || 22 πόλεμον cf. p. 574, 2 || 24 καὶ—νενομίκασι induxit Roeper, qui πολεμίων rescripsit || 28 μόνος γε B

διὸ Δάνδαμιν μέν, πρὸς ὃν Ἀλέξανδρος ὁ Μακεδὼν εἰσῆλθεν, ὡς νενικηκότα τὸν πόλεμον τὸν ἐν τῷ σώματι Βραχμᾶνες θεολογοῦσι· Καλλάνου δὲ καταφέρονται ὡς ἀσεβῶς ἀποστατήσαντος τῆς κατ' αὐτοὺς φιλοσοφίας. ἀποθέμενοι δὲ Βραχμᾶνες τὸ σῶμα ὥσπερ ἐξ ὕδατος ἰχθύες ἀνακύψαντες εἰς ἀέρα καθαρὸν ὁρῶσι τὸν ἥλιον.

25 Δρυίδαι οἱ ἐν Κελτοῖς τῇ Πυθαγορείῳ φιλοσοφίᾳ κατ' ἄκρον ἐγκύψαντες, αἰτίου αὐτοῖς γενομένου ταύτης τῆς ἀσκήσεως Ζαμόλξιδος δούλου Πυθαγόρου, γένει Θρᾳκός· ὃς μετὰ τὴν Πυθαγόρου τελευτὴν ἐκεῖ χωρήσας
2 αἴτιος τούτοις ταύτης τῆς φιλοσοφίας ἐγένετο. τούτους Κελτοὶ ὡς προφήτας καὶ προγνωστικοὺς δοξάζουσιν διὰ τὸ ἐκ ψήφων καὶ ἀριθμῶν Πυθαγορικῇ τέχνῃ προαγορεύειν αὐτοῖς τινα, ἧς καὶ αὐτῆς τέχνης τὰς ἐφόδους οὐ σιωπήσομεν, ἐπεὶ καὶ ἐκ τούτων τινὲς αἱρέσεις παρεισάγειν ἐτόλμησαν. χρῶνται δὲ Δρυίδαι καὶ μαγείαις.

26 Ἡσίοδος δὲ ὁ ποιητὴς καὶ αὐτὸς περὶ φύσεως οὕτω λέγει ἀκηκοέναι παρὰ Μουσῶν. Διὸς δὲ εἶναι τὰς Μούσας θυγατέρας. ἐννέα γὰρ νύκτας ὁμοῦ καὶ ἡμέρας δι' ὑπερβολὴν ἐπιθυμίας ἀδιαλείπτως συνευνηθέντος τῇ Μνημοσύνῃ τοῦ Διός, ἐννέα ταύτας τὴν Μνημοσύνην συλλαβεῖν ἐν μιᾷ
2 γαστρί, ἐφ' ἑκάστης νυκτὸς ὑποδεξαμένην μίαν. καλέσας οὖν τὰς ἐννέα Μούσας ἀπὸ τῆς Πιερίας, τοῦτ' ἔστιν ἀπὸ τοῦ Ὀλύμπου, διδαχθῆναι παρεκάλει.

108 . . . . . ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος οἶδμά τε πόντου
110 ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν.
112 ὡς στέφανον δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι Μοῦσαι, φησίν, ἔσπετε . . .
115 ἐξ ἀρχῆς, καὶ ἔπειθ' ὅ τι περ πρῶτον γένετ' αὐτῶν.
ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ

---

1 διὸ δάνδαμιν BC: ὃς δάμιν T || νενικηκότα ex νενηκηκότα corr. B || 2 καλάνου libri, sed cf. Usener ad Comm. Luc. p. 104, 19 || 3 ἀσεβοῦς T || ἀποστήσαντος BO || 4 ἐξ ὕδατος om. T || 6 περὶ δρυίδων τῶν ἐν Κελτοῖς superscribit B || 7 τῆς αἱρέσεως malim || 8 ζαμέτριδος B: ζαμάλξιδος L || Θρᾳκός Gottingenses: θρακίου libri || 9 γεγένηται T || καίτοι ὡς B || 11 αὐτοῖς C: αὐτοὺς O quod praeferebat Roeper || 12 οὐ σιωπήσομεν scilicet IV 51 p. 124 Gott. || 13 μαγείαις B: μαγίαις C || 16 ἀδιαλείπτως T: om. C || 19 ὑποδεξαμένης libri: corr. Wolfius || 22 Hesiod. theog. 108 εἴπατε δ' ὡς τὰ πρῶτα κτλ. — 139. || 23 ἀπείρητος B || οἴδματι θύων Hesiodi edd. || 24 λεπτόεντα BT: λεπτέοντα O: λεπτήεντα L: corr. ex Hesiodo || post hunc versum omittitur Hesiodi οἵτ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων || 25 ὡς τ' ἄφενος Hesiodus || δάσαντο libri || 26 ἔσπετε vulgo. versus Hesiodi sunt ταῦτά μοι ἔσπετε μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι | ἐξ ἀρχῆς καὶ εἰπαθ' ὅτι πρῶτον γένετ' αὐτῶν. cum antiquitus dubitaretur (cf. schol. ταῦτα δύο ἔπη ὁ Σέλευκος ἀθετεῖ, οἱ δὲ περὶ Ἀρίσταρχον τὸ 'ἐξ ἀρχῆς' μόνον λέγουσιν [sc. ἀθετεῖσθαι]) nihil mutavi || 28 ἔπειτα libri || 29 μὲν γὰρ BL quod fortasse reliquum est ex altera recensione μὲν γὰρ πρῶτα χάος κτλ. quam sequitur Sextus P. H. III 121 || χέος B || 30 γαῖα BL

ἀθανάτων, οἳ ἔχουσι κάρηνα νιφόεντος Ὀλύμπου,
Τάρταρά τ' ἠνεμόεντα μυχῷ χθονὸς εὐρυοδείης
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι
λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
δαμνᾶ τ' ἐν στήθεσφι νόον καὶ ἐπίφρονα βουλήν.
ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο.
Γαῖα δέ τοι πρώτη μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόεντ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
γείνατο δ' οὔρεα μακρὰ θεὰ χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσι κατ' οὔρεα βησσήεντα.
ἡ δὲ καὶ ἀτρύγετον Πέλαγος τέκεν οἰδματι θῦον
Πόντον ἄτερ φιλότητος ἐφιμέρου, αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην
Κοιόν τε Κρεῖόν θ' Ὑπερίονά τ' Ἰάπετόν τε
Θείαν τε Ῥεῖάν τε Θέμιν τε Μνημοσύνην τε
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν·
τοὺς δὲ μεθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων, θαλερὸν δ' ἤχθηρε τοκῆα.
γείνατο δ' αὖ Κύκλωπας, ὑπέρβιον ἦτορ ἔχοντας.

καὶ τοὺς ἄλλους πάντας ἀπὸ τοῦ Κρόνου καταριθμεῖ Γίγαντας, ὕστερον δέ που ἐκ τῆς Ῥέας γεγονέναι τὸν Δία.

Οὗτοι μὲν οὖν πάντες περὶ τῆς τοῦ παντὸς φύσεώς τε καὶ γενέσεως ταῦτα, καθὼς ἐξεθέμεθα ⟨ἀκολούθως⟩ τῇ αὐτῶν δόξῃ, ἐξεῖπον. οἱ δὲ πάντες κάτω τοῦ θείου χωρήσαντες περὶ τὴν τῶν γενομένων οὐσίαν ἠσχολήθησαν

1 κάρη Hesiodus || νιφόεντος sic libri || 2 ἠερόεντα Hesiodus || εὐρυοδίης L: εὐρωδίης BOT || 3 ἔρως BL || ὡς B || 5 δαμνᾶτε BLT cf. Hesiodi cod. O [Vat. 915]: δαμνᾶ τ' Salvinius et G. Hermann. δάμναται vulgo. δαμνὰς Schoemann, Flach || στήθεσσι Hesiodus || 6 ἐγένετο L: ἐγίνετο B || v. 125 οὓς τέκε κυσσαμένη Ἐρέβει φιλότητι μιγεῖσα omiserunt etiam alii || 8 πρώτη μὲν O: πρῶτα μὲν BL: πρῶτον μὲν Hesiodi codd., πρώτιστον schol. ad Pind. Nem. VI 1 || ἐγίνατο B || 9 ἀστερόεντ' ἵνα μιν Hesiodus: ἀστερόεντα δύναμιν libri || καλύπτειν libri || 10 ὄφρ' εἴη Hesiodus: ὄφρ' ἔνι B: ὄφρα ἔῃ C || μακάρεσι B || 11 θεῶν Hesiodus: ὅσα libri sub qua lectione latere θεὰ i. e. Γαῖα perspexit Usener. hac scilicet coniectura (feliciore sane ea quam G. Hermann temptaverat θεᾶν) versum subditicium 130 tolerabilem reddebant veteres grammatici || 12 νυμφαίων BC: νυμφάων L ut Hesiodi codd. nonnulli || νέουσι B || βησήεντα B || 13 ἠδὲ libri || ἀτούγετοι B || θύων BT ut Hesiodi cod. O || 15 οὖν ὧ εὐνηθήσα B || 16 ὑπερήον' ἐτ' ἰάπετόντε B: ὑπερήονα L quoque || 17 θία τ' ἐρείαν LT: θεά τε ἐρείαν B || 18 τε om. libri || τηθήν B || 19 μεθ' ὁπλότατος Hesiodus: μεθ' ὑκρότατος libri, unde vulgo μετ' ἀκρότατος efficiunt || Κρόνος om. sed ad marg. add. B || ἀγκυλομήτης libri || 21 γίνατο B || ἦτον B || 21 Γίγαντες confusi cum Titanibus cf. Lobecki Aglaophamus p. 463, 9 || 23 ῥῆας B || 24—29 excerpsit Cedr. p. 284, 6—13. sed et huius et librorum discrepantiam adscribere supersedeo

τὰ μεγέθη τῆς κτίσεως καταπλαγέντες καὶ αὐτὰ τὸ θεῖον εἶναι νομίσαντες, ἕτερος ἕτερον μέρος τῆς κτίσεως προκρίναντες, τὸν δὲ θεὸν τούτων καὶ δημιουργὸν μὴ ἐπιγνόντες.

Τὰς μὲν οὖν τῶν καθ' Ἕλληνας φιλοσοφεῖν ἐπιχειρηκότων δόξας ἱκανῶς ἐκτεθεῖσθαι νομίζω, παρ' ὧν τὰς ἀφορμὰς λαβόντες οἱ αἱρετικοὶ τὰ μετ' οὐ πολὺ ῥηθησόμενα ἐπεχείρησαν. δοκεῖ δὲ πρότερον ἐκθεμένους τὰ μυστικὰ καὶ ὅσα περιέργως περὶ ἄστρα τινὲς ἢ μεγέθη ἐφαντάσθησαν, εἰπεῖν· καὶ γὰρ ἐξ αὐτῶν λαβόντες ἀφορμὰς τερατολογεῖν νομίζονται ⟨τοῖς⟩ πολλοῖς· ἔπειτα ἀκολούθως τὰ ὑπ' αὐτῶν (?) ἀδρανῆ δόγματα φανερώσομεν.

ΠΛΟΥΤΑΡΧΟΥ ΣΤΡΩΜΑΤΕΩΝ

ΑΠΟΣΠΑΣΜΑΤΙΩΝ

EUSEBII CODICUM SIGLA

A	Parisinus 451 s. X [a. 914 scriptus]	
B	Paris. 465 s. XIII exeuntis [nam librarius Longinus subscriptus est, qui idem Parisinum 443 anno 1272 exaravit, quam notitiam cum Brunsio Carolus Graux benigne communicavit]	ab I. Brunsio in meum usum denuo accuratissime conlati, ut de codicum cognatione certius iudicari possit
C	Paris. 466 s. XIV exeuntis [s. XV mihi videbatur]	
D	Paris. 467 recens	
E	Paris. 468 recens	
F	Laurent. VI 6 s. XV	ex Gaisfordii apparatu
G	Laurent. VI 9 s. XIV [a. 1344 scriptus]	
H	Marc. 343 s. XI e Dindorfii specimine [Praef. p. VIsqq.]	

Digitized by Google

ΕΚ ΤΩΝ ΠΛΟΥΤΑΡΧΟΥ ΣΤΡΩΜΑΤΕΩΝ

Euseb. P. E. I 7 16 τούτῳ δ' ἂν εὕροις συμφώνους καὶ τοὺς πλείστους τῶν παρ' Ἕλλησι φιλοσόφων, ὧν ἐγώ σοι τὰς περὶ ἀρχῶν δόξας καὶ τὰς πρὸς ἀλλήλους διαστάσεις καὶ διαφωνίας ἐκ στοχασμῶν, ἀλλ' οὐκ ἀπὸ καταλήψεως ὁρμηθείσας ἀπὸ τῶν Πλουτάρχου Στρωματέων ἐπὶ τοῦ παρόντος ἐκθήσομαι.

1 Θάλητα πρῶτον πάντων φασὶν ἀρχὴν τῶν ὅλων ὑποστήσασθαι τὸ ὕδωρ. ἐξ αὐτοῦ γὰρ εἶναι τὰ πάντα καὶ εἰς αὐτὸ χωρεῖν.

2 Μεθ' ὃν Ἀναξίμανδρον Θάλητος ἑταῖρον γενόμενον τὸ ἄπειρον φάναι τὴν πᾶσαν αἰτίαν ἔχειν τῆς τοῦ παντὸς γενέσεώς τε καὶ φθορᾶς, ἐξ οὗ δή φησι τούς τε οὐρανοὺς ἀποκεκρίσθαι καὶ καθόλου τοὺς ἅπαντας ἀπείρους ὄντας κόσμους. ἀπεφήνατο δὲ τὴν φθορὰν γίνεσθαι καὶ πολὺ πρότερον τὴν γένεσιν ἐξ ἀπείρου αἰῶνος ἀνακυκλουμένων πάντων αὐτῶν. ὑπάρχειν δέ φησι τῷ μὲν σχήματι τὴν γῆν κυλινδροειδῆ, ἔχειν δὲ τοσοῦτον βάθος, ὅσον ἂν εἴη τρίτον πρὸς τὸ πλάτος. φησὶ δὲ τὸ ἐκ τοῦ ἀιδίου γόνιμον θερμοῦ τε καὶ ψυχροῦ κατὰ τὴν γένεσιν τοῦδε τοῦ κόσμου ἀποκριθῆναι καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφυῆναι τῷ περὶ τὴν γῆν ἀέρι ὡς τῷ δένδρῳ φλοιόν. ἥστινος ἀπορραγείσης καὶ εἰς τινας ἀποκλεισθείσης κύκλους ὑποστῆναι τόν τε ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας. ἔτι φησίν, ὅτι κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζῴων ὁ ἄνθρωπος ἐγεννήθη ἐκ τοῦ τὰ μὲν ἄλλα δι' ἑαυτῶν ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρωπον πολυχρονίου δεῖσθαι τιθηνήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἂν ποτε τοιοῦτον ὄντα διασωθῆναι. ταῦτα μὲν οὖν ὁ Ἀναξίμανδρος.

3 Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μὲν μεγέθει ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον· γεννᾶσθαί τε πάντα κατά τινα πύκνωσιν τούτου καὶ πάλιν ἀραίωσιν. τὴν γε

2 ὧν ἐγὼ in litura A || 3 καὶ post διαστάσεις om. E || διαφορὰς ἐκ B || ἀλλ' οὐκ ἀπὸ καταλήψεως om. B || 4 στρωματέον D || 5 πλουτάρχου in m. C || θάλητος in m. A || φασὶ C || 7 αναξιμανδρου in m. A. de § 2 cf. Prol. p. 133 || ἕτερον pr. A || . . λητος ιι litteris deletis B || 9 δή om. D || φασὶ A || τούς (ante τε) ex τὸ alt. m. corr. A || 10 δὲ τὴν, sed è τ in litura ab alt. m. script. A || 13 τρίτον om. CFG || πρὸς τὸ fort. ex πρὸ ὃ corr. A || δὲ τοῦ ἐκ τοῦ C. fortasse δέ τι ἐκ τοῦ || γόνυμον C. γονίμου θερμόν τε καὶ ψυχρὸν coni. Mullach F. Ph. G. I 238 (12) || 15 περιφῦναι Vigerus et Wyttenbach || ὡς sed ς altera m. scr. A || 16 ἥστινος vulgo: ἧς A || εἴς τινος D || τινας sed τ in lit. A || 17 ὅτι super versum pr. [?] manu A || κατ' ἀρχὰς om. A margini nota ÷ adposita: κατ' ἀρχὰς testantur H ceteri, sed ἔτι φησὶ, ὅτι κατ' ἀρχὰς in lit. C || 18 ἐγενήθη E || τοῦ sed ο in lit. A || δι' αὐτῶν A || 19 δὲ τὸν sed è τ in litura manu alt. A || 21 αναξιμένους in mrg. A. de § 3 cf. Prol. p. 135 sq. || 22 τῷ μὲν γένει libri: corr. Zeller coni. Simpl. in phys. f. 5v 45 καὶ πρὸς Ἀναξίμανδρον καὶ Ἀναξιμένην ἁρμόζει ἓν μέν, ἄπειρον δὲ τῷ μεγέθει τὸ στοιχεῖον ὑποτιθεμένους || 23 γεννᾶσθαι δὲ E: γεννᾶσθαι περὶ F

μὴν κίνησιν ἐξ αἰῶνος ὑπάρχειν· πιλουμένου δὲ τοῦ ἀέρος πρώτην γεγενῆσθαι λέγει τὴν γῆν πλατεῖαν μάλα· διὸ καὶ κατὰ λόγον αὐτὴν ἐποχεῖσθαι τῷ ἀέρι· καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὴν ἀρχὴν τῆς γενέσεως ἐκ γῆς ἔχειν. ἀποφαίνεται γοῦν τὸν ἥλιον γῆν, διὰ δὲ τὴν ὀξεῖαν κίνησιν καὶ μάλ' ἱκανῶς θερμότητα [κίνησιν] λαβεῖν.

4 Ξενοφάνης δὲ ὁ Κολοφώνιος ἰδίαν τινὰ ὁδὸν πεπορευμένος καὶ παρηλλαχυῖαν πάντας τοὺς προειρημένους οὔτε γένεσιν οὔτε φθορὰν ἀπολείπει, ἀλλ' εἶναι λέγει τὸ πᾶν ἀεὶ ὅμοιον. εἰ γὰρ γίγνοιτο τοῦτο, φησίν, ἀναγκαῖον πρὸ τούτου μὴ εἶναι· τὸ μὴ ὂν δὲ οὐκ ἂν γένοιτο οὐδ' ἂν τὸ μὴ ὂν ποιήσαι τι οὔτε ὑπὸ τοῦ μὴ ὄντος γένοιτ' ἄν τι. ἀποφαίνεται δὲ καὶ τὰς αἰσθήσεις ψευδεῖς καὶ καθόλου σὺν αὐταῖς καὶ αὐτὸν τὸν λόγον διαβάλλει. ἀποφαίνεται δὲ καὶ τῷ χρόνῳ καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν. φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων πυριδίων ἀθροίζεσθαι. ἀποφαίνεται δὲ καὶ περὶ θεῶν ὡς οὐδεμιᾶς ἡγεμονίας ἐν αὐτοῖς οὔσης· οὐ γὰρ ὅσιον δεσπόζεσθαί τινα τῶν θεῶν· ἐπιδεῖσθαί τε μηδενὸς αὐτῶν μηδένα μηδ' ὅλως· ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου καὶ μὴ κατὰ μέρος. ἀποφαίνεται δὲ καὶ τὴν γῆν ἄπειρον εἶναι καὶ κατὰ πᾶν μέρος μὴ περιέχεσθαι ὑπὸ ἀέρος· γίνεσθαι δὲ ἅπαντα ἐκ γῆς· τὸν δὲ ἥλιόν φησι καὶ τὰ ἄστρα ἐκ τῶν νεφῶν γίνεσθαι.

5 Παρμενίδης δὲ ὁ Ἐλεάτης ὁ ἑταῖρος Ξενοφάνους ἅμα μὲν καὶ τῶν τούτου ὁρῶν ἀντεποιήσατο, ἅμα δὲ καὶ τὴν ἐναντίαν ἐνεχείρησεν στάσιν. ἀίδιον μὲν γὰρ τὸ πᾶν καὶ ἀκίνητον ἀποφαίνεται καὶ κατὰ τὴν τῶν πραγμάτων ἀλήθειαν· εἶναι γὰρ αὐτὸ

μοῦνον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον·

---

1 πιλουμένου libri, etiam H: ἁπλουμένου A || δὲ τοῦ A, sed è τ correcta || πρῶτον F || γενέσθαι BE || 2 λέγειν Gaisford, a quo discrepantes dicit solos DF λέγει exhibere. sed λέγει a Brunsio etiam in AC adnotatur, in BDE silentio confirmatur || μάλα ADH: μᾶλλον BCFG: μᾶλλον E || τῷ ἀέρι sic ABCDEFG: ἀέρι ἀλλ || 3 τὴν .. μήνην B (post τὴν lit.) || 4 ἐκ γῆς ἔχειν BCDE(FG)H: ἔχειν ἐκ γῆς A || δὲ τὴν (è τ in litura) A || 5 ἱκανῶς libri: εἰκότως Toup || θερμότητα (τα deletum) D: θερμοτάτην ceteri cf. λαμπροτάτην p. 581,13. θερμότητος Usener || κίνησιν in mrg. D: delevit Zeller || 6 ξενοφάνους in mrg. A. cf. Prol. p. 140 || 8 post λέγει littera erasa E || πᾶν ἀεὶ ὅμοιον vulgo, etiam H: πᾶν· ἀνόμοιον A: πᾶν· ὅμοιον D || de proximis cf. Prol. p. 111 || 9 πρὸς τούτου D || γένοιτο vulgo H: γένοιτο θῦ (θεοῦ) A || ποιῆσαί τι ABCDE || 12 περὶ θεῶν post δὲ καὶ iteratum ex v. 14, sed circumpunctum B || εἰς τὴν (sed τ in litura) A || 13 φησὶ — 18 ἐκ γῆς om. B || πυρίων libri (υ in litura D): corr. Toup cf. Prol. p. 158[1] || 14 ἡγεμονίας vulgo et H: om. A || post ἐν αὐτοῖς in mrg. ἀρχῆς quo omissum ἡγεμονίας suppleturus erat A || 15 ἐπιδεῖσθαι τὲ μηδὲν αὐτῶν C || 16 ἀκούειν τε καὶ A || καθόλον C | 17 conicio καὶ ⟨τὸ⟩ κάτω πᾶν μ. cf. Aët. III 9 4 11 2. μὴ post καὶ transposuerunt Brandis Karsten || 18 ἐκ τῆς γῆς C || φασὶ CFG || 20 παρμενίδου in mrg. A: παρμενίδους in mrg. C. de § 5 cf. Prol. p. 141 || ὁ ἑταῖρος DE: ἑταῖρος ABC ceteri || 21 ἐνεχείρησεν (ut p. 581, 5 διηπόρησεν, 9 ἐστιν) A: ἐνεχείρησε DH: ἐνεχείρισε CFG: ἐνεχειρίσατο E || 22 ἀποφαίνεται (sed οφαίνεται in litura sec. m.) A ceteri: ἀποφαίνεσθαι E || ἀκίνητον ABE: ἀτεκίνητον CDFG || καὶ ante κατὰ delerim || 23 γὰρ αὐτὸ in lit. sec. m. A || 24 μόνον (sed μον in lit. m. sec.) A et E || μονογενές CEFG: μουνογενογενὲς D || ἀγέ.νητον B: ἀγέννητον D

γένεσιν δὲ τῶν καθ' ὑπόληψιν ψευδῆ δοκούντων εἶναι, καὶ τὰς αἰσθήσεις ἐκβάλλει ἐκ τῆς ἀληθείας. φησὶ δέ, ὅτι εἴ τι παρὰ τὸ ὂν ὑπάρχει, τοῦτο οὐκ ἔστιν ὄν· τὸ δὲ μὴ ὂν ἐν τοῖς ὅλοις οὐκ ἔστιν. οὕτως οὖν τὸ ὂν ἀγένητον ἀπολείπει· λέγει δὲ τὴν γῆν τοῦ πυκνοῦ καταρρυέντος ἀέρος γεγονέναι.

6 Ζήνων δὲ ὁ Ἐλεάτης ἴδιον μὲν οὐδὲν ἐξέθετο, διηπόρησεν δὲ περὶ τούτων ἐπὶ πλεῖον.

7 Δημόκριτος ὁ Ἀβδηρίτης ὑπεστήσατο τὸ πᾶν ἄπειρον διὰ τὸ μηδαμῶς ὑπό τινος αὐτὸ δεδημιουργῆσθαι. ἔτι δὲ καὶ ἀμετάβλητον αὐτὸ λέγει. καὶ καθόλου οἷον πᾶν ἐστιν, ῥητῶς ἐκτίθεται· μηδεμίαν ἀρχὴν ἔχειν τὰς αἰτίας τῶν νῦν γιγνομένων, ἄνωθεν δ' ὅλως ἐξ ἀπείρου χρόνου προκατέχεσθαι τῇ ἀνάγκῃ πάνθ' ἁπλῶς τὰ γεγονότα καὶ ἐόντα καὶ ἐσόμενα. ἡλίου δὲ καὶ σελήνης γένεσίν φησιν· κατ' ἰδίαν φέρεσθαι ταῦτα μηδέπω τὸ παράπαν ἔχοντα θερμὴν φύσιν μηδὲ μὴν καθόλου λαμπρότητα, τοὐναντίον δὲ ἐξωμοιωμένην τῇ περὶ τὴν γῆν φύσει. γεγονέναι γὰρ ἑκάτερον τούτων πρότερον ἔτι κατ' ἰδίαν ὑποβολήν τινα κόσμου, ὕστερον δὲ μεγεθοποιουμένου τοῦ περὶ τὸν ἥλιον κύκλου ἐναπολῃφθῆναι ἐν αὐτῷ τὸ πῦρ.

8 Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος τὸν περὶ θεῶν τῦφον πειρᾶται καταστέλλειν. ἀλλὰ καὶ οὐθέν, φησίν, γίγνεται ἐκ τοῦ μὴ ὄντος, ὅτι τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν καὶ ἔσται τοιοῦτον, ὅτι οὐδὲν ξένον ἐν τῷ παντὶ ἀποτελεῖται παρὰ τὸν ἤδη γεγενημένον χρόνον ἄπειρον, ὅτι πᾶν ἐστι σῶμα καὶ οὐ μόνον ἀμετάβλητον, ἀλλὰ καὶ ἄπειρον. ὅτι τέλος τῶν ἀγαθῶν ἡδονή.

9 Ἀρίστιππος ὁ Κυρηναῖος τέλος ἀγαθῶν τὴν ἡδονήν, κακῶν δὲ τὴν

---

1 ὃτι (ὁ in lit.) A || τῶν (sed τ m. sec.) A et E: τὴν D: om. CFG. cf. Theophr. fr. 6 p. 482, 11 κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων || 2 ὅτι om. AH || εἴ τε A || 3 οὕτω om. οὖν E || ρὸν τὸν ἀγένητον AH || ἀγέ.νητον B: ἀγέννητον D || δὲ (ὲ in litura) A || 4 πυκνοῦ καὶ C || 5. 6 om. B || ζηνωνος in mrg. A || δὲ om. E || ἐλάτης (sed m. sec. ε superscr.) A: ἐνέατης C || οὐθὲν ἔθετο C || 6 πλέον Dindorf || 7 δημοκρίτου in mrg. A || ὁ ABCDE(FG): δὲ ὁ H || αὐδηρίτης CD et m. sec. B || 8 αὐτὸ ante ὑπό τινος posuit D || δεδημιουργεῖσθαι E: δεδημιουργῆσθαι (ι ex η corr.) D || ἔτι—ἐκτίθεται om. F || ἀμετάκλητον E || 9 καὶ—ἐκτίθεται om. B || ἐκτίθεσθαι E || 10 γιγνωμένων C || 11 καὶ ἐόντα BCDEFG: om. AH. servavi Democriteam formam cf. ad Theophr. fr. de sens. p. 515, 6. 517, 11 alias || ἡλίου τε CFG || 12 μηδέπω sc. *initio* cf. Zeller I ⁴801 ¹, ubi addas quae contra Leucippum [cf. Prol. p. 143] vel Democritum opinor disputat Epicurus Laertii X 90 || τὰ παρ' ἅπαν H: τοπαράπαν sec. B et E || 13 λαμπροτάτην libri: correxi || ἐξομοιομένην E: ἐξ ὁμοιωμένην D || 14 γεγονέναι AE: γέγονε BCDFG || pro ὑπερβολήν F || ὑποβολήν τινα κόσμου repetit ex v. 12 φέρεσθαι B || 16 ἐναπολῃφθῆναι (η in lit.) A: ἐναπολειφθῆναι BE: ἐν ἀπολειφθῆναι C: ἐναπολειφθῆναι (ει ex η) D || 17 ἐπικούρου νεοκλέους ἀθηναῖος in mrg. A: ἐπικούρου in mrg. C. de §§ 8. 9 cf. Prol. p. 158 || τῦφον m. sec. ex τύφον corr. B: τύφον CD || 18 οὐθέν φησιν A: οὐθέν φησι BE: οὐδέν φησι CD(FG) || γίγνεται A: γίνεται BCDE(FG) || τὸ ante πᾶν om. A || 19 οὐδὲ CD || ἀποτελεῖται ἐν τῷ παντὶ E || 20 γεγενημένων E || 21 ante ἡδονή addiderim ἡ cf. v. 9 Euseb. P. E. XIV 20 13 [Prol. p. 158 ²] || 22 αριστίππου in mrg. A || κακῶν δὲ τὴν (ὲ τ m. sec. in lit.) A

ἀλγηδόνα. τὴν δὲ ἄλλην φυσιολογίαν περιγράφει μόνον ὠφέλιμον εἶναι λέγων τὸ ζητεῖν,

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

10 Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος στοιχεῖα τέσσαρα πῦρ ὕδωρ αἰθέρα γαῖαν. αἰτίαν δὲ τούτων φιλίαν καὶ νεῖκος. ἐκ πρώτης φησὶ τῆς τῶν στοιχείων κράσεως ἀποκριθέντα τὸν ἀέρα περιχυθῆναι κύκλῳ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν καὶ οὐκ ἔχον ἑτέραν χώραν ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου. εἶναι δὲ κύκλῳ περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια, τὸ μὲν καθόλου πυρός, τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρός, ὅπερ οἴεται τὴν νύκτα εἶναι. τὴν δὲ ἀρχὴν τῆς κινήσεως συμβῆναι ἀπὸ τοῦ τετυχηκέναι κατὰ τὸν ἀθροισμὸν ἐπιβρίσαντος τοῦ πυρός. ὁ δὲ ἥλιος τὴν φύσιν οὐκ ἔστι πῦρ, ἀλλὰ τοῦ πυρὸς ἀντανάκλασις ὁμοία τῇ ἀφ' ὕδατος γινομένῃ. σελήνην δέ φησιν συστῆναι καθ' ἑαυτὴν ἐκ τοῦ ἀπολῃφθέντος ἀέρος ὑπὸ τοῦ πυρός· τοῦτον γὰρ παγῆναι καθάπερ καὶ τὴν χάλαζαν· τὸ δὲ φῶς αὐτὴν ἔχειν ἀπὸ τοῦ ἡλίου. τὸ δὲ ἡγεμονικὸν οὔτε ἐν κεφαλῇ οὔτε ἐν θώρακι, ἀλλ' ἐν αἵματι· ὅθεν καθ' ὅ τι ἂν μέρος τοῦ σώματος πλεῖον ἢ παρεσπαρμένον [τὸ ἡγεμονικὸν οἴεται], κατ' ἐκεῖνο προτερεῖν τοὺς ἀνθρώπους.

11 Μητρόδωρος ὁ Χῖος ἀΐδιον εἶναί φησι τὸ πᾶν, ὅτι εἰ ἦν γενητόν, ἐκ τοῦ μὴ ὄντος ἂν ἦν· ἄπειρον δέ, ὅτι ἀΐδιον, οὐ γὰρ ἔχειν ἀρχὴν ὅθεν ἤρξατο οὐδὲ πέρας οὐδὲ τελευτήν· ἀλλ' οὐδὲ κινήσεως μετέχειν τὸ πᾶν. κινεῖσθαι γὰρ ἀδύνατον μὴ μεθιστάμενον· μεθίστασθαι δὲ ἀναγκαῖον ἤτοι εἰς πλῆρες ἢ εἰς κενόν. * * * πυκνούμενον δὲ τὸν ἀέρα ποιεῖν νεφέλας, εἶτα ὕδωρ, ὃ καὶ κατιὸν ἐπὶ τὸν ἥλιον σβεννύναι αὐτόν· καὶ πάλιν ἀραιούμενον ἐξάπτεσθαι. χρόνῳ δὲ πήγνυσθαι τῷ ξηρῷ ἥλιον καὶ ποιεῖν ἐκ τοῦ λαμπροῦ ὕδατος ἀστέρας, νύκτα τε καὶ ἡμέραν ἐκ τῆς σβέσεως καὶ ἐξάψεως καὶ καθόλου τὰς ἐκλείψεις ἀποτελεῖν.

---

1 ὠφέλιμον μόνον H || μόνον ex μόνῳ corr. pr. B || εἶναι om. CFG || 3 ὅττι A: ὅτι BCDE || τἀγαθὸν C || τε om. CDG || τέτακται C || 4 ἐμπεδοκλέους mrg. A || στυχία D || 5 δὲ τούτων (ὲ τ in litura m. sec.) A || 5 νῖκος A || ἐκ ex ἐν m. sec. corr. B || 6 δὲ τον (τ in lit. m. sec.) A || 7 ἑκδρομον AH: ἐκδρα. μ᾽ B || περὶ τὸν ABDE: ὑπὲρ τὸν CFG || 8 κύκλῳ περὶ τὴν γῆν AE: κύκλω περὶ γῆν BCFG: περὶ γῆν κύκλω D || ἡμισσφαίρια B || 10 τῆς m. rec. ex τὴν corr. A || τετυχέναι F || κατὰ ἀθροισμὸν ἐπιβήσαντος F: κατὰ ἀριθμὸν ἐπιβρήσαντος C || 11 τῇ φύσει H: τὴν super φύσιν pr. B || ἔστι τὸ πῦρ H || 13 φησιν A: φησι BDE: om. CFG || καὶ καθ' AH || ἀπολῃφθέντος BFG: ἀπολειφθέντος ACDE at cf. Karsten Emped. p. 432 || 14 αὐτῆς H || ἔχειν AH: σχεῖν ceteri || 15 τὸ λογιστικὸν δὲ mrg. adscripsit A || τῇ κεφαλῇ et τῷ θώρακι CFG || 16 πλεῖον AD: om. BCFGE || ᾖ AD: ᾗ E: ᾖ m. sec. ex ᾖ corr. B: ᾗ C || 16 παρεσπαρμένον ADE: παρεσπασμένον B: παρασπασμένον CDFG || 16 τὸ ἡγεμονικὸν οἴεται induxi. τὸ αἷμα Vigerus || 18 μητροδώρου in mrg. A || εἶναι om. F || 19 pro ὅτι habet ὁ χίος E || εἶχεν A || 20 οὐδὲ τελευτήν (ὲ τ m. sec.) A || κινῆσθαι D || 21 ἀδύνατον (δύνα in lit.) E || 22 πλήρης pr. AH sed corr. sec. A || καινὸν D: καινὸν H || intercidisse quaedam vidit Zeller I⁴ 858⁴ || δὲ τὸν (ὲ τ in lit. sec. m.) A || ἀέρα CFG cf. Aët. III 9 5: αἰθέρα (ἰθέ in litura) A: αἰθέρα BDE || ἐπὶ τὸ ὕδωρ AH || 23 κατιὼν E. κατιὸν non intellego, nisi forte Metrodorum credis solem lunamque sub nubium regione conlocasse. etiam proxima inscite concepta sunt || 24 χρόνω sed τῷ ξηρῷ BE

12 Διογένης ὁ Ἀπολλωνιάτης ἀέρα ὑφίσταται στοιχεῖον· κινεῖσθαι δὲ τὰ πάντα ἀπείρους τε εἶναι τοὺς κόσμους. κοσμοποιεῖ δὲ οὕτως· ὅτι τοῦ παντὸς κινουμένου καὶ ἡ μὲν ἀραιοῦ ἡ δὲ πυκνοῦ γινομένου, ὅπου συνεκύρησεν τὸ πυκνὸν συστροφὴν ποιῆσαι καὶ οὕτως τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον, τὰ ⟨δὲ⟩ κουφότατα τὴν ἄνω τάξιν λαβόντα τὸν ἥλιον ἀποτελέσαι.

1 διογένους τοῦ ἀπολλωνιάτου in mrg. A. de Diogene cf. Prol. p. 144 || ἀπολλωνίτης B || ὑφίστασθαι D: ὑφίστασθαι E || κινήσθαι D || δὲ τὰ (ὲ τ in lit. m. sec.) ABE: τὲ τὰ CFG: τε κατὰ D || 2 κοσμοποιεῖν AH || τοῦ post ὅτι om. E || 3 γινομένου ABE: γενομένου CDFG || συνεκύρησεν A: συνεκύρησε BCE: συνεκήρησε D || 4 συστροφὴν sc. πνευμάτων καὶ νεφελῶν cf. ad p. 555, 5. sed vide ne scribendum sit συστραφὲν γῆν || 5 δὲ addidi || ἄνω (ω in litura) E || λαμβάνοντα H

EPIPHANII VARIA DE GRAECORUM SECTIS EXCERPTA

I

Ἑλλήνων διαφοραί.

Πυθαγόρειοι εἴτ' οὖν Περιπατητικοί. Τὴν μονάδα καὶ τὴν πρόνοιαν καὶ τὸ κωλύειν θύεσθαι τοῖς ὄῆθεν θεοῖς Πυθαγόρας ἐδογμάτισεν, ἐμψύχων τε μὴ μεταλαμβάνειν, ἀπὸ οἴνου δὲ ἐγκρατεύεσθαι. διώριζεν δὲ ἅμα τὰ ἀπὸ σελήνης [καὶ] ἄνω ἀθάνατα λέγων, τὰ δὲ ὑποκάτω θνητά, μεταγγισμούς τε ψυχῶν ἀπὸ σωμάτων εἰς σώματα ἄχρι ζῴων καὶ κνωδάλων. σιωπὴν δὲ ἅμα ἀσκεῖν ἐπὶ χρόνον πέντε ἐτῶν ἐδίδασκε. τὸ τελευταῖον δὲ ἑαυτὸν θεὸν ὠνόμασεν.

Πλατωνικοὶ θεὸν καὶ ὕλην καὶ εἶδος καὶ τὸν κόσμον γενητὸν καὶ φθαρτὸν ὑπάρχειν, τὴν ψυχὴν δὲ ἀγένητον καὶ ἀθάνατον καὶ θείαν. εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν θυμικὸν καὶ ἐπιθυμητικόν. τὰς δὲ γυναῖκας κοινὰς τοῖς πᾶσι γίνεσθαι καὶ μηδένα μίαν ἔχειν γαμετὴν ἰδίαν, ἀλλὰ τοὺς θέλοντας ταῖς βουλομέναις συνεῖναι. μεταγγισμὸν δὲ ὡσαύτως ψυχῶν εἰς σώματα διάφορα ἄχρι κνωδάλων. ὁμοῦ δὲ καὶ θεοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς ἐδογμάτισαν.

Στωικοὶ σῶμα τὸ πᾶν δογματίζοντες καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον θεὸν νομίζοντες. τινὲς δὲ ἐκ τῆς τοῦ πυρὸς οὐσίας τὴν φύσιν ἔχειν αὐτὸν ἀπεφήναντο. καὶ τὸν μὲν θεὸν νοῦν ὁρίζουσι καὶ ὡς ψυχὴν παντὸς τοῦ ὄντος κύτους οὐρανοῦ καὶ γῆς, σῶμα δὲ αὐτοῦ τὸ πᾶν, ὡς ἔφην, καὶ ὀφθαλμοὺς τοὺς φωστῆρας. τὴν δὲ σάρκα πάντων ἀπόλλυσθαι καὶ τὴν ψυχὴν πάντων μεταγγίζεσθαι ἀπὸ σώματος εἰς σῶμα.

Excerpsi ex prooemio ad Acacium et Paulum dato t. I [p. 10]B Pet., I 1 p. 18 Oehleri, I p. 274,30—275,29 Dindorfii. hinc descripsit I. Damasc. d. haer. I p. 77 Lequieni. eadem paulo mutata repetuntur in anacephal. II p. 132B Petav. [II 1 p. 546 Oehler. I p. 234, 4—32 Dind.]. prooem. A, anaceph. B significo, I. Damasc. D || 2 εἴτ' οὖν AB [p. 127B Pet.] cf. Epitome I p. 345 Dind.: ἤγουν B [p. 129B Pet.]: ἤτοι D: ἢ B [p. 132B Pet.]. de Pythagoreorum cum Peripateticis nexu cf. Prol. p. 152 || τὴν post καὶ om. AD || τοῖς ὄῆθεν om. B || 3 Πυθαγόρας omisit et δογματίζοντες B || τε μὴ A: τε om. BD (qui ἢ pro μὴ scribit) || 4 ἀπὸ τοῦ οἴνου om. δὲ D || διώριζον B || ἅμα om. D || τὰ om. B || 5 καὶ ἄνω BD: καὶ τὰ ἄνω A: corr. A. Iahn || λέγων AD: λέγοντες B || 6 σιωπὴν— 7 ἑαυτὸν reddit B sic: σιωπῶν δὲ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἑαυτόν . . . || 7 χρόνῳ D || ὠνόμαζεν D || 8 δὲ θεὸν B || δὲ post τὴν B sed cf. p. 591, 18 || 10 λογιστικὸν D || θυμικὸν καὶ AD cf. p. 591, 19: καὶ om. B || 11 δεῖν post πᾶσι addidit G. Dindorf ex p. 591, 20 || μίαν om. D: ἰδίᾳ μίαν ἔχειν γαμετὴν variavit infra p. 591,21 || ἀλλ' αὐτοὺς θέλοντας B || 12 εἰς σώματα διάφορα A: εἰς σώματα D: εἰς σωμάτων διαφορὰς B || 13 ὁμοίως δὲ B || πολλοὺς ἐκ τοῦ ἑνὸς D || post πολλοὺς add. καὶ αὐτοὶ B || ἐδογμάτισε A || 15 τὸν post τοῦτον om. D || 16 δὲ om. B || τὴν φύσιν αὐτῶν ὁρίζουσι B || 17 νοῦν δογματίζουσι B || ὡς καὶ D || 19 πάντων om. D || de doctrina cf. Hippolyt. I 21 3 p. 571, 18 Prol. p. 175, ubi Posidonii non memor eram, qui animas non nasci, sed divinitus in corpora tamquam hospites insinuari voluit cf. Lactant. Inst. III 18 Senec. ep. 120 14. 15. 18 [v. Corssen de Posidonio Ciceronis in I Tusc. et Somn. Scip. auctore Bonn 1878 p. 25. 30 sq.] Galen. H. ph. 24 p. 256. hinc fortasse ut apud Lactantium Pythagoreorum Stoicorumque confusio || μεταγγίζεσθαι et μεταγγισμὸν v. 12. 588, 8. 22 cf. Prol. p. 175, 28 || 20 σωμάτων εἰς σώματα D

Ἐπικούρειοι ἄτομα καὶ ἀμερῆ σώματα ὁμοιομερῆ τε καὶ ἄπειρα τὴν ἀρχὴν εἶναι τῶν πάντων ὑπεστήσαντο, καὶ τέλος εἶναι εὐδαιμονίας τὴν ἡδονὴν ἐδογμάτισαν, καὶ μήτε θεὸν μήτε πρόνοιαν τὰ πράγματα διοικεῖν.

II

I 1 p. 45—50 Oehl. I p. 291, 13—295, 9 Dind.

I p. 12 A Pet. 5 Καὶ Στωικοὶ μὲν φρονοῦσι περὶ θεότητος τοῦτο φάσκοντες εἶναι νοῦν τὸν θεὸν καὶ παντὸς τοῦ ὁρωμένου κύτους οὐρανοῦ τέ φημι καὶ γῆς καὶ τῶν ἄλλων ὡς ἐν σώματι ψυχήν. μερίζουσι δὲ οἱ αὐτοὶ τὴν μίαν θεότητα εἰς
B πολλὰς μερικὰς οὐσίας εἰς ἥλιον καὶ σελήνην καὶ ἄστρα εἰς ψυχὴν καὶ ἀέρα καὶ τὰ ἄλλα, μεταγγισμούς τε ψυχῶν καὶ μετενσωματώσεις ἀπὸ σώματος εἰς σῶμα ⟨καὶ⟩ καθαιρομένας σωμάτων ἡδ' αὖ πάλιν εἰσδυούσας καὶ ἀνάπαλιν γεννωμένας. διὰ πολλῆς αὐτῶν πλάνης ταύτην τὴν ἀσέβειαν παρυφαίνουσι, μέρος δὲ θεοῦ καὶ ἀθάνατον τὴν ψυχὴν ἡγοῦνται. ἔσχον δὲ Ζήνωνα ἀρχηγὸν τῆς Στοᾶς, περὶ οὗ πολὺς θρυλεῖται λόγος. οἱ μὲν γὰρ αὐτὸν ἔφασαν Κλεάνθους τινὸς τοῦ ἀπὸ Τύρου ὁρμωμένου, ἄλλοι δὲ φάσκουσιν αὐτὸν Κιτιέα
C τῆς Κύπρου νησιώτην, ἐν Ῥώμῃ δὲ βεβιωκέναι χρόνον, ὕστερον δὲ ἐν Ἀθήναις προστησάμενον τοῦτο τὸ δόγμα ἐν τῇ Στοᾷ οὕτω καλουμένῃ. τινὲς δέ φασι δύο Ζήνωνας εἶναι τόν τε Ἐλεάτην καὶ τὸν προειρημένον. ὅμως οἱ ἀμφότεροι ἴσως ἐδογμάτισαν, εἰ καὶ δύο εἶεν. φάσκει οὖν καὶ οὗτος τὴν ὕλην σύγχρονον καλῶν τῷ θεῷ ἴσα ταῖς ἄλλαις αἱρέσεσιν εἱμαρμένην τε εἶναι καὶ γένεσιν, ἐξ ἧς τὰ πάντα διοικεῖται καὶ πάσχει.

p. 14 A Pet. 6 Ἀλλὰ ταῦτα πρὸς Ζήνωνα καὶ τοὺς Στωικούς μοι λελέχθω. Πλάτων δὲ ἅμα καὶ αὐτὸς μετὰ τῶν αὐτῶν φερόμενος τῇ μετενσωματώσει καὶ μεταγγισμῷ τῶν ψυχῶν καὶ πολυθείαις καὶ ταῖς ἄλλαις εἰδωλολατρίαις καὶ δεισιδαιμονίαις οὐ τῇ ὕλῃ πάντῃ ἴσως κατὰ Ζήνωνα καὶ τοὺς Στωικοὺς
B ἐφρόνησεν. οἶδε γὰρ αὐτὸς θεόν, τὰ δὲ γεγενήμενα πάντα ἐκ τοῦ ὄντος θεοῦ γεγενῆσθαι. εἶναι δὲ πρῶτον αἴτιον καὶ δεύτερον καὶ τρίτον· καὶ τὸ μὲν πρῶτον αἴτιον θεόν, τὸ δὲ δεύτερον αἴτιον ἐκ θεοῦ γεγενῆσθαί τινας δυνάμεις, δι' αὐτοῦ δὲ καὶ τῶν δυνάμεων γεγενῆσθαι τὴν ὕλην. φάσκει γὰρ οὕτως· οὐρανὸς ἅμα χρόνῳ γεγένηται, ὁμοῦ ἄρα καὶ λυθήσεται τὰ πρότερα ἑαυτοῦ τὰ περὶ ὕλης ἀνασκευάσας. εἶπε γάρ ποτε καὶ σύγχρονον εἶναι τῷ θεῷ τὴν ὕλην.

C 7 Πρὸ δὲ τούτου Πυθαγόρας καὶ οἱ Περιπατητικὴν ἐπαγγελλόμενοι χαρακτηρίζουσιν ἕνα θεόν, φιλοσοφίαις δὲ ἄλλαις καὶ τοῖς φιλοσοφουμένοις

---

1 ἄτομά τε D || καὶ post σώματα add. B || τε om. D || 2 εἶναι om. B || τῶν πάντων om. D || εὐδαίμονα B || 3 τὰ πάντα B || 5 καὶ παντὸς Dindorf cf. p. 587, 17: ἢ παντὸς vulgo || 6 ψυχή libri: corr. Oehler || 7 num ἄστρα καί? || 9 καὶ addidit Oehler || ἡδ' αὖ tuetur Dindorf I p. 405 cf. p. 589, 8 || 12 Κλεάνθου libri. de his nugis cf. Prol. p. 175 || 15 τοῦτο V(enetus): τουτὶ vulgo || 16 ὅμως vulgo: ὁμοίως V || 17 ἴσως V cf. d. 590, 20 Prol. p. 175: οὕτως vulgo || 18 καλεῖν vulgo: corr. Oehler || 21 μετὰ τῶν V: κατὰ τῶν vulgo || 24 γεγενημένα V: γενόμενα vulgo || ὄντως Epit. p. 346, 8 Dind. || 25 ante εἶναι iterant ex v. 26 τινας δυνάμεις vulgo: om. V || de causis cf. Prol. p. 175 || 28 ὁμοῦ γὰρ libri: corr. A. Iahn || 29 σύγχρονον cf. Hippol. 19 4 p. 567, 18 || περιπατητικοὶ et χαρακτηρίζειν vulgo: recte V, ut videtur, sed proxima non praestiterim

προσανέχουσι. τὰ ἴσα μὲν τούτοις πάλιν τὰ τῆς ἀθεμίτου γνώμης καὶ ἀσεβεστάτης, τῶν ψυχῶν ἀπαθανατισμούς τε καὶ μετενσωματώσεις καὶ σωμάτων φθοράς, αὐτός τε καὶ οἱ σὺν αὐτῷ ἀγορεύουσιν. οὗτος δὲ τέλος ἐν τῇ Μηδίᾳ D τὸν βίον καταστρέφει, σῶμα δὲ λέγει εἶναι τὸν θεὸν τοῦτ' ἔστιν οὐρανόν, ὀφθαλμοὺς δὲ αὐτοῦ καὶ τὰ ἄλλα ὥσπερ ἐν ἀνθρώπῳ ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα καὶ τὰ κατ' οὐρανὸν στοιχεῖα.

8 Ἐπίκουρος δὲ καθεξῆς μετὰ τούτους ἀπρονοησίαν τῷ κόσμῳ εἰσηγήσατο· ἐξ ἀτόμων δὲ συνεστάναι τὰ πάντα ἠδ' αὖ πάλιν εἰς ἄτομα χωρεῖν καὶ ἐξ αὐτοματισμοῦ | εἶναι τὰ ὅλα καὶ τὸν κόσμον ὑφεστάναι ἀεὶ γεννώσης p. 15 A Pet.
τῆς φύσεως ἠδ' αὖ πάλιν δαπανωμένης καὶ ἐξ αὐτῆς πάλιν ἐπιγινομένης, μηδέποτε δὲ ληγούσης ἀφ' ἑαυτῆς φυομένης καὶ εἰς ἑαυτὴν συντριβομένης. εἶναι δὲ ἐξ ὑπαρχῆς ᾠοῦ δίχην τὸ σύμπαν, τὸ δὲ πνεῦμα ὀρακοντοειδῶς περὶ τὸ ᾠὸν ὡς στέφανον ἢ ὡς ζώνην περισφίγγειν τότε τὴν φύσιν. θελῆσαν δὲ βιασμῷ τινι † καιρῷ περισσοτέρῳ σφίγξαι τὴν πᾶσαν ὕλην εἶτ' οὖν φύσιν τῶν πάντων, οὕτω διχάσαι μὲν τὰ ὄντα εἰς τὰ δύο ἡμισφαίρια καὶ λοιπὸν ἐκ τούτου τὰ ἄτομα διακεκρίσθαι. τὰ μὲν γὰρ κοῦφα καὶ λεπτότερα τῆς πάσης φύσεως ἐπιπολάσαι ἄνω τοῦτ' ἔστι φῶς καὶ αἰθέρα καὶ τὸ λεπτότατον τοῦ πνεύματος, τὰ δὲ βαρύτατα καὶ σκυβαλώδη κάτω νενευκέναι τοῦτ' ἔστι γῆν, ὅπερ ἐστὶ τὸ ξηρὸν καὶ ἡ ὑγρὰ τῶν ὑδάτων οὐσία, τὰ δὲ ὅλα ἀφ' ἑαυτῶν κινεῖσθαι καὶ δι' ἑαυτῶν ἐν τῇ περιδινήσει τοῦ πόλου καὶ τῶν ἄστρων. ὡς ἀπὸ τοῦ ὀρακοντοειδοῦς ἔτι τὰ πάντα ἐλαύνεσθαι πνεύματος.

III

II 1 p. 496 Oehl. III p. 562, 19 Dind.

1 Αὐτὸς γὰρ Θαλῆς ὁ Μιλήσιος εἷς ὢν τῶν ἑπτὰ σοφῶν ἀρχέγονον p. 1086 D Pet.
πάντων ἀπεφήνατο τὸ ὕδωρ· ἐξ ὕδατος γάρ φησι τὰ πάντα εἶναι καὶ εἰς ὕδωρ πάλιν ἀναλύεσθαι.

2 Ἀναξίμανδρος ὁ τοῦ Πραξιάδου καὶ αὐτὸς Μιλήσιος τὸ ἄπειρον ἀρχὴν ἁπάντων ἔφησεν εἶναι· ἐκ τούτου γὰρ τὰ πάντα γίνεσθαι καὶ εἰς αὐτὸ τὰ πάντα ἀναλύεσθαι.

3 Ἀναξιμένης ὁ τοῦ Εὐρυστράτου καὶ αὐτὸς Μιλήσιος τὸν ἀέρα τοῦ παντὸς ἀρχὴν εἶναι λέγει καὶ ἐκ τούτου τὰ πάντα.

4 Ἀναξαγόρας ὁ τοῦ Ἡγησιβούλου ὁ Κλαζομένιος ἀρχὰς τῶν πάντων τὰς ὁμοιομερείας ἔφησεν εἶναι.

---

3 τέλος V: τέλειος vulgo. τελέως coniecerat Petavius || Μηδίᾳ ex latinis *inedia vitam finiisse* explicavit Oehler cf. Prol. p. 175 || 7 μετὰ τούτους ex V accessit || 12 ὀρακοντοειδῶς cf. v. 21 et Strabo IX 16 p. 424 περὶ τοῦ ποταμοῦ λέγει καὶ τῆς ῥύσεως ὡς ῥέοι — σκολιῶς καὶ ὀρακοντοειδῶς. || 13 περισφίγγειν τότε τὴν φύσιν ne Epiphanium quidem credo scripsisse. num περιὸν σφίγγειν τούτου τὴν φύσιν? || 14 καιρῷ om. Epitome p. 347, 6 Dind.: fortasse καὶ σῷ cf. Arist. de caelo IV 6 p. 313b5 || περισσοτέρῳ Epitome: περισσοτέρως vulgo || 14 ἤτοι τὴν φύσιν πάντων Epitome || 15 τούτων Epit. || 16 λεπτότατα Epit. || 19 ἐφ' ἑαυτῶν Epit. || 20 ὑπὸ Epit. || 28 Εὐρυστράτου ut Stobaei codd. Plac. I 3 4

p. 1087 A Pet. 5 Ἀρχέλαος ὁ Ἀπολλοδώρου, κατὰ δέ τινας Μίλτωνος, Ἀθηναῖος δὲ ἦν φυσικός, ἐκ γῆς τὰ πάντα λέγει γεγενῆσθαι. αὕτη γὰρ ἀρχὴ τῶν ὅλων ἐστίν, ὥς φησι.

6 Σωκράτης † ὁ τοῦ ἑλμάγλου ἢ Σωφρονίσκου καὶ Φαιναρέτης τῆς μαίας ὁ ἠθικὸς τὰ καθ' ἑαυτὸν ἔλεγε μόνον δεῖν περιεργάζεσθαι τὸν ἄνθρωπον, πλείονα δὲ μή.

7 Φερεκύδης καὶ αὐτὸς γῆν φησι πρὸ πάντων γεγενῆσθαι.

8 Πυθαγόρας ὁ Σάμιος Μνησάρχου υἱὸς θεὸν ἔφη εἶναι τὴν μονάδα καὶ δίχα ταύτης μηδὲν γεγενῆσθαι. ἔλεγε δὲ μὴ δεῖν θύειν τοῖς θεοῖς ζῷα
B μηδὲ μὴν ἐσθίειν τι τῶν ἐμψύχων μηδὲ κυάμους μηδὲ οἶνον πίνειν τοὺς σοφούς. ἔλεγε δὲ τὰ ἀπὸ σελήνης κάτω παθητὰ εἶναι πάντα, τὰ δὲ ὑπεράνω τῆς σελήνης ἀπαθῆ εἶναι. ἔλεγε δὲ καὶ μεταβαίνειν τὴν ψυχὴν εἰς πολλὰ ζῷα. ἐκέλευσε δὲ καὶ τοῖς μαθηταῖς αὐτοῦ σιωπᾶν ἐπὶ πενταετῆ χρόνον καὶ τὸ τελευταῖον θεὸν ἑαυτὸν ἐπωνόμασε.

9 Ξενοφάνης ὁ τοῦ Ὀρθομένους Κολοφώνιος ἐκ γῆς καὶ ὕδατος ἔφη τὰ πάντα γίνεσθαι. εἶναι δὲ τὰ πάντα ὡς ἔφη οὐδὲν ἀληθές. οὕτως τὸ
C ἀτρεκὲς ἄδηλον, δόκησις δὲ ἐπὶ πᾶσι τέτυκται μάλιστα τῶν ἀφανέων.

10 Παρμενίδης ὁ τοῦ Πύρητος τὸ γένος Ἐλεάτης καὶ αὐτὸς τὸ ἄπειρον ἔλεγεν ἀρχὴν τῶν πάντων.

11 Ζήνων ὁ Ἐλεάτης ὁ ἐριστικὸς ἴσα τῷ ἑτέρῳ Ζήνωνι καὶ τὴν γῆν ἀκίνητον λέγει καὶ μηδένα τόπον κενὸν εἶναι. καὶ λέγει οὕτως· τὸ κινούμενον ἤτοι ἐν ᾧ ἐστι τόπῳ κινεῖται ἢ ἐν ᾧ οὐκ ἔστι. καὶ οὔτε ἐν ᾧ ἐστι τόπῳ κινεῖται οὔτε ἐν ᾧ οὐκ ἔστιν· οὐκ ἄρα τι κινεῖται.

D 12 Μέλισσος ὁ τοῦ Ἰθαγένους Σάμιος τὸ γένος ἓν τὸ πᾶν ἔφη εἶναι, μηδὲν δὲ βέβαιον ὑπάρχειν τῇ φύσει, ἀλλὰ πάντα εἶναι φθαρτὰ ἐν δυνάμει.

13 Λεύκιππος ὁ Μιλήσιος, κατὰ δέ τινας Ἐλεάτης, καὶ οὗτος ἐριστικός. ἐν ἀπείρῳ καὶ οὗτος τὸ πᾶν ἔφη εἶναι, κατὰ φαντασίαν δὲ καὶ δόκησιν τὰ πάντα γίνεσθαι καὶ μηδὲν κατὰ ἀλήθειαν, ἀλλ' οὕτω φαίνεσθαι κατὰ τὴν ἐν τῷ ὕδατι κώπην.

p. 1088 A Pet. 14 Δημόκριτος ὁ τοῦ Δαμασίππου Ἀβδηρίτης τὸν κόσμον ἄπειρον ἔφη καὶ ὑπὲρ κενοῦ κεῖσθαι. ἔφη δὲ καὶ ἓν τέλος εἶναι τῶν πάντων καὶ εὐθυμίαν τὸ κράτιστον εἶναι, τὰς δὲ λύπας ὅρους κακίας. καὶ τὸ δοκοῦν δίκαιον οὐκ εἶναι δίκαιον, ἄδικον δὲ τὸ ἐναντίον τῆς φύσεως. ἐπίνοιαν γὰρ κακὴν τοὺς νόμους ἔλεγε καί· οὐ χρὴ νόμοις πειθαρχεῖν τὸν σοφόν, ἀλλὰ ἐλευθερίως ζῆν.

15 Μητρόδωρος ὁ Χῖος ἔφη μηδένα μηδὲν ἐπίστασθαι, ἀλλὰ ταῦτα,
B ἃ δοκοῦμεν γινώσκειν, ἀκριβῶς οὐκ ἐπιστάμεθα οὐδὲ ταῖς αἰσθήσεσι δεῖ προσέχειν· δοκήσει γάρ ἐστι τὰ πάντα.

---

1 ἀρχαίλαος libri cf. Prol. p. 177 || verum est Μίδωνος aut Μύδωνος || 4 corruptum ex Σωφρονίσκου τοῦ ἑρμογλύφου cf. Prol. p. 176 || 5 δεῖ vulgo: corr. Dindorf || 10 μήτε κυάμους μήτε οἶνον vulgo: corr. Dindorf || 15 ὀρθουμένου σκολοφώνιος I(enensis): ὀρθουμένου κολ. vulgo. de doctrina cf. Prol. p. 177 || 18 de Parmenide cf. Prol. p. 177 || 20 de Zenone cf. supra p. 588, 15 || 26 de Leucippo cf. Prol. p. 177 || 32 καὶ τὸ δοκοῦν κτλ. cf. Prol. p. 177[2] || 34 χρῆναι coni. Dindorf, sed cf. infra v. 36

16 Πρωταγόρας ὁ τοῦ Μενάνδρου Ἀβδηρίτης ἔφη μὴ θεοὺς εἶναι μηδὲ ὅλως θεὸν ὑπάρχειν.

17 Διογένης ὁ Σμυρναῖος, κατὰ δέ τινας Κυρηναῖος, τὰ αὐτὰ τῷ Πρωταγόρᾳ ἐδόξασε.

18 Πύρρων ἀπὸ Ἤλιδος τῶν ἄλλων σοφῶν τὰ δόγματα συναγαγὼν πάντα ἀντιθέσεις αὐτοῖς ἔγραψεν ἀνατρέπων τὰς δόξας αὐτῶν καὶ οὐδενὶ δόγματι ἠρέσκετο.

19 Ἐμπεδοκλῆς ὁ τοῦ Μέτωνος Ἀκραγαντῖνος πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα τέτταρα πρωτόγονα εἰσέφερε στοιχεῖα καὶ ἔλεγεν ἔχθραν ὑπάρχειν c πρῶτον τῶν στοιχείων. κεχώριστο γάρ, φησί, τὸ πρότερον, νῦν δὲ συνήνωται, ὡς λέγει, φιλωθέντα ἀλλήλοις. δύο οὖν εἰσι κατ' αὐτὸν ἀρχαὶ καὶ δυνάμεις ἔχθρα καὶ φιλία, ὧν ἡ μέν ἐστιν ἑνωτικὴ ἡ δὲ διαχωριστική.

20 Ἡράκλειτος ὁ τοῦ Βλέσωνος Ἐφέσιος ἐκ πυρὸς ἔλεγε τὰ πάντα εἶναι καὶ εἰς πῦρ πάλιν ἀναλύεσθαι.

21 Πρόδικος τὰ τέσσαρα στοιχεῖα θεοὺς καλεῖ εἶτα ἥλιον καὶ σελήνην. ἐκ γὰρ τούτων πᾶσι τὸ ζωτικὸν ἔλεγεν ὑπάρχειν.

22 Πλάτων Ἀθηναῖος θεὸν ἔλεγε καὶ ὅλην εἶναι καὶ εἶδος, τὸν κόσμον δ γενητὸν καὶ φθαρτὸν ὑπάρχειν, τὴν ψυχὴν δὲ ἀγένητον καὶ ἀθάνατον καὶ θείαν λέγει. εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν θυμικὸν καὶ ἐπιθυμητικόν. ἔλεγε δὲ τοὺς γάμους καὶ τὰς γυναῖκας δεῖν κοινὰς τοῖς πᾶσι γίνεσθαι καὶ μηδένα ἰδίᾳ μίαν ἔχειν γαμετήν, ἀλλὰ τοὺς θέλοντας ταῖς βουλομέναις συνεῖναι.

23 Ἀρίστιππος ὁ Κυρηναῖος. οὗτος γαστρίμαργος ὢν καὶ φιλήδονος p. 1089 A Pet. τέλος ἔφη τῆς ψυχῆς τὴν ἡδονὴν καί· ὅστις ἥδεται, εὐδαίμων οὗτος, ὁ δὲ μηδ' ὅλως ἡδόμενος τρισάθλιος καὶ κακοδαίμων, ὡς φησι.

24 Θεόδωρος ὁ ἄθεος ἐπικληθεὶς ἔφη λῆρον εἶναι τοὺς περὶ τοῦ θεοῦ λόγους. ᾤετο γὰρ μὴ εἶναι θεῖον καὶ τούτου ἕνεκεν προὐτρέπετο πάντας κλέπτειν ἐπιορκεῖν ἁρπάζειν καὶ μὴ ὑπεραποθνῄσκειν πατρίδος. ἔλεγε γὰρ μίαν πατρίδα εἶναι τὸν κόσμον καὶ ἀγαθὸν μόνον ἔλεγε τὸν εὐδαιμονοῦντα, φεύγειν δὲ τὸν δυστυχοῦντα, κἂν ᾖ σοφός, καὶ αἱρετὸν εἶναι τὸν ἄφρονα πλούσιον B ὄντα καὶ ἀπεχθῆ.

25 Ἡγησίας Κυρηναῖος. οὗτος ἔφη μήτε φιλίας μήτε χάριτας εἶναι· μὴ ὑπάρχειν γὰρ αὐτὰς ἔλεγεν, ἀλλὰ χρῄζων τις ἔδωκε χάριν ἢ κρεῖττόν τι παθὼν εὐεργετεῖ. ἔλεγε δὲ καὶ τῷ φαύλῳ ἀνδρὶ λυσιτελὲς τὸ ζῆν, τῷ δὲ σοφῷ τὸ ἀποθανεῖν, ὡς τινας ἐκ τούτου πεισιθάνατον αὐτὸν καλέσαι.

26 Ἀντισθένης ὁ ἐκ Θράττης μητρὸς αὐτὸς δὲ Ἀθηναῖος, τὸ πρῶτον Σωκρατικὸς ἔπειτα κυνικὸς ἔφησε μὴ χρῆναι τὰ κακὰ ζηλοτυπεῖν ἑτέρων [ἢ τὰ παρ' ἀλλήλοις αἰσχρά]· τὰ δὲ τείχη τῶν πόλεων εἶναι σφαλερὰ πρὸς τὸν c ἔσω προδότην, ἀσάλευτα δὲ τὰ τῆς ψυχῆς τείχη καὶ ἀρραγῆ.

---

1 Μενάνδρου: immo Μαιανδρίου || 3 Σμυρναῖος κτλ. cf. Prol. p. 177 || 11 φιλωθέντα coni. A. Iahn || 13 de Heraclito cf. Prol. p. 177 || 15 τις τέσσαρα vulgo: correxi || 17 cum Platone cf. p. 587, 8. 588, 20 || 20 δεῖ libri || 22 de Cyrenaicis cf. Prol. p. 177 || 24 φασι vulgo: correxi cf. p. 592, 29 || 28 possis φευκτόν: φαῦλον Zeller || 30 ἀπειθῆ vulgo: correxi. ἀπαθῆ Zeller || 33 ἑτέρων Cornarius *non licere aliorum turpia sectari*: ἕτερον vulgo. proxima interpreti reddidi, qui pro ἀλλήλοις scripsisse videtur ἄλλοις

27 Διογένης ὁ κυνικὸς ἀπὸ Σινώπης τῆς κατὰ τὸν Πόντον πόλεως τὰ πάντα Ἀντισθένει συνῆν. ἔφησε τὸ ἀγαθὸν οἰκεῖον παντὶ σοφῷ εἶναι, τὰ δ' ἄλλα πάντα οὐδὲν ἢ φλυαρίας ὑπάρχειν.

28 Κράτης ἀπὸ Θηβῶν τῶν Βοιωτικῶν καὶ αὐτὸς κυνικὸς ἔλεγεν ἐλευθερίας εἶναι τὴν ἀκτημοσύνην.

D 29 Ἀρκεσίλαος ἔφασκε τῷ θεῷ ἐφικτὸν εἶναι μόνῳ τὸ ἀληθές, ἀνθρώπῳ δὲ οὔ.

30 Καρνεάδης τὰ αὐτὰ τῷ Ἀρκεσιλάῳ ἐδόξασεν.

31 Ἀριστοτέλης ὁ Νικομάχου κατὰ μέν τινας Μακεδὼν ἀπὸ Σταγείρων, ὡς δὲ ἔνιοι Θρᾷξ ἦν τὸ γένος. ἔλεγε δὲ δύο ἀρχὰς εἶναι, θεὸν καὶ ὕλην, καὶ τὰ μὲν ὑπεράνω τῆς σελήνης θείας προνοίας τυγχάνειν, τὰ δὲ κάτωθεν τῆς σελήνης ἀπρονόητα ὑπάρχειν καὶ φορᾷ τινι ἀλόγῳ φέρεσθαι ὡς
p. 1090 A Pet. ἔτυχεν. εἶναι δὲ λέγει δύο κόσμους | τὸν ἄνω καὶ τὸν κάτω, καὶ τὸν μὲν ἄνω ἄφθαρτον, τὸν δὲ κάτω φθαρτόν. καὶ τὴν ψυχὴν ἐνδελέχειαν σώματος λέγει.

32 Θεόφραστος Ἐρέσιος τὰ αὐτὰ Ἀριστοτέλει ἐδόξασε.

33 Στράτων ἐκ Λαμψάκου τὴν θερμὴν οὐσίαν ἔλεγεν αἰτίαν πάντων ὑπάρχειν. ἄπειρα δὲ ἔλεγεν εἶναι τὰ μέρη τοῦ κόσμου καὶ πᾶν ζῷον ἔλεγε νοῦ δεκτικὸν εἶναι.

34 Πραξιφάνης Ῥόδιος τὰ αὐτὰ τῷ Θεοφράστῳ ἐδόξασε.

B 35 Κριτόλαος ὁ Φασηλίτης τὰ αὐτὰ τῷ Ἀριστοτέλει ἐδόξασε.

36 Ζήνων ὁ Κιτιεὺς ὁ Στωικὸς ἔφη μὴ δεῖν θεοῖς οἰκοδομεῖν ἱερά, ἀλλ' ἔχειν τὸ θεῖον ἐν μόνῳ τῷ νῷ, μᾶλλον δὲ θεὸν ἡγεῖσθαι τὸν νοῦν. ἔστι γὰρ ἀθάνατος. τοὺς δὲ τελευτῶντας ζῴοις παραβάλλειν χρῆναι ἢ πυρί. καὶ τοῖς παιδικοῖς χρῆσθαι ἀκωλύτως. ἔλεγε δὲ πάντα διήκειν τὸ θεῖον. τὰς δὲ αἰτίας τῶν πραγμάτων πῇ μὲν ἐφ' ἡμῖν, πῇ δὲ οὐκ ἐφ' ἡμῖν, τοῦτ' ἔστι τὰ μὲν τῶν πραγμάτων ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἔλεγε δὲ καὶ μετὰ χω-
C ρισμὸν τοῦ σώματος * * * καὶ ἐκάλει τὴν ψυχὴν πολυχρόνιον πνεῦμα, οὐ μὴν δὲ ἄφθαρτον δι' ὅλου ἔλεγεν αὐτὴν εἶναι. ἐκδαπανᾶται γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου εἰς τὸ ἀφανές, ὥς φησι.

37 Κλεάνθης τὸ ἀγαθὸν καὶ καλὸν λέγει εἶναι τὰς ἡδονὰς καὶ ἄνθρωπον ἐκάλει μόνην τὴν ψυχὴν καὶ τοὺς θεοὺς μυστικὰ σχήματα ἔλεγεν εἶναι καὶ κλήσεις ἱερὰς καὶ δᾳδοῦχον ἔφασκεν εἶναι τὸν ἥλιον καὶ τὸν κόσμον μύστας καὶ τοὺς κατόχους τῶν θείων τελετὰς ἔλεγε.

38 Περσαῖος τὰ αὐτὰ Ζήνωνι ἐδογμάτισε.

---

2 οἰστὸν libri: corr. Zeller II³ 257⁵ || 4 ἐλευθερίαν suadebat A. Iahn || 6 μόνον vulgo: correxi || 9 cum Aristotele cf. p. 587, 2 588, 30 || 15 Ἐφέσιος libri: corr. Menagius || 16 cρ̄ατωνῖ I: στρατωνίων ed. Basil.: Στράτων ὧν vulgo sed cf. § 18. 28. de placitis cf. Prol. p. 177 || 17 possis τὰ μεγέθη sed cf. Zeller II 2³ 914³ || ἔλεγεν οὐ δεκτικὸν vulgo: correxit Zeller. *vim opinandi habere* vertendo praeiverat Cornarius || 24 διήκειν Rhedigeranus: vulgo διοικεῖν cf. Krische p. 382 || 27 intercidit τινὰ χρόνον διαμένειν τὴν ψυχήν, similiter A. Iahn || 29 voluitne τὸ ἀχανές? || 31 Lobeck Aglaopham. p. 62. 130 [o] coniecit κόσμον τελεστήριον καὶ τοὺς κατόχους τῶν θείων μύστας, A. Iahn κόσμον ἱερὸν καὶ τοὺς ἀνθρώπους μύστας καὶ τοὺς κατόχους τῶν θείων τελεστάς: mihi μυστήριον et τελεστὰς rescriptis cetera stare videntur cf. Dio Chrysost. XII p. 387 Reisk. Plut. de tranqu. 20 p. 477 CD || 34 Περσεὺς libri

39 Χρύσιππος ὁ Σολεὺς νόμους ἔγραψεν οὐ θεμιτούς. ἔλεγε γὰρ δεῖν p. 1090 D Pet.
μίγνυσθαι ταῖς μητράσι τοὺς παῖδας, τοῖς δὲ πατράσι τὰς θυγατέρας. εἰς δὲ τὰ ἄλλα συνεφώνησε Ζήνωνι τῷ Κιτιεῖ. πρὸς τούτοις δὲ ἔλεγε καὶ ἀνθρωποβορεῖν. ἔλεγε δὲ τὸ τέλος τῶν πάντων τὸ ἡδυπαθὲς εἶναι.

40 Διογένης ὁ Βαβυλώνιος ἔλεγε τὰ σύμπαντα συνίστασθαι ἐξ ἡδονῆς.

41 Παναίτιος ὁ Ῥόδιος τὸν κόσμον ἔλεγεν ἀθάνατον καὶ ἀγήρω καὶ τῆς μαντείας κατ' οὐδὲν ἐπεστρέφετο καὶ τὰ περὶ θεῶν λεγόμενα | ἀνήρει. ἔλεγε p. 1091 A Pet.
γὰρ φλήναφον εἶναι τὸν περὶ θεοῦ λόγον.

42 Ποσειδώνιος Ἀπαμεὺς ἔλεγε τὸ μέγιστον ἐν ἀνθρώποις ἀγαθὸν εἶναι πλοῦτον καὶ ὑγείαν.

43 Ἀθηνόδωρος Ταρσεὺς τὰ αὐτὰ Χρυσίππῳ ἐδόξασε καὶ τὰ αὐτὰ Ζήνωνι ἐδογμάτισεν.

44 Ἐπίκουρος ὁ Νεοκλέους ἐν Ἀθήναις τραφεὶς φιλήδονον βίον μετῆλθε καὶ οὐκ ἠρυθρία γυναιξὶ συνὼν δημοσίᾳ ἀκολάστοις, καθ' ἃ πρώην περὶ αὐτοῦ εἴπομεν. πάλιν ἔλεγε μὴ εἶναι θεούς, ἀλλ' ἢ μόνον τύχην διοικεῖν τὰ πάντα καὶ μηδὲν εἶναι τῶν ἐν τῷ βίῳ ἑκούσιον μήτε μάθησιν μήτε ἀπαι- B
δευσίαν μήτε ἄλλο μηδέν, ἀλλὰ πάντα ἀκούσια γίνεσθαι πᾶσι. καὶ οὐ χρὴ ψέγειν τινά, ὥς φησιν, οὐδὲ ἐπαινεῖν· οὐ γὰρ ἑκόντες ταῦτα ὑφίστανται. ἔλεγε δὲ μὴ δεῖν φοβηθῆναι τὸν θάνατον. διεβεβαιοῦτο δέ, ὡς ἤδη ἔφην, καὶ ἐξ ἀτόμων τὸ πᾶν τὴν σύστασιν ἔχειν καὶ τὸν κόσμον ἐν ἀπείρῳ εἶναι.

---

4 τὸ ἀπαθὲς Gataker Adv. misc. p. 814, nisi transponenda sint ἔλεγε — εἶναι post ἡδονῆς v. 5 cf. Prol. p. 177 || 6 ἀγήρω Scaliger: ἀτρήρω libri || 7 θεῶν vulgo: θεὸν Rhedigeranus: cf. p. 591, 1. 2 || 9 cf. Prol. p. 177 || 14 μεθ' ἃ vulgo: correxi || 15 καὶ μηδὲν κτλ. cf. Prol. p. 177

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΙΣΤΟΡΙΑΣ

SIGLORUM EXPLICATIO

A	codex Laurentianus LXXIV 3	cf. Prol. p. 234
B	codex Laurentianus LVIII 2	
N	Nicolai Regini versio latina ad cc. 1—55 excerpta	cf. Prol. p. 235
D	priorum capitum editio nostra Bonnensis 1870	

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΙΣΤΟΡΙΑΣ

1

Τῶν ἐξ ἀρχῆς φιλοσοφησάντων φυσιολογεῖν μόνον προελομένων καὶ τοῦτο τέλος τῆς κατ' αὐτοὺς φιλοσοφίας πεποιημένων ἐπιγεγονὼς πολλοῖς ὕστερον χρόνοις Σωκράτης τοῦτο μὲν ἀνέφικτον ἔφησεν ἀνθρώποις ὑπάρχειν (τῶν γὰρ ἀδήλων κατάληψιν βεβαίαν [εἶναι] λαβεῖν τῶν χαλεπωτάτων | ἐνόμισε), τὸ δὲ ζητεῖν, ὅπως ἄμεινον διάγοι τις καὶ τῶν μὲν κακῶν ἀποτραπείη, τῶν δὲ καλῶν ὡς πλείστων μετάσχοι, τοῦτο μᾶλλον συνοίσειν. καὶ τοῦτο νομίσας χρησιμώτερον τῆς μὲν φυσιολογίας ἠμέλησεν ὡς οὐ πάνυ τι πρὸς τὸν χρηστὸν βίον συμβαλλομένης, ἠθικὴν δέ τινα διάθεσιν ἐπινενοηκὼς διαγνωστικὴν ἀγαθῶν τε καὶ κακῶν αἰσχρῶν τε καὶ καλῶν δικαίων τε καὶ τῶν ἐναντίων, τοὺς προνοουμένους ταύτης πάντων ἀπηλλάχθαι τῶν ἀλυσιτελῶν ἡγεῖτο ῥᾳδίως. [διὸ προσεπάγει τῇ φιλοσοφίᾳ τὸ ἠθικόν, καθ' ὃ συνέστησε τὴν προαίρεσιν τῶν κάλλιστα ζῆν πεισθησομένων.] κατιδὼν δὲ ὅτι δεήσει τοὺς τούτων προστησομένους εὐπειθείας μετέχειν, τοῦτο δ' ἂν ὑπάρξειεν, εἰ λόγοις διαλεκτικοῖς φαίνοιντο πρὸς τοὺς προσιόντας καλῶς κεχρημένοι, καὶ τὴν διαλεκτικὴν [δύναμιν, δι' ἧς πείθονται ταχέως] ἐπινενόηκεν, ὡς ἀπαλλαξόμεθα τῶν βλαβερῶν, ἐπελευσόμεθα δὲ ἐπὶ τὰ πάντως ὠφελεῖν πεφυκότα. ὥστε διὰ τὸν Σωκράτην γενέσθαι τρι-

p. 222 ed. Kuehn.

223

---

1 Γαληνοῦ περὶ φιλοσόφου ἱστορίας A: Γαληνοῦ περὶ φιλοσόφων ἱστορίας BN cf. Prol. p. 258. 340n^{b}2 || 2 φιλοσόφων B ab ipso librario correctum || προελουμένων B || 3 κατ' αὐτοὺς B: κατ' αὐτ^ A || περιπεποιημένων BN || πολλ^ A: πολλῶς compendiose B || 4 οὔτ A: τοῦτο BN || φησιν AB: correxit censor Lipsiensis [Litter. Centralbl. 1871 p. 990] || ὑπάρχειν ἀνθρώποις B || 5 εἶναι ABN (A compend.): delevit D: *putavit esse* N unde εἶναι ἐνόμισε Chartreriana || 6 διάγοι A: διάγῃ B: ⟨ἂν⟩ διάγοι D || ἀποτραπείη B: ἀποτραπ^ A || 7 μετασχεῖν AB: *participet* N || συνοίσειν B: συνοίσει A || καὶ τοῦτο — ῥᾳδίως interpolatori tribuit D || 8 ἠμέλησε B || 9 χρήσιμον ABN: corr. Usener cf. c. 24 p. 614, 16 || 10 διαγνωστικ^ A: διαγνωστικήν τε B: *dinoscitivam* N: omiserunt edd. ante D || δικαίων ABN. compendium in A ab ed. princ. τιμίων lectum est || 11 τοὺς [superscripto οις compendiose] προνοουμένους [item οις superscripto] B: *eos qui de ipsa curant* N: μν' τ τοῖς προνοου A || ταύτης B: ταύ A || 12 ῥᾳδίως retinui: ῥᾴδιον Usener servato τοῖς προνοουμένοις || διὸ — πεισθησομένων induxit H. S(auppe) [philol. anzeig. 1871 p. 166] cf. Prol. p. 244. καὶ (v. 7) — ῥᾳδίως (12) deleverat D || προσεπάγῃ B || 13 πεισθησομένων quid sit nescio. an προνοησαμένων? || 14 τοὺς τούτων προστησομένους B: τῶν τούτων προστησομένων A unde τὸν — προστησόμενον effecerant. τούτων dicit τοὺς προνοουμένους ταύτης || εὐπαθείας AN: εὐθείας B || μετασχεῖν B || 15 κακῶς A || 16 δύναμιν — ταχέως delevi cf. Prol. p. 244 || 17 ἐπινενοηκὼς ἀπαλλαξόμεθα AB: correxi. ὡς legisse videtur N *ut eripiantur a nocivis*. δύναμιν ἐπινενόηκεν δι' ἧς πεισθέντες ταχέως ἀπαλλαξόμεθα D || 18 ὠφελεῖν AN: ὠφελῆ B || *per ipsum Socratem* N

224 μερῆ τὴν φιλοσοφίαν πρότερον ἐπὶ τοῖς φυσικοῖς | μόνοις ὁρίζεσθαι δοκοῦσαν.

2

Ταῦτα μὲν οὖν ἐχρῆν προειπεῖν, ἵνα ἔκ τινος ἀρχῆς ποιησώμεθα τὸν περὶ φιλοσοφίας λόγον. προὐθέμεθα δὲ διαλεχθῆναι περὶ τούτων οὐδὲν μὲν ἴδιον εὑρηκότες, τὰ δὲ παρὰ τοῖς προτέροις σποράδην εἰρημένα συναγαγόντες, σαφῶς τε καὶ συντόμως σπουδάσαντες περὶ τούτων διαλεχθῆναι, ἵνα οἱ φιλομαθεῖς τούτοις προεντυγχάνοντες μὴ δέοιντο τῶν ἐξηγουμένων, ἀλλὰ δι' ἑαυτῶν γιγνώσκοιεν τὰ καθ' ἕκαστα τῶν εἰρημένων σαφέστερον. ἀσφαλέστερον δὲ πειρώμεθα περὶ τούτων εἰπεῖν τὰ σοφιστικὰ καὶ πάνυ κεκοσμημένα τῶν διαλεκτικῶν παρεληλυθότες. οὐ γὰρ ἐπιδείξεως ἕνεκα προὐστησάμεθα τὴν περὶ τούτων σπουδήν, ἀλλὰ χρηστὰ τὰ ἤθη ποιῆσαι βουληθέντες τοῖς ἐκ φιλοσοφίας λαβεῖν τι χρήσιμον προεγνωκόσι καὶ νομίσαντες φιλοσοφεῖν οὐ μόνον τοὺς τὰ τριβώνια περιημμένους, ἀλλὰ καὶ τοὺς ⟨τὴν⟩ πρόσοδον μὲν τοῖς πολλοῖς ὁμοίαν ἐνστησαμένους, τὴν δὲ διάνοιαν φιλοσοφωτέραν ἔχειν σπουδάσαντας. ἁπλουστέρως δέ, ὅσα παρὰ τῶν πεπαιδευκότων
225 ἡμᾶς ἀκηκόαμεν καὶ δι' ἀναγνωσμάτων ἐμάθομεν, νῦν συνά|γειν ἐπιχειρήσομεν, ἵνα ἐξ ἁπάντων ἔχῃ τις γιγνώσκειν, πόθεν τε φιλοσοφία πρῶτον εἰς τοὺς Ἕλληνας παρελήλυθε, καὶ τίνες οἱ ταύτην εἰσαγαγόντες καὶ τοὺς δοκοῦντας κατὰ τὴν παιδείαν διενηνοχέναι τῶν ἐπὶ ταῦτα τετραμμένων.

3

Ἔστι τοίνυν ὁ πρῶτος ὑπὸ τῶν πλείστων ὑπειλημμένος τὸν φιλόσοφον

---

1 δοκοῦσα A: δοκοῦσι B || 4 ἀρχ^ A: ἀρχὴν BN || 5 φιλοσοφίας A: φιλοσόφων B: *de philosophiis* N || προθέμεθα A. de hoc loco cf. Prol. p. 242. 257 || τούτων BN: τούτ^ A cf. v. 7. 10. 12 || 6 ἴδιον A: ὠδὶ B: *his* N || σποράδην ABN: casu omissum in ed. princ. || συνάγοντες AB: corr. Charterius || 7 σαφῶς—διαλεχθῆναι interpretem sapiunt, σπουδάσαντες—διαλεχθῆναι inclusit D || περὶ πάντων τούτων B cf. N: περὶ τούτου A || 9 σαφέστερον ut variam lectionem vocis ἀσφαλέστερον induxit D. utrumque om. N || 10 τούτων BN: A ut v. 5 || κεκομψευμένα coni. Usener || 11 προὐστησόμεθα A. de hoc loco cf. Prol. p. 242. 253 || 12 περὶ τούτου (AB): *de his* N || χρηστοήθη AB: om. N: corr. D || 13 ἐγνωκόσιν BN || καὶ scripsi: οἱ ABN: [οἱ] D || 14 τὴν addidi || 15 πρόσοδον ὁμοίαν τοῖς πολλοῖς B. cf. de Hypatia Suidas p. 1314ª17 B. περιβαλλομένη δὲ τρίβωνα ἡ γυνὴ καὶ διὰ μέσου τοῦ ἄστεος ποιουμένη τὰς προόδους ἐξηγεῖτο δημοσίᾳ τοῖς ἀκροᾶσθαι βουλομένοις κτλ. Prol. p. 254 || ἄνοιαν B || φιλοσοφωτέραν B et comp. A (sic Usener): φιλοσοφωτάτην ante D || 16 σπουδάσαντες AB || φασίν. ἁπλουστέρους B || 17 συνεισάγειν B || ἐπιχειρήσαμεν A: ἐπιχειρησόμεθα B: *coligemus* N: correxi || 18 τις B: τι A || πόθεν—εἰσάγοντες tituli instar proximis praefigit B || 19 εἰς B: μὲν εἰς A || παρεληλύθη B || εἰσάγοντες B || καὶ τοὺς—τετραμμένων interpolata dixit D et sane om. B, sed habet N quamquam et ipse πόθεν κτλ. tituli loco exhibet cf. Sauppe l. c. p. 167 || 20 intercidisse discipulorum successionumque mentionem opinatus est D, sed hoc τοὺς δοκοῦντας—τετραμμένων haud obscure significat

21 c. 3 v. 22—p. 600,13 libere et inepte breviavit Ioannes Italus [saec. XI exeuntis] sive potius eius quidam auditor in quaest. et sol. cod. Marc. 265 [s. XV], unde breviuscule haec excerpsit Th. Waitz [Ar. Organ. I 14]: μετὰ δὴ τούτους [Thalem et Anaximandrum] Ἀναξαγόρας ἐπιγεγονὼς ὁ φιλόσοφος καὶ τὴν

τρόπον εἰς τοὺς Ἴωνας † εἰσηγμένος Θαλῆς ὁ Μιλήσιος, ὃι' ὃν καὶ τὴν κατ' ἐκεῖνον φιλοσοφίαν Ἰωνικὴν ἅπαντες ὀνομάζουσιν. τούτου δὲ γνώριμος Ἀναξίμανδρος γεγονὼς ὁμοίως φιλοσοφῶν γέγονε καὶ τὸν Ἀναξιμένην μετὰ ταῦτα ζηλωτὴν εἶναι τῆς αὐτοῦ προαιρέσεως πεποιηκὼς Ἀναξαγόρου καθηγητὴν γενέσθαι παρεσκεύασεν. οὗτος δὲ τὴν Μίλητον ἀπολελοιπὼς ἦκεν εἰς τὰς Ἀθήνας καὶ Ἀρχέλαον τὸν Ἀθηναῖον πρῶτον εἰς φιλοσοφίαν παρώρμη|σεν. οὗπερ Σωκράτης ἀκροατὴς καταστὰς πολλοῖς καὶ τῶν 226
ὕστερον γεγονότων καὶ τῶν κατ' αὐτὸν αἴτιος τοῦ φιλοσοφεῖν εἰλικρινῶς γέγονε καὶ τοὺς ἐπιγενομένους σχεδὸν ἅπαντας ὡς εἰπεῖν φιλοσοφίας ἐπιθυμητὰς ἀπέφηνε. τῶν δὲ Σωκρατικῶν πολλῶν γεγονότων ἀναγκαῖόν ἐστι νῦν μόνον ποιήσασθαι μνήμην τῶν διαδοχὴν καταλελοιπότων. Πλάτων τοίνυν μάλιστα διενηνοχὼς τῶν ἄλλων ⟨τῶν⟩ ἐπὶ φιλοσοφίαν ἐλθόντων, ὡς ἂν φαίη τις, ἀνεπίφθονον τὴν Σωκρατικὴν μαρτυρίαν παρεσχηκὼς τῆς ἀρχαίας λεγομένης ἀκαδημίας κατῆρξε [διαβεβοημένος]. Σπεύσιππος μὲν οὖν χρόνον τινὰ βραχὺν ἐπὶ τῆς αὐτοῦ αἱρέσεως διαμεμενηκὼς, ἀρθριτικοῖς δὲ νοσήμασι περιπεσὼν Ξενοκράτην ἀντ' αὐτοῦ κατέστησε τῶν Πλατωνικῶν δογμάτων ἐξηγητήν. μετὰ δὲ τοῦτον Πολέμων † ἐπεὶ καὶ ἦν αὐτὸς ἐπὶ τοὺς λόγους τοῦ Πλάτωνος καὶ Κράντορος γέγονε καθηγητής, εἰς ὃν κατέληξεν ἡ ἀρχαία ἀκαδημία. τοῦ δὲ Κράντορος ἀκουστὴς ἦν Ἀρκεσίλαος, ὃς τὴν μέσην ἀκαδημίαν ἐπινενόηκεν, ἥτις μέχρις

Μίλητον καταλιπὼν ἐπὶ τὰς Ἀθήνας ὥρμησε καὶ Ἀρχαιόλαόν [l. Ἀρχέλαόν] τινα Ἀθηναῖον ὄντα εἰς τὸν αὐτὸν τῆς φιλοσοφίας ζῆλον ἐνέβαλεν, ὃν δὴ καὶ Σωκράτης διδάσκαλον ἐσχηκὼς πολλοὺς τῶν κατ' ἐκεῖνο χρόνου ὑπερηκόντισε . . . μεθ' ὃν [Platonem] καὶ Σπεύσιππος εἶτα Ξενοκράτης ἀντ' αὐτοῦ ταχέως τὸν βίον παρελθόντος τῶν Πλατωνικῶν δογμάτων γέγονεν ἐξηγητής, εἶτα Πολέμων καὶ Κάντωρ [sic], εἰς ὃν ἡ ἀρχαία κατέληξεν Ἀκαδημία καὶ ὃς τὴν μέσην Ἀκαδημίαν ἐξεῦρεν, οὗ δὴ καὶ Καρνεάδης ἀκροατής . . . μετὰ δὲ τούτους Κλειτόμαχος γέγονε φιλόσοφος καὶ Φίλων καὶ Ἀντίοχος . . . μετὰ δὲ τούτους [Cleanthem et Chrysippum] Διογένης καὶ [cf. ad p. 600, 10] Βαβυλώνιος καὶ Ἀντίπατρος καὶ πρὸς τούτοις Ποσειδώνιος καὶ Ἀρίστιππος ὁ Κυρηναῖος || πρῶτον B || *physicum modum* N || 1 εἰσηγμένος AB: πρῶτος—ὑπειλημμένος uncis inclusit D, Sauppe hoc reiecto εἰσηγήσασθαι proposuit, censor Lipsiensis εἰσηχέναι, quod ceteris praestat cf. εἰσαγαγόντες p. 598, 18 et p. 610, 3. 4 || 2 φιλοσοφίαν ab Usenero emendatum confirmant BN: σοφίαν A || δὲ om. B || 3 ὅμοιος B || 4 αὐτοῦ A: τοιαύτης B: *istius* N || 5 καθηγητὴν AN: μαθητὴν B || 6 τὸν ante ἀρχέλαον AB: transp. D || 7 καταστὰς πολλοῖς B quod coniecerat Usener: κατὰ τὰς πολ^ A: *discipulus factus multorum* N || 9 τοὺς om. B || 11 νῦν om. BN || μόνων ci. Usener || τῶν κατὰ διαδοχὴν λελοιπότων AB: corr. Usener. *qui per successionem disce(p)taverunt* N || 12 διενηνοχὴ B || ⟨τῶν⟩ inseruit Sauppe || ἐλθὼν AB: corr. Usener || 13 ἀνεπίφθονον τὴν B: ἂν ἐπίφθονον (om. τὴν) A || 14 κατήρξατο B || διαβεβοημένος glossema vocis διενηνοχὼς v. 12 notavit D cf. Prol. p. 244. διαβεβοημένης censor Lips. qui relictum id ex additis aliquot ad ἀκαδημίας verbis existimabat || 15 αὐτοῦ B: αὐτῆς A: *in hac* N || προαιρέσεως B cf. supra v. 4 || ἀρθριτικοὺς B || 16 νοσεῖ extremo, νοσήμασι incipiente versu A || πεσὼν B || 17 Πολέμωνα BN || ἐπεὶ καὶ ἦν αὐτὸς A: ἐπεὶ καὶ αὐτὸς ἦν B: καὶ ἦν ὅτος (sc. quartus scholae moderator) interpolatum duxit Usener, unde Sauppe Πολέμων [ἐπεὶ] κατῆει [ὅτος], censor Lips. Πολέμων ἐπορεύθη καὶ αὐτός, Buecheler ἐπῆει καὶ αὐτὸς. tento ἐπεκλίθη aut ἐπεκλήθη καὶ αὐτὸς || 18 Κράτητος καὶ ante Κράντορος in codd. omissum esse veri simile cf. Prol. p. 244 || κράντορος B: κραν' hic et 19 A || γέγονε—19 Κράντορος om. BN || καθηγητικός A || 20 ἀρκεσίλαος ὃς B ut coni. D: ἀργεσίλαος om. ὃς A || ἀκαδημίαν ἐπινενόηκεν ὅστις μέχρι σιγῆς ἐπινενόηκε A:

Ἡγησίνου ἐπιμεμένηκεν. τούτου δὲ Καρνεάδης κατέστη διάδοχος, ⟨ὃς⟩
227 τῆς νέας | ἀκαδημίας τὰς ἀρχὰς συνεώρακεν· ἧς Κλειτόμαχος μετέσχεν.
εἰσὶ δὲ πρὸς ταύταις πάσαις ἀκαδημίαι δύο νεώτεραι, ὧν τῆς μὲν προτέρας
προέστη Φίλων, Ἀντίοχος δὲ τῆς ἐφεξῆς. ἡγοῦμαι δὲ τῶν Σωκρατικῶν
Ἀντισθένην πάνυ πολλῶν γενομένων οὐδενὸς ἧσσονα εἶναι [καταδεέστερος δὲ], 5
ὃς τὴν Κυνικὴν εἰς τὸν βίον παρήγαγεν. οὗ Διογένης γέγονε ζηλωτὴς
προσομοιωθεὶς κατὰ τὰ ἐπιτηδεύματα. τούτου δὲ Ζήνων ὁ Κιτιεὺς ἀκή-
κοεν, ὃς τὴν Στωικὴν φιλοσοφίαν ἐξεῦρεν. οὗ μετειλήφει τῶν λόγων
Κλεάνθης. καὶ τούτου Χρύσιππος ἀκροώμενος τὴν ὁμοίαν ἀγωγὴν
μετελήλυθε. τοῦ δὲ Διογένης ὁ Βαβυλώνιος ἀκροατὴς γεγονὼς Ἀντι- 10
πάτρου καθηγητὴς γέγονε. τούτου δὲ Ποσειδώνιος ἠκροᾶτο. Ἀρί-
στιππος δὲ Κυρηναῖος ὢν τῆς Σωκρατικῆς ἀκροάσεως μετέσχεν, ἀφ' οὗ
τὴν Κυρηναϊκὴν φιλοσοφίαν ἔγνωμεν. ἀλλ' οὐδὲ τῶν Μεγαρικῶν Εὐκλείδην
δίκαιον παριδεῖν, ὃς τῶν Σωκρατικῶν οὐδενὸς δεύτερος τὴν διάνοιαν γέγονεν,
228 ἢ Στίλπωνα τὸν Μεγαρικὸν τὸν τῶν αὐτῶν δο|γμάτων εὑρετὴν ὑπο- 15
ληφθέντα. τοῦτον δὲ Μενέδημος ὁ Ἐρετριεὺς διεδέδεκτο, ἀφ' οὗ Ἐρε-
τρικὴ ⟨ἡ⟩ φιλοσοφία ἐπικέκληται. Φαίδωνα ⟨δὲ⟩ τὸν Ἠλεῖον οὐδεὶς ἠγνόησε
τῶν Σωκρατικῶν εἰς πρῶτα ἥκειν ὑπειλημμένον * * *

Ἀριστοτέλης δὲ Πλάτωνι πάνυ πολὺν χρόνον συνδιαγεγονὼς δόγμασιν
ἑτέροις ἑαυτὸν προσνενέμηκεν. ὅσπερ Θεόφραστον προεστήσατο τῆς κατ' 20

ἀκαδημίαν μέχρι σιγῆς ἐπινενόηκε B (μέχρι σιγῆς non vertit N): correxi Prol. p. 245 cf. Mus. Rh. XXXI 47[1]. ex Galeni exemplo Bonnensi ἐπέσχηκε protulit D, unde μετὰ σιγῆς ἐπέσχηκε τὴν γνώμην censor Lips. || 1 καρνιάδης A || ⟨ὃς⟩ addidit D || 2 τῆς μέσης BN || τὰς ἀρχὰς δὲ B *cuius principia* N || συνεώρακεν i. e. *constituit* posteriorum usu || ἧς scripsi cf. v. 12. vide Sexti P. H. I 220 et Euseb. XIV 4 16: ὁ AB: οὗ edd. || μετέσχεν A: μετασχὼν B || 3 ταύταις πᾶσαι B: ταύτας πάσας A || νεώταται AB: corr. Usener || 4 τὸν σωκρατικὸν ABN || 5 ἧσσονα εἶναι καταδεέστερος δὲ B: ἴσ ἦν καταδεέστερ δὲ A: καταδεέστερος δὲ (cf. infra v. 14 BN) delevi || 6 τὴν νίκην AB: *et litem* N || εἰσήγαγεν B || 7 προσομοιω A itemque προσομοιωθεὶς B quod tueor cf. v. 9 τ. ὁμοίαν ἀγωγὴν μετελήλυθε || ἠκηκόει B || 8 ὃς τινὰ AB || τὸν λόγον A || 10 διογένους AB || γεγονὼς A: γέγονεν B || 11 καθηγητὴς B: καθηγητικὸς A || γέγονε om. B, sed cf. p. 599, 13 || δὲ Ποσειδώνιος ἠκροᾶτο om. B: habent AN || 12 δὲ A: ὁ B || ὢν A: ὃς BN || 13 ἔγνωμεν A: ἔσχομεν BN || τῶν μεγαρικῶν εὐεκτικὴν δίκαιον παρεῖδεν A: τὴν μεγαρικὴν παριδεῖν δίκαιον B: *megaricam dyalecticam est praetervidendum* N: correxi. τῶν Μεγαρικῶν ἐριστικὴν cf. p. 604, 15 Charterius, cui τὴν ante ἐριστικὴν addebat D. noli τὸν Μεγαρικὸν scribere || 14 ὃς B: ὡς A || δεύτερος τὴν διάνοιαν γεγονὼς A: καταδεέστερος γέγονεν BN cf. supra v. 5 || 15 ἧς τίλπων A: εἰς ςιλπωνα B || τὸν τῶν B: τῶν A || εὑρετὴν πεμφθέντα B: εὑρετὴς ἦν A: correxi. de ὑποληφθέντα cf. Prol. p. 257. Usenero placuerat αἱρετιστήν || 16 τοῦτον B: τού A || δὲ AN: δν B || παρμενίδης ABN: corr. I. Camerarius || διέδεκτο AB: correxi. *huic... successit* N. τούτῳ — διεῖλεκτο Usenerus || 17 ἡ add. Gomperz || ἐπιδέδεικται BN || φαίδρονα A || δὲ addidi || ἤλιον A || 18 πρῶτα B: πρώτους A || ὑπηλεμμένων A || ὑπειλημμένον B: manca est oratio quia huc Anaxarchi successionem inepte inferserunt codices, cui suum dedi locum p. 601, 13. 14 cf. Prol. p. 243 || 19 πλάτωνι B: πλάτωνος A || δόγμασιν A: δόγμα BN || 20 ὅσπερ AN: οὗπερ B || κατὰ τῶν AB: καθ' αὐτὸν D cf. N *in heresi sua*, sed in eiusmodi periphrasibus reflexivum numquam admittitur

αὐτὸν αἱρέσεως καὶ τὸν Στράτωνα προήγαγεν εἰς ἴδιόν τινα χαρακτῆρα φυσιολογίας * * *

[εἰσὶ δὲ τῶν γεννικωτέρων φιλοσόφων ἴνδικες δύο, τινὲς μὲν Ἰταλιῶται, 229
ὧν Πυθαγόρας εὑρετὴς γεγένηται, καὶ ὁ κατὰ τὴν Ἐλαίαν ἀκμάσας]
* * * ταύτης δὲ λέγεται κατάρξαι Ξενοφάνης ὁ Κολοφώνιος ἀπορητικῆς μᾶλλον ἢ δογματικῆς τοῖς πολλοῖς εἶναι δοκούσης. μετὰ δὲ τοῦτον τοῖς αὐτοῦ βουλήμασιν εὐαρεστηθεὶς καὶ Παρμενίδης οὐ τῶν ἀφανεστέρων ἐπιβεβηκέναι δοκεῖ. Ζήνων δὲ ὁ Ἐλεάτης τῆς ἐριστικῆς φιλοσοφίας ἀρχηγὸς μνημονεύεται γεγονώς. τούτου δὲ Λεύκιππος ὁ Ἀβδηρίτης ἀκουστὴς τὴν τῶν ἀτόμων εὕρεσιν ἐπινενόηκε πρῶτος. Δημόκριτος δὲ παρ' αὐτοῦ τὸ δόγμα παρειληφὼς μᾶλλον ἐκράτυνεν. οὐ Πρωταγόρας ὁ Ἀβδηρίτης ζηλωτής, ὃς καὶ συστάτης τῶν κατὰ φιλοσοφίαν τεχνῶν * * *

12 c. 34 inscr περὶ θεοῦ καὶ πῶς θεοῦ ἔννοιαν ἔσχομεν B qui insequens caput eadem inscriptione comprehendit || 14 μεταβάλλομεν A || 15 τῶν ὁρωμένων A || 17 ποικίλματα B || 18 καὶ post ἥλιον om. A || τοῖς λοιποῖς A || τῶν ἀστέρων τὴν ὑπόγειον (comp.) φθορὰν ἐνεχθέντας A: ἀστέρας τὴν ἀπόγυον φορὰν ἀνεχθέντες B (recte N) || 19 ὁμοίως AB || τοῖς σώμασι καὶ τοῖς σχήμασιν, εἰσὶ δὲ ABN || 20 καὶ ante κατὰ om. B || 21 χρόνους παραθεοῦ BN: cf. v. 22

22 hoc caput continuant priori BN cf. ad v. 21 || 22 κατ' ἀργὴν B: respicit c. 16 p. 608, 16 sqq. cf. Prol. p. 243 || λέγονται B

τοὺς μὲν τῶν πρότερον πεφιλοσοφηκότων εὕροιμεν ⟨ἂν⟩ θεοὺς ἡγνοηκότας, ὥσπερ Διαγόραν τὸν Μήλιον καὶ Θεόδωρον τὸν Κυρηναῖον καὶ Εὐήμερον τὸν Τεγεάτην· οὐ γὰρ εἶναι θεοὺς εἰπεῖν τετολμήκασιν. ἔοικε δὲ ταύτην τὴν ὑπόληψιν Εὐριπίδης † ἐπὶ θεοὺς διὰ δέος τῶν Ἀρεοπαγιτῶν ἐκκαλυμένον τοῦτο δι' ἕξιν ὑφίστασθαι. Ἀναξαγόρας δὲ τὸν θεὸν ἐπὶ
251 τὸ διατεταχέναι τὸν κόσμον παρειληφὼς ἑστηκότα τὰ σώ|ματα κατ' ἀρχὰς διακεκοσμηκέναι φησί, νοῦν δ' εἶναι τὸν πεποιηκότα ταῦτα ὑπέλαβεν. Πλάτων δὲ οὐχ ἑστηκότα ταῦτα ὑπέθετο, ἀτάκτως δὲ κινούμενα ὑπὸ τοῦ θεοῦ εἰς τάξιν ἦχθαι καὶ τοῦ προσήκοντος μετειληφέναι. Θαλῆς δὲ νοῦν τοῦ κόσμου τὸν θεὸν ἡγήσατο. Ἀναξίμανδρος δὲ τοὺς ἀπείρους οὐρανοὺς θεοὺς εἶναι νομίζει. Δημόκριτος δὲ νοῦν ἐν πυρὶ σφαιροειδεῖ τὴν τοῦ κόσμου ψυχὴν ὑπολαμβάνει. Πυθαγόρας δὲ τῶν ἀρχῶν τὴν μονάδα θεὸν καὶ τὸ ἀγαθὸν ᾠήθη, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς. τὴν δ' ἀόριστον δυάδα μόνην τὸ κακόν, περὶ ἣν ἐστιν ὁ ὁρατὸς κόσμος. καὶ Πλάτωνι μὲν τοῦτο δοκεῖ τὸν θεὸν ἀμιγῆ πάσης ὕλης καὶ μηδενὶ παθητῷ συμπεπλεγμένον. Ἀριστοτέλης δὲ τὸν ἀνωτάτω θεὸν εἶδος χωριστὸν ἐπιβεβηκότα τῇ σφαίρᾳ τοῦ παντός· ὅθεν ἐστὶν αἰθέριον σῶμα τὸ μέγιστον ὑπ' αὐτοῦ νομιζόμενον, διηρημένον κατὰ τὰς σφαίρας [διαιρέσεις] τῇ μὲν φύσει ἡμῶν συναφεῖς, τῷ δὲ λόγῳ κεχωρισμένας· ὥστ' εἶναι ζῷον
252 σύνθετον ἐκ σώματος καὶ θεότητος καὶ τὸ μὲν * αἰθέριον, | κινούμενον, κυκλοφορητικόν, τὴν δὲ ψυχὴν λόγον ἀκίνητον, αἴτιον τῆς κινήσεως κατ' ἐνέργειαν. Οἱ Στωικοὶ δὲ τὸν θεὸν πῦρ ἔντεχνον ἢ πνεῦμα νομίζουσιν, ὁδῷ βαδίζον ἐπὶ κόσμου γένεσιν, ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους, καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίνεσθαι, καὶ διήκειν δι' ὅλου τοῦ κόσμου τὰς προσηγορίας μεταλαμβάνον [τε] κατὰ τὰς τῆς ὕλης δι' ἃς κεχώρηκε παραλλάξεις. θεοὺς δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας καὶ τὴν γῆν

---

1 τοὺς μὲν τῶν προτέρων φιλοσοφηκότων εὕροιμεν A: τοὺς τὸ πρότερον φιλοσοφήσαντας εὕρομεν B: correxi addito ἄν || 2 ὡς περιαγόραν τὸν ἥλιον A: ὥσπερ ἀγόραν τὸν ἥδιον BN: correxi || εὑῆρον τὸν αἰγεάτην B || ἔοικε δὲ ταύτης τῆς ὑπολήψεως Εὐριππίδης ἐπὶ θεοῖς δ' ἴδε τῶν ἀρεοπαγιτῶν ἐκκαλυμ' (superscr. o) τοῦτο δι' ἕξιν ὑφίστασθαι A: ἔοικε ταύτην τὴν ὑπόληψιν εὐριπίδης ἐπὶ θεούς· δεῖ δὲ τὸν ἀρεοπαγήτην ἐκκαλούμενον τοῦτο δι' ἕξιν ὑφίστασθαι B: suspicor talia ἔοικε δὲ ταύτην τὴν ὑπόληψιν Εὐρ. περὶ θεοῦ διὰ ὃ. τ. Ἀ. ἐγκεκαλυμμένος τὴν αὐτοῦ δόξαν ὑφίστασθαι || 5 ἀγορὰν δὲ τῶν θεῶν AB: correxi || 6 διατετακέναι AB: correxi || παρειληφό (superscripsit τ) A: παρειληφότα B || ἔστι κατὰ A: ἔτι κατὰ B: corr. Usener || ἀρχὴν B || 7 φησὶν οὐδ' εἶναι AB: correxi || 8 οὐ κεκληκότα A: οὐ κε . . . . . B || ὑπέλαβε repetitum ex v. 7 B || τοῦ ante θεοῦ om. B || 9 μετέλαβε B || 10 δὲ καὶ B || ἀπείρους νοῦς (ex οὐνοὺς corruptum) ABN || 11 σφαιροειδῆ B || 12 τῶν ἀρχόντων μονάδα A || 13 εἴ τις ἐστὶν εἴτινος ἐστὶν ἢ τοῦ ἑνὸς φύσις A [εἴτινος ἐστὶν est varia lectio textui inlata]: εἴ τινος ἐστὶν ἡ τοῦ ἑνὸς φύσις B || 14 μόνην postquam δαι praecedente δα syllaba omissum est ex δαίμονα fictum || ἀόρατος B || 15 μὲν om. A || παθητῷ ex πάθει τῷ correctum B πάθει A || 16 ἀνώτατον B || εἰδὼς B || ἐπιβεβηκός A || 17 ἐστὶν om. B || μέγιστον AB depravatum ex Plut. πέμπτον || 18 σφετέρας διαιρέσεις A: αὐτοῦ διαιρέσεις B || συναφθεῖς AB || 19 κεχωρισμένος B: κεχωρισμένον A || 20 intercidit σῶμα || 21 λόγῳ B || 22 οἱ et δὲ om. A || 23 ἐνπεριειληφὼς A || σωματικοὺς AB || 24 καθ' ὡς B || μεταλαμβάνον τε B: μεταλαμβάνων τε A || 25 κεχώρισται πάσας ἀλλάξεις B || 26 δὲ om. B || καὶ τὸν κόσμον habet loco καὶ τὴν γῆν B

εἶναι νομίζουσιν, τὸ δὲ ἀνώτατον πάντων τὸν νοῦν εἶναι, τὸν θεόν. Ἐπίκουρος δὲ ἀνθρωποειδεῖς εἶναι τοὺς θεούς, λόγῳ δὲ πάντας θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως· ὁ δὲ αὐτὸς τέτταρας φύσεις κατὰ γένος ἀφθάρτους * * * ὁμοιότητας. αὗται λέγονται καὶ ὁμοιομέρειαι καὶ στοιχεῖα τῷ αὐτῷ.

36 Περὶ ἡρώων καὶ δαιμόνων. [Plut. I 8 2. 3] 253

Θαλῆς μὲν καὶ Πλάτων καὶ Πυθαγόρας καὶ πρὸς τούτοις οἱ Στωικοὶ γιγνώσκουσιν ὁμοίους εἶναι καὶ τούτους οὐσίας ψυχικάς. τοὺς δ' ἥρωας ψυχὰς κεχωρισμένας τῶν σωμάτων, τὰς μὲν ἀγαθὰς τῶν τὸν βίον διαγαγόντων ἄριστα ἀνθρώπων, κακὰς δὲ τῶν πονηρῶν. Ἐπίκουρος δὲ οὐδέτερον τούτων συγκεχώρηκεν.

37 Περὶ χρόνου. [Plut. I 21 1. 2. 3] 259

Τὸν χρόνον εἶναι Πυθαγόρας ὑπείληφε τὴν σφαῖραν τοῦ περιέχοντος. Πλάτων δὲ διάστημα τῆς τοῦ κόσμου κινήσεως. Ἐρατοσθένης δὲ τὴν τοῦ κόσμου πορείαν.

38 Περὶ οὐσίας χρόνου. [Plut. I 22 7. 1. 8. 9] 260

Τοῦ δὲ χρόνου τὴν οὐσίαν οἱ Στωικοὶ ἡλίου τὴν κίνησιν νομίζουσιν. Πλάτων δὲ τὴν πορείαν τούτου. καὶ τινὲς μὲν ἀγένητον τὸν χρόνον εἶναι, Πλάτων δὲ γενητόν.

39 Περὶ γενέσεως καὶ φθορᾶς. [Plut. I 24 1. 2. 3]

Οἱ περὶ Μέλισσον καὶ Ζήνωνα τὸν Ἐλεάτην καὶ Παρμενίδην γένεσιν καὶ φθορὰν ἀνῃρήκασιν ἀκίνητον εἶναι τὸ πᾶν ὑπολαβόντες. Ἐμπεδοκλῆς δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐκ οἰκείως. οὐ γὰρ κατὰ ποιὰν ἀλλοίωσιν, ἀλλὰ κατὰ παράθεσιν καὶ συναθροισμὸν γίνεσθαι τὰ πάντα νομίζουσιν. Πυθαγόρας δὲ καὶ

---

1 ἐπίκουροι BN || 2 λέγω δὴ πάντες θεωρητοὺς A: λέγουσι πάντας καὶ θεωρητοὺς B || 3 λεπτομερῆ B || οὗτος B: οὕτω A: correxi || 4 intercidit τάσδε τὰ ἄτομα τὸ κενὸν τὸ ἄπειρον τὰς || ἀφθάρτους τ′ μ′ ὁμοιοτα αὐτῶ λέγονται καὶ ὁμοιο A: ἄφθαρτον ὁμοιότητα αὐτὰ λέγονται καὶ ὁμοιομερῆ B || 5 καὶ τῶ αὐτῶ AB

8 γιγνώσκουσιν om. B || ὁμοίους AB: num δαίμονας? || οὐσίαις φυσικαῖς AB || 9 τὰς μὲν ἀγαθὰς om. B || 10 διαγόντων B || 11 οὐδετέρους A || εἶναι post τούτων inserit A

14 δὲ ante τὴν om. B || 16 titulus deest BN || 17 δὲ om. A || 18 ταύτην A

22 εἰρήκασιν AB || 23 λεπτῶν A || 24 σύγκρισιν μὲν καὶ διάκρισιν AB sed vera lectio latet in διακρίσεις καὶ quod mox errore post γενέσεις δὲ καὶ in AB iteratur || 25 φθορά A

ὅσοι παθητὴν ⟨τὴν⟩ ὕλην ὑποτίθενται, κυρίως γένεσιν καὶ φθορὰν λέγουσι γίγνεσθαι· ἐκ γὰρ ἀλλοιώσεως καὶ τροπῆς στοιχείων καὶ διαλύσεως * * *

261 **40** Περὶ ἀνάγκης. [Plut. I 25 1. 2. 3. 5]

Τὴν ἀνάγκην Θαλῆς ἰσχυροτάτην εἶναί φησι. κρατεῖν γὰρ αὐτὴν τοῦ παντός. Πυθαγόρας δὲ καὶ περικεῖσθαι τῷ κόσμῳ τὴν ἀνάγκην ὑπολαμβάνει. Παρμενίδης δὲ καὶ Δημόκριτος πάντα κατὰ ἀνάγκην συμβαίνειν εἰρήκασιν· εἶναι δὲ τὴν αὐτὴν εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν. Πλάτων δὲ τὰ μὲν εἰς πρόνοιαν, τὰ δὲ εἰς ἀνάγκην ἀνάγεται.

41 ⟨Περὶ⟩ τῆς οὐσίας. [Plut. I 26 1. 2. 3]

Τῶν ἀρχῶν καὶ τῶν στοιχείων αἰτίαν χρηστικὴν τὴν ἀνάγκην Ἐμπεδοκλῆς ἡγεῖται. Δημόκριτος δὲ τὴν ἀντιτυπίαν καὶ φορὰν καὶ πληγὴν τῆς ὕλης. Πλάτων δὲ ὁτὲ μὲν τὴν ὕλην, ὁτὲ δὲ τὴν τοῦ ποιοῦντος πρὸς αὐτὴν σχέσιν.

42 Περὶ εἱμαρμένης. [Plut. I 28 1. 2. 3. 4. 5]

Ἡράκλειτος οὐσίαν εἱμαρμένης λόγον διὰ παντὸς διήκοντα. ἡ δὲ
262 εἱμαρμένη ἐστὶ τὸ αἰθέριον σῶμα, σπέρμα τῆς | τῶν πάντων γενέσεως. Πλάτων λόγον ἢ νόμον αἴδιον τῆς τοῦ παντὸς φύσεως. Χρύσιππος δύναμιν πνευματικήν, τάξιν τοῦ παντὸς διοικητικήν. καὶ πάλιν ἐν τοῖς Ὅροις λέγει τὴν εἱμαρμένην, καθ' ἣν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα γίνεται, τὰ δὲ γενησόμενα γενήσεται. οἱ δὲ ἄλλοι Στωικοὶ εἱρμόν. Ποσειδώνιος δὲ τρίτον ἀπὸ Διός· πρῶτον γὰρ εἶναι τὸν Δία, εἶτα τὴν φύσιν, εἶτα τὴν εἱμαρμένην.

43 Περὶ τύχης. [Plut. I 29 1. 7]

Πλάτων αἰτίαν ἐν προαιρετικοῖς κατὰ συμβεβηκὸς παρακολούθημα. |
263 Ἀναξαγόρας δὲ καὶ οἱ Στωικοὶ αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ. καὶ τὰ μὲν εἶναι κατὰ ἀνάγκην, τὰ δὲ καθ' εἱμαρμένην, τὰ δὲ κατὰ προαίρεσιν, τὰ δὲ κατὰ τύχην, τὰ ⟨δὲ⟩ κατὰ τὸ αὐτόματον.

---

1 τὴν om. AB || 2 ἐκ γὰρ Plut.: καὶ περὶ A. καὶ —διαλύσεως om. B || intercidit ταῦτα γίγνεσθαι 5 περιθεὶς A [comp.] B || ὑπολαμβάνειν A || 8 ἀνέχεσθαι AB

9 περὶ om. AB qui continuant hoc caput || 12 ὁτὲ μὲν om. B || τὴν ὕλην ποτὲ μὲν ..... [spatium VI litter.] ποτὲ δὲ τοῦ B

16 τῆς πάντων γενέσεως. αὐτὴν εἶναι ὁ B || 17 λόγον scripsi: λέγειν AB || νόμον δι' ὃν AB || 19 λέγειν A || 21 τρίτος B || μὲν εἶναι B

24 προαιρετικῷ B || 25 ἀνθρωπίνων A: ἀνθρωπίνοις B || λογισμοῖς B || 27 τὰ δὲ καθ' εἱμαρμένην om. BN || 28 δὲ addidi

44 Περὶ κόσμου. [Plut. II 1 1. 2. 3. 7]

Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν κόσμον ἐκ τῆς ἐν αὐτῷ τάξεως. Θαλῆς ἕνα τὸν κόσμον. Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὁ τούτου καθηγητὴς Λεύκιππος ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κενῷ. Ἐμπεδοκλῆς δὲ τὸν τοῦ ἡλίου ὁρόμον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου. Οἱ Στωικοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον· τὸ μὲν γὰρ ἅπαν εἶναι σὺν τῷ κενῷ ἀπείρῳ, ὅλον δὲ χωρὶς τοῦ κενοῦ εἶναι * * * τὸ ὅλον καὶ ⟨τὸν⟩ κόσμον.

45 Περὶ σχήματος. [Plut. II 2 1. 3] 264

Οἱ μὲν Στωικοὶ τὸν κόσμον σφαιροειδῆ, ἄλλοι κωνοειδῆ, ἄλλοι κυκλοειδῆ. Ἐπίκουρος ἐνδέχεσθαι τούτων ἕκαστον.

46 Εἰ ἔμψυχος ὁ κόσμος. [Plut. II 3 1. 2. 4]

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχόν τε τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. Δημόκριτος δὲ καὶ Ἐπίκουρος ὅσοι τὸ αὐτόματον εἰσάγουσιν, οὐδέτερον τούτων συγχωροῦσι, φύσει δέ τινι ἀλόγῳ διοικεῖσθαι. Ἀριστοτέλης οὔτε ἔμψυχον εἶναι ὅλον δι' ὅλου ⟨οὔτε⟩ αἰσθητὸν οὔτε προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια τούτων πάντων μετέχειν. σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικούς, τὰ δὲ περίγεια μηδενὸς τούτων μετειληφέναι μήτε προηγουμένως μήτε κατὰ συμβεβηκός.

47 Εἰ ἄφθαρτος ὁ κόσμος. [Plut. II 4 1. 2. 10. 12] 265

Τὸν Πυθαγόραν καὶ Πλάτωνα ὑπὸ θεοῦ γεγονέναι τὸν κόσμον καὶ πάντας τοὺς διαδεδεγμένους τούτους ὑπολαμβάνειν εἰρήκασιν. καὶ εἶναι μὲν ὅσον ἐπὶ τῇ φύσει φθαρτόν, αἰσθητὸν γὰρ ὑπάρχειν, οὐ μὴν φθαρησόμενον προνοίᾳ τοῦ πεποιηκότος. Ἐπίκουρος δὲ καὶ οἱ Στωικοὶ φθαρτὸν νομίζουσιν, ὅτι γενητός. Ἀριστοτέλης δὲ τὸ ὑπὸ τὴν σελήνην μέρος παθητὸν καὶ φθαρτόν, ἐν ᾧ καὶ περίγεια.

---

3 τῆς ἑαυτοῦ B || θαλάσσης A || 4 τούτων B (*eius* N) || 4 Λεύκιππος pro Metrodoro est inventum Galeni || 5 δὲ om. A || 6 διαφέρουσι τὸ πῦρ B || 7 ἀπόρω A: ἀπόσω B || 8 τὸ ὅλον Plut.: πόλον AB || τὸν om. AB

9 inscr. om. BN || 10 τὸν om. B || σφαιροειδεῖ A || ἄλλοι κωνοειδῆ om. BN || κ.ν.ειδῆ A || 11 κυκλοειδῆ cf. Prol. p. 13 || ἐνδέχεται ABN || ἐνδέχεται usque ad Ἐπίκουρος v. 14 bis scripsit A

12 inscr. om. BN || 13 τε om. B || 15 φύσει δὲ γίνεται ἀλλ' ὅπερ AB || οὐ τὸν ἔμψυχον A: ἔμψυχον (οὔτε om.) BN || 16 post ὅλου om. οὔτε AB || αἰσθητὸν οὔτε A: αἰσθητὸν ὄντα B || 17 τούτου πάντα B || 18 περὶ γῆν A || 19 συμβεβηκῶς A

20 inscr. om. B (habet N) || 21 πυθαγόρα τε A || 22 διαδεδειγμένους B || 23 γὰρ om. A || 25 νομίζουσιν εἶναι καὶ γεννητόν BN || δὲ om. A || 26 ἐνὸν καὶ περίγεια A: om. B

265 **48** Πόθεν τρέφεται ὁ κόσμος. [Plut. II 5 1. 2. 3]

Ἀριστοτέλης· εἰ τρέφεται, φθαρήσεσθαι νενόμικεν, οὐδέτερον δὲ τούτων τῷ κόσμῳ συμβεβηκέναι. Πλάτων ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τρέφεσθαι τοῦτόν φησιν. Φιλόλαος ὁ Πυθαγόρειος διττὴν εἶναι τὴν τροφὴν ὑπέλαβεν· τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τὸ δ' ἐξ ὕδατος σεληνιακοῦ περὶ τοὺς ἀστέρας ἀποχεομένου.

266 **49** Ἀπὸ ποίου στοιχείου ἤρκται ὁ θεὸς κοσμοποιεῖν. [Plut. II 6 1—6]

Οἱ φυσικοὶ ἀπὸ γῆς ἤρχθαι λέγουσιν αὐτὸν καθάπερ ἀπὸ κέντρου. Πυθαγόρας δὲ ἀπὸ πυρός. Διοκλῆς τὸν μὲν αἰθέρα πρῶτον διακριθῆναί φησι, δεύτερον δὲ πῦρ, ἐφ' ᾧ γῆν ἐξενηνέχθαι, εἶτα ὕδωρ, ἐξ οὗ ἀναθυμιαθῆναι τὸν ἀέρα. γενέσθαι δὲ τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ τοῦ πυρός. Πλάτων δὲ ὁρατὸν γεγονέναι τὸν κόσμον, ὃν γίγνεσθαι πρὸς παράδειγμα τοῦ νοητοῦ. τοῦ δὲ ὁρατοῦ προτέραν μὲν τὴν ψυχήν, μετ' αὐτὴν δὲ τὸ σωματοειδὲς γεγονέναι ἐκ τοῦ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. Πυθαγόρας σώματα τῶν στερεῶν ὠήθη, ἅπερ καλεῖ μαθηματικά. ἐκ μὲν γὰρ τοῦ κύβου γεγονέναι τὴν γῆν φησιν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου * * * τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν. Πλάτων δὲ συμφέρεται καὶ ἐν τούτοις τῷ Πυθαγόρᾳ.

267 **50** Περὶ τάξεως τοῦ κόσμου. [Plut. II 7 1. 4. 6]

Παρμενίδης στεφάνους εἶναι πεπλεγμένους πρὸς ἀλλήλους τὸν μὲν ἐκ τοῦ ἀραιοῦ, τὸν δὲ ἐκ τοῦ πυκνοῦ· καὶ τὸ περιέχον δὲ τὸ πᾶν στοιχεῖον δίκην στεφάνου στερεοῦ εἶναι, πρῶτον πῦρ, εἶτα αἰθέρα, μεθ' ὃν ἀέρα μεθ' ὃν ὕδωρ. Ἐμπεδοκλῆς δὲ μὴ διὰ παντὸς ἑστῶτας μηδὲ ὡρισμένους τόπους τῶν στοιχείων ὑπείληφεν, ἀλλὰ πάντα τῶν ἄλλων ἀντιλαμβάνειν.

---

1 tit. om. B || 2 φθαρήσεται B || 3 τούτω A: om. B || κατὰ A: τὴν B || 4 φησίν οἱ πυθαγόριοι B || τὴν om. A || 5 ὑπέλαβον B || σεληνικοῦ A || 6 ὑπεχομένως B: ὑπερχόμενον A

7 ἀπὸ—8 οἱ φυσικοὶ om. B (tit. est in N) || 8 αὐτὸν καθάπερ οἱ ..... πυθαγόρας B || 9 διοκλῆς ABN pro Ἐμπεδοκλῆς nescio cuius errore || μὲν τὸν αἰθέρα B || 10 γῆ ἐξενήνεκται A || 11 ἀέρα A: αἰθέρα BN || 12 ἥλιον] πλεῖον A: πλείονα B || ἣν γίγνηται A || 13 προτέραν B: πρότερον A || 14 μετὰ δὲ τὸ A || τοῦ σώματος τὸ εἶδος AB || 15 δὲ om. B || ante σώματα fortasse ε' intercidit || 16 κύκλου BN || 17 φασί A || ἑκταέδρου B: ὀκτέδρου A || 18 δὲ om. B || 19 καὶ om. B || τούτω A

20 ἕξεως A: titulum om. B || 21 τὴν μὲν ἐκ τοῦ A (unde fortasse olim στεφάνας—πεπλεγμένας lectum concludas): τὸν ὑετοῦ B || 22 ἀραιὸν B || τὴν δὲ A || 23 στεροῦ A || πρώτω πυρὶ μεθ' οὗ αἰθέρα εἶτα ἀέρα μεθ' οὗ ὕδωρ A: recte nisi quod μεθ' οὗ ἀέρα καὶ ὕδωρ B || 24 μὴ A: μηδὲ B || ἑστῶτας εἶναι A || 25 ὑπέλαβε B || πάντ' A: πάντων τῶν B || ἄλλων AB || ἀντιλαμβάνειν A: ὑπολαμβάνειν B

51 Τίς ἡ αἰτία τοῦ τὸν κόσμον κλιθῆναι. [Plut. II 8 1. 2] 268

Διογένης καὶ Ἀναξαγόρας μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῷα ἐκ τῆς γῆς συμφῦναι, τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν κλιθῆναι ἴσως ὑπὸ προνοίας, ἵνα τινὰ μὲν ἀοίκητα γένηται, τινὰ δὲ οἰκητὰ κατὰ ψῦξιν καὶ ἐκπύρωσιν. Ἐμπεδοκλῆς τοῦ πυρὸς εἴξαντος τῇ τοῦ ἡλίου ὁρμῇ ἐπικλῖναι τὰς ἄρκτους καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι.

52 Περὶ τοῦ ἐκτός. [Plut. II 9 1. 2. 4] 268

* * * ἐκτὸς εἶναι τοῦ κόσμου, εἰς ὃ ἀναπνεῖν τὸν κόσμον καὶ ἐξ οὗ. οἱ δὲ Στωικοὶ εἰς ὃ ἀναπνεῖν μόνον. Πλάτων δὲ μήτε ἐκτὸς εἶναι τοῦ κόσμου μήτε ἐντὸς κενόν, ἐκτὸς δὲ μικρόν τι εἰς ὃ ἀναπνεῖν.

53 Τίνα δεξιὰ τοῦ κόσμου. [Plut. II 10 1. 2] 269

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου ἔφασαν εἶναι τὰ ἑῷα, ἀφ' ὧν ἀρχὴν εἶναι τῆς κινήσεως, ἀριστερὰ δὲ τὰ ἑσπέρια. Ἐμπεδοκλῆς δὲ δεξιὰ εἶναι τὰ κατὰ τῶν θερινῶν τροπικῶν, ἀριστερὰ δὲ τὰ κατὰ τῶν χειμερινῶν.

54 Περὶ οὐρανοῦ. [Plut. II 11 1. 2. 3—5] 269

Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτην γῆν εἶναι. Ἐμπεδοκλῆς δὲ στερέμνιον ὑπάρχειν τὸν οὐρανὸν οἴεται ἐξ ἀέρος παγέντος ὑπὸ πυρὸς κρυσταλλοειδοῦς, τό τε πυρῶδες καὶ τὸ ἀερῶδες ἑκάτερα τὰ ἡμισφαίρια περιέχειν. Ἀριστοτέλης ἐκ πέμπτου σώματος πύρινον εἶναι τὸν οὐρανὸν ἐκ θερμοῦ καὶ ψυχροῦ συνεστῶτα.

55 Περὶ διαιρέσεως οὐρανοῦ. [Plut. II 12 1. 2] 269

Θαλῆς [τὸν οὐρανὸν οὐ] μεμερίσθαι τὴν τοῦ παντὸς σφαῖραν εἰς κύκλους τινὰς | προσαγορευομένας ζώνας, καλεῖσθαι δὲ αὐτῶν τὸν μὲν ἀρκτικὸν καὶ ἀει- 270

1 ἡ om. A || τοῦ τοῦτον κοῖλον B || κλιθῆναι AB || 2 Διογένης δὲ B || 3 ζῷα om. B || συμφῆναι B || τοῦ κόσμου AB || 4 κριθῆναι [ρ corr. ex λ] A et B || 5 ἐμπεδοκλῆς δὲ B || τῇ τοῦ πλείου AB || 6 τὰς B: τοὺς A || μὲν om. B

8 inscr. om. B (hab. N) || 9 εἰθ' ἀναπνεῖν A: εἰς τ' ἀναπνεῖν B || post οὗ spatium v litter. relinquit B || 10 itemque 11 εἰθ' ἀναπνεῖν A: εἰσ τ' ἀναπνεῖν B || μήτε ἐκ τοῦ A || 11 μικρόν fort. ἄπειρον || τι om. B

12 inscr. om. B (habet N) || 14 ἔφησαν B || εἶναι om. B

19 τὸν οὐρανὸν ὑπάρχειν B || καὶ ὑπὸ BN || 21 ἐκ A: δὲ BN

23 διαίρεσις οὐρανοῦ omisso περὶ B || 24 τὸν οὐρανόν interpolatum est, quo intruso καὶ οἱ ἀπ' αὐτοῦ excidisse videtur, unde οὐ ante μεμερίσθαι in codd. servatum est || τὰς τ. π. σφαίρας A || κυκλοειδῆ compendiose A || 25 αὐτὸν A || ἀφανῆ AB

φανῆ, τὸν δὲ τροπικὸν θερινόν, τὸν δὲ χειμερινὸν τροπικόν * * * ἀφανῆ. λοξὸν δὲ τοῖς τρισὶ μέσον τὸν καλουμένον ζῳδιακὸν ὑποβεβλῆσθαι. Πυθαγόρας δὲ πρῶτος ἐπινενοηκέναι λέγεται τὴν λόξωσιν τοῦ ζῳδιακοῦ κύκλου, ἣν Οἰνοπίδης ὁ Χῖος ὡς ἐπίνοιαν ἰδίαν σφετερίζεται.

270 **56** Τίς ἡ οὐσία τῶν πλανητῶν καὶ ἀπλανῶν. [Plut. II 13 1.2.3.12.14.15.16] 5

Θαλῆς ὑπολαμβάνει γεώδη μὲν εἶναι τὰ ἄστρα, ἔμπυρα δέ. Ἐμπεδοκλῆς δὲ πύρινα μόνα. Ἀναξαγόρας δὲ τὸν περιχείμενον αἰθέρα ἀέρα πύρινον ᾠήθη, τῇ δὲ εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτραν ἀπὸ τῆς γῆς καὶ καταφλέξαντα ταύτην ἠστερικέναι. Διογένης δὲ κισηροειδῆ τὰ ἄστρα λέγει, διάπνοιαν ⟨δ'⟩ αὐτὰ νοεῖται κόσμου. Πλάτων δὲ ἐκ μὲν τοῦ 10
271 πλείστου μέρους πυρίνους εἶναι | τοὺς ἀστέρας ὑπολαμβάνει, μετέχοντας δὲ τῶν ἄλλων στοιχείων κόλλης τρόπον. Ξενοφάνης δὲ ἐκ νεφῶν πεπυρωμένων συνεστάναι τοὺς ἀστέρας ἡγεῖται, σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν ἀναζωπυρεῖσθαι νύκτωρ καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις. Ἡρακλείδης δὲ καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον εἶναι νομίζουσι γῆν περιέχοντα καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ ἀέρι. ταῦτα δὲ τὰ δόγματα ἐν ἐνίοις Ὀρφικοῖς φέρεσθαι λέγουσι κοσμοποιοῦσι τῶν ἀστέρων ἕκαστον. Ἐπίκουρος δὲ οὐδὲν ἀπογιγνώσκει τούτων ἐχόμενος τοῦ ἐνδεχομένου.

56a ⟨Περὶ σχημάτων ἀστέρων.⟩ [Plut. II 14 1. 2. 3]

Οἱ Στωικοὶ σφαιρικοὺς τοὺς ἀστέρας καθάπερ τὸν κόσμον οἴονται καὶ ἥλιον καὶ σελήνην. Κλεάνθης κωνοειδεῖς. Ἀναξιμένης ἥλιον δίκην καταπεπηγέναι τῷ κρυσταλλοειδεῖ. Ἔνιοι πέταλα πύρινα νομίζουσιν εἶναι ὥσπερ ζωγραφήματα τοὺς ἀστέρας.

272 **57** Περὶ τάξεως. [Plut. II 15 1.3.4.5.6]

Ξενοφάνης κατ' ἐπιφάνειαν οἴεται κινεῖσθαι τοὺς ἀστέρας. Δημό-

1 χειμερινὸν A: ἰσημερινὸν B || 2 τρισὶ μέρος τὸν κόσμον ἐν ᾧ ζωδιακὸν B: κόσμον (pro καλούμενον) etiam A: recte N || 3 πρῶτον B || λέγεται δὲ A || οἰωπίδης AB || ἰδεῖν AB || σφετερίζεσθαι B || hucusque N interpretationis selectam varietatem adnotavi

5 ἡ om. A || 6 Θαλῆς μὲν B || 8 τῇ δὲ — 10 νοεῖται κόσμου om. B || περιλύσεως A || 9 ταῦτα comp. A || ἱστοριωκέναι A || 10 δ' om. A || νοητῶν κόσμον A || μὲν ἐκ μὲν B || 12 μ΄
κόλλης] κο A: κόσμου B || 14 ἡμέραν ἡγεῖται A || καθάπερ καὶ B || 16 κοινὸν AB || εἶναι B: εἶπε A || 17 ἀπύρῳ B || ἐν ἐνίους ὀρφικούς B || 18 οὐδὲν ἀπογιγνώσκειν ἐπίκουρος τούτων A: recte B nisi quod οὐδὲν omittit

20 inscriptio deest AB fort. consilio scriptoris || 21 οἴονται ὁ ἥλιον A: οἴονται τὸν ἥλιον B || 22 τὴν σελήνην B || κλεάνθος κωνοειδῆ B || δίκη A || 23 καταπεπηγέναι B: καταπεπῆχθαι A || καὶ κρυσταλοειδεῖ A: καὶ κρυσταλλοειδεῖς B || 24 ὅσπερ A

25 inscript. et 26 Ξενοφάνης—ἀστέρας om. B

κριτος τὰ μὲν ἀπλανῆ πρῶτον, μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ' οἷς ἥλιον καὶ σελήνην. Πλάτων ⟨μετὰ⟩ τοὺς ἀπλανεῖς πρῶτον λέγει φαίνεσθαι ⟨τὸν⟩ τοῦ Κρόνου, δεύτερον φαέθοντα ⟨τὸν⟩ τοῦ Διός, τρίτον πυρόεντα τὸν τοῦ Ἄρεως, τέταρτον φωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλβοντα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην. τῶν μαθηματικῶν τινες μὲν, ὡς Πλάτων, τινὲς δὲ μέσον πάντων τὸν ἥλιον, μετὰ δ' αὐτὸν τὴν σελήνην.

58 Περὶ τῆς τῶν ἀστέρων κινήσεως. [Plut. II 16 1. 2. 7]

Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Κλεάνθης ἀπὸ ἀνατολῶν εἰς δυσμὰς φέρεσθαι τοὺς ἀστέρας νομίζουσιν. Ἀλκμαίων καὶ οἱ μαθηματικοὶ τοὺς ἀστέρας τοὺς πλανήτας ἀπὸ | δυσμῶν εἰς ἀνατολὰς ἀντιφέρεσθαι τῷ ἡλίῳ. Πλάτων καὶ οἱ μαθηματικοὶ ἰσοδρόμους εἶναι τὸν ἥλιον, τὸν φωσφόρον, τὸν στίλβοντα. 273

59 Πόθεν φωτίζονται οἱ ἀστέρες. [Plut. II 17 1]

Μητρόδωρος ἅπαντας τοὺς ἀστέρας τοὺς ἀπλανεῖς ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

60 Περὶ τῶν Διοσκούρων. [Plut. II 18 1. 2]

Ξενοφάνης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν περιλάμποντα. | Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους στιλβηδόνας εἶναι. 274

61 Περὶ ἐπισημασίας. [Plut. II 19 1]

Πλάτων τὰς ἐπισημασίας τὰς χειμερινὰς καὶ τὰς θερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολὰς γίνεσθαι.

62 Περὶ ἡλίου. [Plut. II 20 1. 2. 4. 6. 12. 13. 14]

Ἀναξίμανδρος τὸν κύκλον αὐτοῦ εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς ἁρματείῳ τροχῷ τὴν ἄψῖδα παραπλησίως | ἔχοντα, κοίλην καὶ πλήρη 275

---

1 ἀφανῆ AB ut saepius || 2 ἥλιος καὶ σελήνη A || μετὰ om. AB || πρῶτον B: om. A || λέγων A || 3 τὸν bis ante τοῦ om. AB || κριοῦ B || φάθοντα A: φαέθοντος B || 4 ἀέρος A || 5 ἡλίου A || σελήνης AB || μέν τινες B || 6 τινὲς δὲ om. B

9 ἀνατολῆς B || 9. 10 φέρεσθαι εἰς δυσμὰς B || 11 ἀνταναφέρεσθαι τὸν ἥλιον πρῶτον καὶ οἱ μαθ. A: φέρεσθαι τὸν ἥλιον πρῶτον καὶ οἱ μαθ. B || 12 εἰσόδρομον εἶναι τῷ ἡλίῳ B

16 προσλαμβάνεσθαι AB

17 διοσκόρων A || 18 νεφέλην A || 19 περιλάμποντα B: περιλάμποντας A [cf. Euseb.] || 20 μετὰ δέους om. B || στιλβιδόνα A

τ'

21 ἐπισημασιῶν B || 26 ἁμαρ A: ἁρμωτία B

πυρὸς κατὰ μέρος διὰ στενοῦ τὸ πῦρ ὡς δι' αὐλοῦ πρὸς ἡμᾶς ἐκπέμπεσθαι. Οἱ Στωικοὶ ἄναμμα νοερὸν ἐκ θαλάσσης. Πλάτων ἐκ πλείστου πυρός. Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Μητρόδωρος πέτρον ἢ μύδρον διάπυρον. Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ δεχόμενον τοῦ ἐκ κόσμου πυρὸς τὴν εὐαγίαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς, ὥστε τρεῖς εἶναι ἐν τῷ ἡλίῳ διαφοράς· τὸ ἐν τῷ οὐρανῷ πυρῶδες, τὸ ἀπ' αὐτοῦ πυροειδές, τρίτον τὴν ἀπὸ τούτου ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς. Ἐμπε-
276 δοκλῆς δύο ἡλίους, τὸ μὲν ἄριστον ἡμισφαίριον, | τὸ δὲ φαινόμενον ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ. Ἐπίκουρος γήινον κύκλωμα, κισηροειδῆ καὶ σπογγοειδῆ ταῖς κατατρήσεσιν ἐνημμένον. Ἡράκλειτος ἄναμμα, ἐν μὲν ταῖς ἀνατολαῖς τὴν ἔξαψιν ἔχοντα, τὴν δὲ σβέσιν ἐν ταῖς δυσμαῖς.

63 Περὶ μεγέθους ἡλίου. [Plut. II 21 1. 3. 5]

Ἀναξίμανδρος τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ, τὸν δὲ πόλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει ἑπτάκις καὶ εἰκοσαπλασίονα τῆς γῆς. Ἀναξαγόρας πολυπλάσιον τῆς γῆς. Ἐπίκουρος τοιοῦτον, οἷος φαίνεται, ἢ μικρῷ μείζον' ἢ ἐλάττω.

277 64 Περὶ σχήματος ἡλίου. [Plut. II 23 1. 2. 3. 6]

Ἀναξιμένης πλατὺν εἶναι τὸν ἥλιον οἴεται ὥσπερ οἷον πέταλον. Ἡράκλειτος φακοειδῆ ὑπόκυρτον. Οἱ Στωικοὶ ὥσπερ τὸν κόσμον καὶ τὰ ἄστρα. Ἐπίκουρος ἐνδέχεσθαι τὰ προειρημένα πάντα.

65 Περὶ τροπῶν ἡλίου. [Plut. II 22 1. 2. 3. 4. 5]

Ἀναξιμένης ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντιτύπου ἐξωθεῖσθαι τὰ ἄστρα. Ἀναξαγόρας ἀπὸ τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος * * * τῆς πυκνώσεως ἰσχυρότερον ποιεῖ. Ἐμπεδοκλῆς ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας κωλυόμενον μέχρι παντὸς εὐθυπορεῖν καὶ ὑπὸ τῶν τροπικῶν κύκλων εἰργόμενον. Διογένης ὑπὸ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψύχους σβέν-

---

2 νάμα A: πνεῦμα B || 3 μέτρον ἀμυδρὸν AB || 4 φιλόλογος B || γαλαγοειδῆ B || 5 εὐαγίαν cf. Iambl. protr. p. 360K. || 5 ἐν om. B || 6 ἀπὸ τοῦ A: ἀπὸ τοῦ οὐρανοῦ τ' B || 7 ἀνάκλυσιν A || 8 ἀνταυ A: ἀντ' αὐτοῦ B || 9 γῆς ἴδιον AB || 10 κατατρώσεσιν B || 11 ἄναμα A: ἀνάμματα B || ἔχοντα sic AB ut ad ἥλιον referatur cf. κισηροειδῆ καὶ σπογγοειδῆ (sic AB) v. 9

15 εἰκοσαπλασίω A || Ἀναξαγόρας—γῆς om. B || 16 πολυπλάσιον A: πολλαπλασίονα B || μικρὰ B || 17 μεῖζον A: μείζονα B || ἢ ἐλάττω A: om. B

20 ὑπὲρ τὸν B || 21 δέχεσθαι A: δέχεται B. sed δέχεσθαι falso loco post ἀντιτύπου v. 23 || τὰ προειρημένα om. B

23 ἀντιτύπου δέχεσθαι B || 24 ταῖς om. B || Plutarchea ὃν αὐτὸς συνωθῶν ἐκ casu intercidерunt || 25 αὐτ$^{\alpha}$ A || 26 εὐθυδρομεῖν B || ὑπὸ τὸν τροπικὸν κύκλον A || 27 θερμοτάτῃ B

νυσθαι. Οἱ Στωικοὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς διιέναι τὸν ἥλιον· ὠκεανὸν δὲ καὶ τὴν θάλασσαν παρέχειν τῷ ἡλίῳ τροφὴν τὴν αὐτοῦ ὑγρότητα ἔχουσαν ἐν αὐτῷ καὶ τὴν γεώδη ἀναθυμίασιν.

66 Περὶ ἐκλείψεως ἡλίου. [Plut. II 24 1. 2. 4. 8] 278

Θαλῆς πρῶτος εἶπεν ἐκλείπειν τὸν ἥλιον τῆς σελήνης αὐτὸν ὑπερχομένης κατὰ κάθετον οὖσης φύσει γεώδους. Ἀναξίμανδρος τοῦ στόματος τῆς τοῦ πυρὸς διεκπνοῆς ἀποκλειομένου. Ξενοφάνης κατὰ σβέσιν τὴν ἔκλειψιν γίνεσθαι, ἕτερον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἐξάπτεσθαι. παρεισήγαγε δὲ καὶ ἔκλειψιν ἐντελῆ, ὥστε τὴν ἡμέραν ἀφανῆ εἶναι. Ἀρίσταρχος κατὰ τῆς γῆς σκιάζεσθαι τὸν δίσκον τοῦ ἡλίου.

67 Περὶ σελήνης. [Plut. II 25 1. 4. 5. 6. 9] 279

Ἀναξίμανδρος κύκλον εἶναι ἑκκαιδεκαπλασίονα τῆς γῆς. Ξενοφάνης δὲ εἶναι νέφος πεπυρωμένον. οἱ Στωικοὶ μικτὴν εἶναι τὴν σελήνην ἐκ πυρὸς καὶ γεώδους ᾠήθησαν. Πλάτων ἐκ πλείονος πυρός. Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διάπυρον ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας.

67a ⟨Περὶ μεγέθους.⟩ [Plut. II 26 1. 2]

Οἱ Στωικοὶ μείζονα τῆς γῆς νομίζουσι τὴν σελήνην ὡς καὶ τὸν ἥλιον. Παρμενίδης ἴσην τῷ ἡλίῳ καὶ ἐξ αὐτοῦ φωτίζεσθαι.

68 Περὶ σχήματος. [Plut. II 27 1. 2. 3] 280

Οἱ Στωικοὶ τὴν σελήνην σφαιροειδῆ ὡς καὶ τὸν ἥλιον νομίζουσιν. Ἡράκλειτος δὲ σκαφοειδῆ. Ἐμπεδοκλῆς δὲ δισκοειδῆ, ἄλλοι δὲ κυλινδροειδῆ. Σχηματίζεται δὲ ἡ σελήνη ἐπταχῶς· ὅτε γὰρ τίκτεται, δοκεῖ φαίνεσθαι μηνοειδής, ⟨εἶτα⟩ διχότομος, εἶτ' ἀμφίκυρτος, εἶτα πανσέληνος, εἶτα πάλιν ἐπαναχωροῦσα αὖθις γίνεται ἀμφίκυρτος, εἶτα διχότομος καὶ τὸ ὕστερον μηνοειδής, εἶτ' ἀφανὴς κατὰ τὴν καινήν. πλεῖστος γίνεται περὶ αὐτῆς λόγος. λέγεται τοῦτον σχηματίζεσθαι τὸν τρόπον σκιαζούσης ἑκάστοτε τῆς γῆς πρῶτον μὲν κατὰ τὸ μόριον ἑαυτῆς, ποτὲ δὲ κατὰ τὸ παντελὲς ὑπορρεούσης τῆς σελήνης εἰς τὸ κοῖλον τῆς γῆς.

1 διέναι A || 2 παρέχοντα τῶδε τροφὴν B || 3 αὐτοῦ ante ὑγρότητα A: om. B. sententiam non adsequor

5 πρῶτον AB || 6 Ἀναξίμανδρος — ἀποκλειομένου om. B || 7 πυρὸς διήκειν εἰς ἀποκλινομένου A || 9 ἐντελῶς B || 10 ὑπὸ γῆς B

12 ἑκκαιδεκαπλασίονα AB || 14 ἐκ om. B: εἰς A || 15 διὰ πυρὸς AB || ἔχων A || πεδία καὶ ὄρη om. B: πάσδια καὶ ὄρη A || 17 titulum om. AB

20 tit. om. B || 21 ὡς om. B || 23 τίκτεσθαι (supra scripto ται) φαίνεσθαι δοκεῖ B || 24 ⟨εἶτα⟩ om. AB || 28 κατὰ τὸ B: τὸ om. A || ὑπορεούσης B: ἀπορρεούσης A || 29 fort. εἰς τὸν κῶνον sc. umbrae

281 **69** Περὶ φωτισμοῦ σελήνης. [Plut. II 28 1. 5]

Ἀναξίμανδρος ἴδιον ἔχειν αὐτὴν φῶς εἴρηκεν, ἀραιότερον δέ πως. Θαλῆς δὲ ἀπὸ τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην.

70 Περὶ ἐκλείψεως σελήνης. [Plut. II 29 1. 4. 6]

Ἀναξίμανδρος μὲν ὑπέλαβε τοῦ στομίου τοῦ περὶ τὸν τροχὸν ἐμφραττομένου τὴν σελήνην ἐκλείπειν. | τῶν Πυθαγορείων δέ τινες κατ' ἀνταύγειαν καὶ ἀντίφραξιν τῆς τε γῆς καὶ τῆς ἀντίχθονος. Πλάτων δὲ καὶ Ἀριστοτέλης καὶ οἱ Στωικοὶ ἔτι δὲ καὶ οἱ μαθηματικοὶ τὰς μὲν μηνιαίας * συνοδεύουσαν αὐτὴν τῷ ἡλίῳ καὶ περιλαμπομένην ποιεῖσθαι, τὰς δὲ ἐκλείψεις σκιαζομένην ὑπὸ τῆς γῆς.

282 **71** Διὰ τί γεώδης φαίνεται ἡ σελήνη. [Plut. II 30 1. 2]

Οἱ Πυθαγόρειοι γεώδη φαίνεσθαι τὴν σελήνην οἴονται διὰ τὸ περιοικεῖσθαι ταύτην ὑπὸ μειζόνων ζῴων καὶ φυτῶν καὶ καλλιόνων. εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ' αὐτῆς ζῷα τῇ δυνάμει μηδὲν περιττωματικὸν ἀποκρίνοντα· καὶ τὴν ἡμέραν τοσαύτην εἶναι τῷ μήκει. Ἀναξαγόρας ἀνωμαλότητα τοῦ συγκρίματος διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες· παρα-
283 μεμῖχθαι δὲ τῷ πυρώ|δει τὸ ζοφῶδες.

72 Περὶ τῶν διαστημάτων τῆς σελήνης. [Plut. II 31 1. 2. 3]

Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τοῦ ἡλίου ἤπερ ἀπὸ τῆς γῆς. οἱ μαθηματικοὶ ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας τρεῖς καὶ ὀκτάκις μυριάδας, τὴν δὲ σελήνην τῆς γῆς ἀπέχειν σταδίων μυριάδας ἑβδομήκοντα ὀκτώ.

73 Περὶ ἐνιαυτοῦ. [Plut. II 32 1. 2. 3. 4]

Ἐνιαυτὸς μὲν ⟨Κρόνου⟩ ἐστὶν ἐτῶν τριάκοντα, Διὸς δώδεκα, Ἄρεος δέκα πέντε μηνῶν· σελήνης ἡμέραι τριάκοντα· τοσοῦτος γὰρ ὁ τέλειος. τὸν
284 δὲ μέ|γαν ἐνιαυτὸν οἱ μὲν ὀκταετηρίδα τίθενται, οἱ δὲ ἐννεακαιδεκαετηρίδα.

---

2 ἀριστερὸν δὲ πῶς AB

4 σελήνης om. A || 5 τοῦ ante περὶ om. B || 6 κατὰ αὐτάγγειαν A || 7 τε om. B || 9 deest ἀποκρύψεις || συνοδεύουσα τῷ ἡλίῳ B || περιλαμβανομένην A: περιλαμβανομένη B || 10 σκιαζομένη B || ὑπὸ τὴν γῆν A

14 πεντεκαιδεκαπλάσια B: πεντεκαιδεκαπλασίονα A || αὐτὴν B || περιττώμα κοινὸν A: περίττωμά τι κοινὸν B || 15 ἀποκρίναντα AB || 16 περιμεμίχθαι A

18 τῶν om. B || 19 ὅπερ ἀπὸ γῆς B || 20 ὀκτωκαιδεκαπλασίονα B

24 Κρόνου om. AB || τριά..... διαδώδεκα B || ἄρεως A || 25 τοσοῦτον AB || 26 αἱ μὲν B || ὀκταετηρί AB || πείθον A: ἐπείθοντο B || αἱ δὲ B || ἐννεακαιδέκα AB

ἕτεροι δὲ ἐν τοῖς ἑξήκοντα ἑνὸς ⟨δέουσιν⟩. Ἡράκλειτος ἐκ μυρίων ὀκτακισχιλίων ἐνιαυτῶν ἡλιακῶν. Διογένης ἐκ πέντε καὶ * * * ἑπτά.

* * * † καὶ τῶν κέντρων καὶ τῆς σφαίρας τὴν γῆν νομίζουσι.

74 Περὶ τοῦ γαλαξίου κύκλου. [Plut. III 1 1—8]

Ὁ γαλαξίας κύκλος ἐστὶ νεφελοειδὴς ἐν μὲν τῷ ἀέρι διὰ παντὸς φαινόμενος, διὰ ⟨δὲ⟩ τὴν λευκόχροιαν ὀνομαζόμενος γαλαξίας. καὶ τῶν Πυθαγορείων τινὲς ἀστέρος εἶναι διάκαυσιν ἐκπεσόντος ἐκ τῆς ἰδίας ἕδρας, δι' οὗ περιέδραμε χωρίου γλαφυρώτερον αὐτὸ περικαύσαντος ἐπὶ τοῦ κατὰ Φαέθοντα ἐμπρησμοῦ [διὰ τῆς ἐκείνου παρόδου]. οἱ δὲ τὴν ἡλιακὴν ταύτῃ φασὶ κατ' ἀρχὰς γεγονέναι δίοδον. τινὲς δὲ τοῦτο μικρὰν εἶναι φαντασίαν τοῦ πλείονος οὐρανίου πυρὸς | πρὸς τὸν οὐρανὸν τὰς αὐγὰς ἀνακλῶντος· 285
ὅπερ ἐπὶ τῶν τῆς ἴριδος νεφῶν συμβαίνειν εἴωθεν. Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου καὶ τὸ τῆς δρόσου μῖγμα γαλακτοειδὲς ἀποτελεῖν χρῶμα. Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς κατὰ τόδε τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν τὰ ὑπὸ τὴν γῆν ὁ ἥλιος μὴ πάντα περιφωτίζῃ. Δημόκριτος παρὰ πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων εἶναι. Ἀριστοτέλης ὡσπερεὶ κόμην πυρὸς ὑπὸ τὸν ἀέρα καὶ τὸν τόπον πλανητῶν φαίνεσθαι. Οἱ Στωικοὶ τοῦ αἰθερίου πυρὸς ἀραιότητα ἀνώτερον τῶν πλανητῶν. Ποσειδώνιος πυρὸς σύστασιν.

75 Περὶ κομητῶν καὶ διαττόντων ἀστέρων. [Plut. III 2 1—3. 8—11]

Ἀπὸ Πυθαγόρου τινὲς μὲν ἀστέρα φασὶν εἶναι τὸν κομήτην τῶν οὐκ ἀεὶ μενόντων, διά τινος δὲ ὡρισμένου | χρόνου περιοδικῶς ἀνατελλόντων. 286

---

1 ἑνὸς—ἑπτὰ om. A || δέουσιν deest etiam in B || 2 ἑπτά reliquum est ex eis quae interierunt [cf. p. 364ª3—7] ἑξήκοντα καὶ τριακοσίων ἐνιαυτῶν τοσούτων ὅσων ὁ κατὰ Ἡράκλειτον ἐνιαυτός· ἄλλοι δὲ δι' ἑπτακισχιλίων ἑπτακοσίων ἑβδομήκοντα ἑπτά || 3 haec in AB corrupta supersunt ex Plutarchi libri tertii prooemio, cuius haec verba p. 364ª15—17 latent: τῆς γῆς, ἥντινα κέντρου τάξιν ἐπέχειν τῇ περιοχῇ τῆς σφαίρας νενομίκασιν

4 κύκλου om. A || 5 γαλάξιος AB || 6 δὲ om. AB || καὶ A: οἱ B || 7 ἀστέρων AB qui compendia hic non recte semper explicarunt || ἐκπεσόν (superscr. τ) A: ἐκπεσόντων B || 8 οὗ περίδραμε A: οὗπερ ἕδραμον B || αὐτὰ B: αὐτῶν A || περικαύσαντα AB || ἐπὶ τοῦ A: ἐν τῷ τοῦ B || 9 φαέθοντα A: φαέθοντος B || τὴν ἐκείνου πάροδον B: induxi glossema cf. v. 12 || γῆν ἡλιακὴν AB || ταύτην B: ταῦτα A || 10 δὲ καὶ B || 11 αὐτὰς A || ἀνακλῶντα AB || 12 ὅπερ—εἴωθεν om. B || μιτροδίων B || 13 versu intercepto (τοῦτον—πυκνοῦ καὶ p. 365ª8—10) ex ἀραιοῦ effictum est δρόσου || τὰ γαλακτοειδῆ ἀποτελεῖν σχήματα B: recte (nisi quod ἀποτελεῖ) A || 14 τόδε om. B: δὲ A || 15 ὑπὸ γῆν B || περιφωτίζει A || 16 περὶ AB || μικρῶν πολλῶν B || ἑτέρων AB || συμφωτιζόμενον B || 17 καὶ τὸν A: καὶ B || τρόπον AB || 18 οἱ Στωικοὶ—πλανητῶν deest in Plut. cf. Prol. p. 15 || 19 τάσιν AB

20 κομήτου A || διαττόντων B: ἀτολίτων A i. e. ἀττόντων quod perinde dici potuit cf. p. 630, 7 et Ach. is. in Ar. phaen. p. 158 D οἱ δὲ ἀπὸ τόπου εἰς τόπον μετερχόμενοι καλοῦνται ἄττοντες καὶ διάττοντες || 21 ἀπὸ om. A || τῶν κομητῶν AB || 22 ὁρισμένου A: περιορισμένου B || ἀνατέλων A: ἀνατέλλων B

ἄλλοι δὲ ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίαν ταῖς κατοπτρικαῖς ἐμφάσεσιν. Ἀναξαγόρας καὶ Δημόκριτος σύνοδον ἀστέρων δυοῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης δὲ τῆς ξηρᾶς ἐκ τῆς γῆς ἀναθυμιάσεως διὰ τὴν ἔμπυρον ἐπίτασιν. Στράτων ἄστρου φῶς [πεπληρωμένον] περιληφθὲν ψυχῇ τινι. Διογένης σημεῖον ἐπὶ τοῦ ἡ σημ᾽ ἐπισφαλῶς τινος εἶναι τοὺς κομήτας. Ἀναξαγόρας τοὺς καλουμένους ἅττοντας ἀπὸ τοῦ αἰθερίου πυρὸς σπινθῆρος δίκην καταφέρεσθαι καὶ παραυτίκα σβέννυσθαι. Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου
287 ἔμπτωσιν ὡς βέλος πολλάκις σπινθηρίζειν. Ξενοφάνης τὰ τοιαῦτα νεφῶν πεπυρωμένων σύστημα ἢ κίνημα εἶναι.

76 Περὶ βροντῶν καὶ ἀστραπῶν. [Plut. III 3 1. 3. 4. 12. 14. 15]

Ἀναξίμανδρος ἐκ τοῦ πνεύματος ὑπιόντος, ὅταν περιληφθὲν νέφει παχεῖ βιαζόμενον ἐκπέσῃ τῇ λεπτομερείᾳ καὶ κουφότητι, τότε ἡ μὲν ῥῆξις τὸν ψόφον ἀποτελεῖ, ἡ δὲ διαστολὴ μελανίαν τοῦ νέφους. Μητρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν θραύσει τὸν κτύπον ποιεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δ᾽ ὀξύτητι τῆς φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα κεραυνοβολεῖ. τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιίστησιν. Ἀναξαγόρας δὲ ὅταν τὸ θερμὸν εἰς ψυχρὸν ἐμπέσῃ (τοῦτο δέ ἐστιν αἰθέριον μέρος ⟨εἰς⟩
288 ἀερῶδες), τῷ μὲν ζόφῳ μελανίαν ἀποτελεῖ, τῷ | δὲ χρώματι τοῦ νεφώδους τὴν ἀστραπήν, τῷ δὲ πλήθει τοῦ φωτὸς τὸν κεραυνόν, τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα, τῷ δὲ νεφώδει τὸν πρηστῆρα. Οἱ Στωικοὶ βροντὴν μὲν κρουσμὸν νεφῶν, τὴν δὲ ἀστραπὴν ἔξαψιν ἐκ παρατρίψεως, κεραυνὸν δὲ σφοδροτέραν ἔλλαμψιν, πρηστῆρα δὲ νωχελεστέραν. Ἀριστοτέλης δὲ ἐξ ἀναθυμιάσεως πάντα τὰ τοιαῦτα συμβαίνειν· ὅταν οὖν ἐντύχῃ τῇ ὑγρᾷ, παραβιάζεται τὴν ἔξοδον, καὶ τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον τῆς βροντῆς γίνεσθαι, τῇ δ᾽ ἐξάψει τῆς ξηρότητος τὴν ἀστραπήν, πρηστῆρα δὲ καὶ τυφῶνα πλεονασμῷ τῆς ὕλης, ἣν ἑκάτερος αὐτῶν ἐφέλκεται· θερμότερος μὲν ὁ πρηστήρ, παχύτερος δὲ ὁ τυφών.

---

1 ἀνάκλησιν A || παραπλησίως || 2 κατοπτικαῖς B || 4 ἔμπυρον A: ἔπυρον B || ἐπίτασιν A: om. B spatio sex litt. relicto. Plut. διάπυρον σύστασιν || 5 πεπληρωμένον proximae vocis interpretamentum inclusi || ψυχῇ: apud Plut. νέφει πυκνῷ || sic A: Διογένης σημεῖον .... καὶ ἐπισφαλοῦς τινὸς εἶναι τ. κ. B, quae quid sibi velint non expedio || 7 ἅπτοντας AB || 9 ἔμπρησιν AB || βέλη B || σπινθηρίζει A

12 περιληφθῆ B || 13 ἐμπέσῃ AB || λεπτομερεῖ B || παχύτητι ante κουφότητι cuius varia lectio est B || ἡ μέρηξις A || 15 πυκνοτάτης B || 16 χρεσμῷ B || ὀξυτάτι B || 17 προσλαμβάνων B: προλαμβάνον A || 18 ἐμπρηστᾶ περὶ γῆς (π. γ. om. B) AB || 19 ἢ ψυχρὸν AB || εἰς addidi || 20 ζόφῳ AB: ψόφῳ τὴν βροντὴν ἀποτελεῖ Plut. p. 368a13. μελανίαν ad proxima pertinet, ubi Plut. τῷ δὲ παρὰ τὴν μελανίαν τοῦ νεφώδους χρώματι || 21 νέφους B || τὸ δὲ πολυσωματωτέρῳ (comp.) A: τῷ δὲ πολυσωματικῷ B || 22 νέφει B || οἱ om. A || 23 ἐκ — 24 ἔλλαμψιν om. A || 24 νωχελέστερον A || 25 πάντη ταῦτα B || 28 πλεονασμ᾽ A

77 Περὶ νεφῶν καὶ χιόνων. [Plut. III 4 1. 3. 5]

Ἀναξιμένης ἔφη συμβαίνειν παχυνθέντος ἐπὶ πλεῖον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι τοὺς ὄμβρους, [γίγνεσθαι] χιόνα δέ, ἐπειδὰν τὸ καταφερόμενον | ὕδωρ παγῇ ὑπὸ ψύξεως, χάλαζαν δέ, ὅταν τι 280
περισυλληφθῇ τῷ ὑγρῷ πνευματικόν. Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς συνίστασθαι τὰ νέφη. Ἐπίκουρος ἀπὸ τῶν ἀτόμων. στρογγυλοῦσθαι τὴν χάλαζαν καὶ τὸν ὑετὸν γίγνεσθαι ἀπὸ τῆς μακροτέρας φορᾶς διὰ τοῦ ἀέρος συμβαινούσης ἀποπληττόμενον.

78 Περὶ ἴριδος. [Plut. III 5 1. 3—10. 12]

Τῶν μεταρσίων παθῶν τὰ μὲν καθ' ὑπόστασιν γίγνεται οἷον ὄμβρος χάλαζα, τὰ δὲ κατ' ἔμφασιν οὐκ ἔχοντα σύστασιν ἰδίαν, ὥσπερ ὅταν καμπύλας γραμμὰς ὁρῶμεν, τὰ δὲ κατὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων (λεπτομερῆ γὰρ ταῦτα πάντα) καὶ καμπύλας δὲ γραμμάς, ὥσπερ τὰ καθ' ὕδατος | ὁρᾶται· κάμπτεται γὰρ πρὸς τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην ἡ 290
ὄψις. διὸ τὴν κώπην ἐν τῇ θαλάττῃ ὁρῶμεν κεκλασμένην. τρίτος δὲ τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα ὥσπερ τὰ κάτοπτρα. ἔστιν οὖν τὸ τῆς ἴριδος εἶδος τοιοῦτον. ⟨δεῖ⟩ γὰρ ἐπινοῆσαι τὴν ἀναθυμίασιν τὴν ὑγρὰν εἰς νέφος μεταβάλλουσαν, εἶτα ἐκ τούτου κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας δροσιζούσας μετιοῦσαν· ὅταν ὁ ἥλιος γένηται ἐν δυσμῇ (ἀνάγκη γὰρ πᾶσαν ἶριν ἄντικρυς τοῦ ἡλίου γίγνεσθαι), τότε ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε συμβαίνειν τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαί ἀλλὰ χρώματα φαίνεται. τὸ μὲν γὰρ πρῶτον ἔχει φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυρίζον, τὸ δὲ τρίτον κυανοῦν καὶ πράσινον. μήποτε τὸ μὲν φοινικοῦν, ὅταν ἡ λαμπρότης τοῦ πυρὸς προσπεσοῦσα ἀνακλᾷ τὸ χρῶμα. τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας ἁλουργὲς | δοκεῖ. ἔτι δὲ μᾶλλον τὸ δροσίζον μεταβάλ- 291
λεται. ἔστι γὰρ τοῦτο δοκιμάσαι δι' ἔργων· εἰ γάρ τις εἰς τὸ ἀντικρὺ τοῦ ἡλίου λάβῃ ὕδωρ καὶ † πιτύι, αἱ δὲ ῥανίδες ἀνάκλασιν λάβωσι πρὸς τὸν ἥλιον, εὑρήσει ἐγγιγνομένην ἶριν. καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὡς

---

1 περὶ νεφελῶν καὶ χιόνος A || 2 ἔφη AB: Plut. νέφη || 3 συναχθέντος B || ἐκ τοῦ θλίβεσθαι B || γίγνεσθαι videtur ad v. 2 referendum, ubi Plut. γίνεται pro συμβαίνειν habet || 4 κάτω φερόμενον B || χάλαζαν Plut.: πάλιν A: om. lacuna quattuor litt. indicata B || δὲ om. B || 5 παρασυληφθέντα A: τὶ περιληφθῆ B || τῷ ὑγρῷ πνεύματι καὶ A: τῶν ὑγρῶν πνευμάτων B || 6 στρογγυλᾶσθαι B: στρογγύλεσθαι A || 7 γίγνεσθαι δ' B

12 κέρατα B || 13 λεπτομερεῖ B || ταῦτα— 14 γὰρ om. B || 14 πυκνότητα B || ὕλη B || 15 κάπην ὁρῶμεν ἐν B || ὁρῶμεν post θαλάττῃ om. B || 16 ἔστι τοῦτο τῆς A: εἰσὶ τοῦτο τῆς B || 17 εἶδος A: ἴδιον B || δεῖ om., cetera mire corrupta: γὰρ εἰπεῖν ὅσαι [ὅσα B] τὴν ἀναθυμίασιν τὴν ὑγρὰν εἰς νέφος μεταβάλλουσι κτλ. AB || 19 μειούαν B || ὁ om. A || δυσμῷ B || πῶς ἂν A: πως B || 22 χρώματος φαίνονται B || φοινικ' A || γὰρ om. B || 25 δὲ om. B || 27 τοῦ ἡλίου om. B || 28 πιτύι A: πιτὶν B cf. Plut. codd. AB || 28 λάβοιεν A || εὑρήσειεν γιγνομένην AB || 29 ὀφθαλμοὶ τῶνδε τοῦτο B

ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν. Ἀναξιμένης δὲ ἶριν γίγνεσθαι νομίζει κατ' ἀνταυγασμὸν ἡλίου πρὸς νέφει πυκνῷ καὶ παχεῖ καὶ μέλανι παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέραν διακόπτειν ἐπισυνισταμένας αὐτῷ. Μητρόδωρος δὲ ὅταν διὰ νεφῶν ὁ ἥλιος διαλάμψῃ, τὸ μὲν νέφος κυανίζειν, τὴν δ' αὐγὴν ἐρυθραίνεσθαί φησιν.

292 **79 Περὶ ἀνέμων.** [Plut. III 7 1. 2. 3]

Ἀναξίμανδρος οἴεται ἄνεμον εἶναι λύσιν ἀέρος τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τοῦ ἡλίου τηκομένων ἢ κινουμένων. Οἱ Στωικοὶ πνεῦμα ἀέρος εἶναι λέγουσιν, ἡγοῦνταί τε τὸν τόπον παραλλαγαῖς τὰς ἐπωνυμίας παραλλάττειν, οἷον τὸν ἀπὸ ζόφου καὶ τῆς δύσεως ζέφυρον ὠνόμαζον, τὸν ἀπὸ τῆς ἀνατολῆς καὶ τοῦ ἡλίου ἀπηλιώτην, τὸν ἀπὸ τῶν ἄρκτων βορέαν, τὸν ἀπὸ τῆς μεσημβρίας νότον. Μητρόδωρος δὲ ὑδάτων ἀναθυμίασιν διὰ τὴν ἡλιακὴν ἔκκαυσιν γίγνεσθαι ὁρμὴν πνευμάτων· τοὺς δὲ ἐτησίας πνεῖν τοῦ πρὸς ταῖς ἄρκτοις παχυνθέντος * * τοῦ ἡλίου κατὰ τὴν θερινὴν τροπήν.

293 **80 Περὶ χειμῶνος καὶ θέρους.** [Plut. III 8 1]

Ἐμπεδοκλῆς καὶ οἱ Στωικοὶ χειμῶνα μὲν γίγνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει καὶ εἰς τὸ ἀνώτερον βιαζομένου, θέρος δὲ τοῦ πυρός, ὅταν εἰς τὸ κάτω βιάζηται.

81 Περὶ γῆς. [Plut. III 9 1. 2. 3. 5]

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ μίαν εἶναι τὴν γῆν ὑπολαμβάνουσιν. Τῶν δὲ Πυθαγορείων τινὲς καὶ ταύτην εἶναι καὶ τὴν ἀντίχθονά φασιν. Οἱ Στωικοὶ δὲ γῆν εἶναι μίαν καὶ πεπερασμένην. Μητρόδωρος δὲ τὴν γῆν ὑπόστασιν εἶναι καὶ οἱονεὶ τρύγα τοῦ ἀέρος νομίζει, τὸν δὲ ἥλιον τοῦ πυρός.

82 Περὶ σχήματος γῆς. [Plut. III 10 1. 2. 3. 4. 5]

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ σφαιροειδῆ τὴν γῆν νομίζουσιν. Ἀναξί-

---

1 ἀποβλέπωσιν B || νομίζειν A || 2 ἡλίου A: ὅτι B || νέφη πυκνῶς A || 3 πέρας A || ἐπισυνιστάμενος αὐτόν A: ἐπιστάμενος αὐτός B || 4 κιανίζει A: κυανίζει B || 5 τὴν δὲ γῆν B

7 ἀναξιμένης B || λεπτωτάτων ἐν ἑαυτῷ B: λεπτοτάτων ἐν αὐτῇ A || 8 τικτομένου A || κινουμένου A: κηρουμένων B || οἱ om. A || 9 ἡγοῦντες τὸν B || παραλλαγὰς A: ἀλλαγὲς B || fuit verisimiliter εἶναι ῥύσιν ἡγοῦνται ταῖς ⟨δὲ?⟩ τῶν τόπων κτλ. || τὰς A: τὰ B || 10 τὸ ἀπὸ AB || 11 τοῦ om. B || τοῦ ἄρκτου βορρᾶν B || 12 τῆς om. B || 13 ἔκλυσιν AB || 14 ἐτησίους B || τοὺς πρὸ A || τοῖς ἄρκτοις B || παχυθέντος B || 15 ἀέρος, ὑποχωροῦντος intercidisse videtur

18 εἰς τοὺς B || τῶν πυρός B || 19 βιάζεται AB cf. Plut. cod. A

21 πρὸ αὐτοῦ AB || 22 καὶ ante τὴν om. B || 24 τρύγαν A

25 σχημάτων A || περὶ θέσεως τῆς σχήματος γῆς inductis θέσεως τῆς B

μανδρος δὲ λίθῳ χίονι τῇ περιφερείᾳ | ἐκ τῶν ἐπιπέδων. Ἀναξιμένης 294
τραπεζοειδῆ. Λεύκιππος τυμπανοειδῆ τῷ πλάτει, κοίλην δὲ τῷ μεγέθει.

83 Περὶ θέσεως γῆς. [Plut. III 11 1. 2. 3. 4]

Οἱ ἀπὸ Θαλοῦς μέσην τὴν γῆν οἴονται εἶναι. Ξενοφάνης πρῶτον τὴν γῆν εἰς ἄπειρον ἐρριζῶσθαι. Φιλόλαος ὁ Πυθαγόρειος τὸ μὲν πῦρ μέσον. τοῦτο γὰρ εἶναι τοῦ παντὸς αἰτίαν, ἑτέραν δὲ τὴν ἀντίχθονα. τρίτην δὲ τὴν οἰκουμένην ἐξ ἐναντίας κειμένην καὶ περιφερομένην τῇ ἀντίχθονι. Παρμενίδης [δ] πρῶτος ὥρισε τοὺς οἰκουμένους τόπους ὑπὸ τὰς δύο ζώνας τροπικὰς εἶναι τὴν γῆν.

84 Περὶ κινήσεως γῆς. [Plut. III 13 1. 2. 3] 295

Οἱ μὲν ἄλλοι μένειν τὴν γῆν ὑπολαμβάνουσιν. Φιλόλαος δὲ ὁ Πυθαγόρειος κύκλῳ περιφέρεσθαι. Ἡρακλείδης δὲ ὁ Ποντικὸς κινητὴν τὴν γῆν, ὡρισμένην ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς περὶ τὸ ἴδιον αὐτῆς κίνημα.

85 Περὶ διαιρέσεως γῆς. [Plut. III 14] 296

Τῶν Πυθαγορείων τινὲς τὴν γῆν ἀναλόγως διῃρῆσθαι τῇ τοῦ παντὸς σφαίρᾳ εἰς πέντε ζώνας, ἀρκτικὴν ἀνταρκτικὴν θερινὴν * * ὧν ἡ μέση τὸ μέσον τῆς γῆς ὁρίζεται διακεκαυμένης, ἡ δὲ οἰκητή ἐστι μέση τῆς θερινῆς καὶ τῆς χειμερινῆς εὔκρατος οὖσα.

86 Περὶ σεισμῶν γῆς. [Plut. III 15 1. 2. 5. 10]

Θαλῆς καὶ Δημόκριτος ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν. Οἱ Στωικοὶ σεισμὸν εἶναι λέγουσι τὸ ἐκ τῆς γῆς ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπῖπτον. Ἀριστοτέλης δὲ | διὰ τὴν τοῦ ψυχροῦ πανταχόθεν 297
ἀντιπερίστασιν κάτωθεν καὶ ἄνωθεν αὐτοῦ περιστάντος· τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει, ἅτε δὴ κοῦφον ⟨ὄν⟩. καὶ διὰ τοῦτο ἐν ἀπολείψει γινόμενον τῆς ὑγρᾶς ἀναθυμιάσεως τῇ ἀντισπάσει καὶ τοῖς ἀνθελιγμοῖς τὸν σεισμὸν ποιεῖ. Πλάτων δὲ ἀκίνητον μὲν εἶναι τὴν γῆν ὑποτίθεται,

---

1 κλῶνι B || 2 post τυμπανειδῆ intercidit Δημόκριτος δισκοειδῆ

3 γῆς om. A || 4 θαλοῦς B: θαλῶς A || φιλόκαλος B || 6 αἰτίαν B: αἴτιον A cf. Prol. p. 13 || ἕτερον B || 7 τρίτον B || 8 ὁ πρῶτος AB || ὁρίσας AB || 9 τῆς γῆς Plut.

11 φιλόκαλος B || 12 πόντιος AB || 13 δὲ τὴν B: utrumque om. A || ὡρισμένην reliquum esse videtur ab ἐνηξονισμένην || ἀνατολήν A

15 ἀναλόγως om. B || διῃρεῖσθαι [διαιρεῖσθαι B] τῆς τοῦ παντὸς σφαίρας AB || 16 χειμερινήν ἰσημερινήν librariorum socordia intercidit || 16 ὧν . . . . . τῷ μέσῳ [spatio v litt. relicto] B || 16 μέση τε θερινοῦ καὶ χειμερινοῦ B

20 ὕδασι B || 23 ἀντιπαράστασιν B || 24 ὂν om. AB || ἀπολείψει A: ἀπαλείψει B || 25 γενόμενον A || ἀναθυμιάσεως . . . . . τὸν σεισμὸν B || ἀντιλογισμοῖς A || 26 ποιεῖν B || δὲ om. A

κατὰ δέ τινας τόπους αὐτῆς τοὺς σεισμοὺς συμβαίνειν τοῦ πνεύματος ἐναποκλεισθέντος.

298 87 Περὶ θαλάττης διὰ τί ἁλμυρά ἐστιν. [Plut. III 16 1. 3. 6]

Ἀναξίμανδρος εἶναί φησι τὴν θάλασσαν τῆς προτέρας ὑγρασίας τὸ λείψανον, ἧς τὸ μὲν πλεῖστον μέρος ἀνεξηραμμένον γλυκύ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλεν. Ἐμπεδοκλῆς | ἱδρῶτα γῆς καιομένης ὑπὸ τοῦ ἡλίου. Οἱ ἀπὸ Πλάτωνος τοῦ στοιχειώδους ὕδατος τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν ὑποσυνιστάμενον γλυκὺ γίγνεσθαι, τὸ δὲ κατὰ περίκαυσιν καὶ ἔκπυρον ἀναθυμίασιν ἁλμυρὸν εἶναι.

88 Πῶς ἀμπώτιδες γίνονται καὶ πλημμυρίαι. [Plut. III 17 1. 3. 6]

Ἀριστοτέλης ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινεῖσθαι καὶ περιφέρεσθαι, ὑφ' ὧν ἐμβαλόντων ἐνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὰς πλημμυρίας, ληγόντων δὲ ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν. Εὐθυμένης ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς σελήνης τὰς πλημμυρίας γίνεσθαι, τῇ δὲ ἐκλείψει τὰς ἀμπώτιδας. Τιμόθεος τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς 300 Κελτικῆς ὀρεινῆς αἰτιᾶται προωθοῦντας μὲν τὰς | ἐφόδους καὶ πλημμυρίαν ποιοῦντας, ληγόντων δὲ τὰς ἀμπώτιδας γίνεσθαι.

89 Περὶ ἀναβάσεως τοῦ Νείλου. [Plut. IV 1 1—5]

Θαλῆς τοὺς ἐτησίους ἀνέμους αἰτιᾶται πνέοντας τῇ Αἰγύπτῳ * καὶ τῇ παροιδήσει τοῦ ἀντιπαρήκοντος πελάγους ἀντικόπτεσθαι καὶ πληροῦσθαι τὸν Νεῖλον. Εὐθυμένης ὁ Μασσαλιώτης ἐκ τοῦ ὠκεανοῦ καὶ τῆς ἔξωθεν θαλάττης πλημμυρεῖν τὸν ποταμὸν οἴεται. Ἀναξαγόρας ἐκ τῆς χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ τηκομένης μὲν τῷ θέρει, ψυχομένης δὲ τῷ χειμῶνι. Δημόκριτος χιόνος τῆς ⟨ἐν⟩ τοῖς προσαρκτικοῖς μέρεσιν ὑπὸ θερινὰς τροπὰς ἀναλυομένης νέφη ἐκ τῶν ἀτμῶν πληροῦσθαι καὶ συνελαυνόμενα πρὸς τὴν μεσημβρίαν καὶ τὴν Αἴγυπτον ὑπὸ τῶν ἐτησίων ἀνέμων ἀποτελεῖν ῥαγδαίους ὄμβρους, ὑφ' ὧν ἐγείρεσθαι τὸν Νεῖλον. Ἡρόδοτος ἴσον μὲν

.....

1 αὐτῶν B || σεισμοὺς γεγονέναι συμβαίνει A || τοῦ om. B

5 τὰ μὲν πλεῖστα μέρη B || μέρος om. A || 6 μετέλαβε man. rec. in marg. corr. B || καιομένην B || 7 ὕδατος οὐ μὴν AB || 8 ὑποσυνισταμένου AB || περίθραυσιν AB

10 περὶ ἀμπωτίδων καὶ πλημμυριῶν B || 12 φέρεσθαι B || ὑφ' om. A: ἐφ' B || 12 ἐνιδεῖν B || 13 λήγοντα B || ὑποβαῖνον A || 14 εὐθυμένης B. Plutarcho Πυθέας cf. v. 22 [Prol. p. 13] || μασαλεώτης AB ut solent || 15 γίνεσθαι om. A || δὲ om. B || 16 Τιμόθεος Plutarcho audit Τίμαιος || 17 ὁρινῆς A cf. Prol. p. 238: ὀνειρῆς B || αἰτιᾶται post Ἀτλαντικὴν (v. 16) ponit B || 18 ληγούσης B

19 τοῦ om. B || 20 ante καὶ hiat oratio cf. Plut. || 22 ἔξωθεν om. B || 25 χιόνος τοῖς πρὸς ἀρκτικοῖς B: χιόνος τῆς πρὸς τοῖς ἀρκτικοῖς A || 27 καὶ τὴν Αἴγυπτον om. B || 28 ἀγείρεσθαι B || τὸν ὄμβρον AB || καὶ ἴσον B

φέρεσθαι ⟨θέρους⟩ καὶ χειμῶνος ἐκ | τῶν πηγῶν, φαίνεσθαι δὲ ἐλάττονα 301
τοῦ χειμῶνος διὰ τὸ ἐν τούτῳ τῷ καιρῷ πλησίον ὄντα τὸν ἥλιον τῆς
Αἰγύπτου ἐξατμίζειν τὰ νάματα.

90 Περὶ αἰσθήσεως καὶ αἰσθητοῦ. [Plut. IV 8 1. 3. 10]

Κατὰ τοὺς Στωικοὺς αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ· ἀντίληψις δὲ πολλαχῶς λέγεται. ἥ τε γὰρ ἕξις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ | φαντασία καταληπτικὴ καὶ αἰσθητικὴ καὶ αὐτὸ τὸ ἡγεμονικόν, ἀφ' οὗ 302
πᾶσα αἰσθητὴ βία γίγνεται. πάλιν τὰ πνεύματα νοερὰ ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ τοιαῦτα ἀνατεταμένα. Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις ψυχῆς, τὰ δὲ ὄργανα σώματος. ἄμφω δὲ συνελθόντα ἀντιλαμβάνεσθαι τῶν ἔξωθεν. Λεύκιππος καὶ Δημόκριτος τὴν αἴσθησιν εἰδώλων πρόσθεν προσιόντων.

91 Εἰ ἀληθὴς ἡ αἴσθησις καὶ ἡ φαντασία. [Plut. IV 9 4. 5]

Οἱ Στωικοὶ τὰς αἰσθήσεις μὲν ἀληθεῖς, τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς· | καὶ αἱ μὲν αἰσθήσεις μοναχῶς ψευδοποιοῦνται καὶ 303
τὰ νοήματα διττῶς. καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν.

92 Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ νόησις καὶ ὁ κατὰ διάθεσιν λογισμός. [Plut. IV 11 1—5] 304

Οἱ Στωικοί φασιν· ὅταν ἄνθρωπος γένηται, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς αὐτοῦ ὥσπερ χάρτην εὔεργον εἰς ἀπογραφήν· εἰς τοῦτο οὖν μία ἑκάστη τῶν διανοιῶν αἰσθήσεις ἐναπογράφει τῆς αὐτοῦ φαντασίας. ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι φαντασιῶν γένωνται, τότε φαμὲν ἔχειν ⟨ἐμπειρίαν⟩. ἐμπειρία γάρ ἐστιν ὁμοειδῶν φαντασιῶν πλῆθος. τῶν δ' ἐννοιῶν ⟨αἱ⟩ μὲν φυσικῶς γίγνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ οὐ τεχνικῶς, αἱ δὲ δι' ἡμετέρας ἐπιμελείας καὶ διδασκαλίας. αὗται δὲ καὶ ἔννοιαι καλοῦνται μόναι

1 θέρους intercidit || 2 τῇ αἰγύπτῳ B
5 ἀντίλειψις δὲ πολλάκις B || 6 γὰρ om. B || 7 αἰσθητῶν om. καὶ A || 8 πᾶσα om. A || αἰσθητὰ A cf. Prol. p. 55 || πάλιν—9 ἀνατετάμενα om. B || 9 ἀναφαίνεται AB || τῆς ψυχῆς τὰ δὲ ὀργανικὰ σώματα κοινωνία πρὸς τὰ ἐκτός· ἄμφω δὲ κτλ. B || 10 κοινωνία A || 11 τὸν ἔξωθεν A: καὶ τῶν ἔξωθεν B || 12 πρόσθεν om. B
15 post ψευδεῖς intercidit Epicuri sententia Ἐπίκουρος—ψευδεῖς || 16 καὶ παρ' AB || ἐστι —νοητῶν om. B lacuna III litt. indicata, tum λείπει || φαντασίας A
17 παράθεσιν B || 19 ἔχειν B || 20 αὐτοῦ τῆς ψυχῆς B || εὔεργον B: .. εργ [sic] A || ἐκ τοῦ τὸν νοῦν A: ἐκ τούτων οὖν B || 21 αἰσθήσεως A: αἰσθήσει B || ἐν ἀπογραφῇ B: ἐν ἀπογραφὴν A || αὐτοῦ AB || 22 ὁμοειδῆ B || πολλὴ μνήμη [compendio utrumque terminatur] γίγνεται ὅταν A: πολλῶν μνήμης φαντασιῶν γένηται τότε B || ἔχειν om. B || ἐμπειρίαν om. AB || 23 φαντασιῶν om. B || τῶν δ' ἐνίων φυσικῶς μὲν A: .... τῶν ....ρίων φυσικῶς μὲν B || 24 καὶ om. B || τεχνικῶς, οὐδὲν δὲ ἡμετέραν ἐπιμέλειαν A: τεχνικῶς οὐ δι' ἡμετέραν ἐπιμέλειαν || 25 καὶ αἱ διδασκαλίαι A: om. B spatio XVII litter. relicto || καὶ post δὲ om. B

καὶ προλήψεις· ὁ δὲ λόγος, καθ' ὃν προσαγορευόμεθα λογικοί, ἐκ τῶν προλήψεων συμπληροῦσθαι μὲν λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. τοῦτο γάρ ἐστι νόημα φαντασίας, διάνοια λογικοῦ ζῴου. τὸ γὰρ φάντασμα ἐπειδὰν
305 λο|γικῇ προσπίπτῃ ψυχῇ, ἐννόημα καλεῖται εἰληφὸς τοὔνομα παρὰ τοῦ νοῦ· διόπερ ὅσα τοῖς ἀλόγοις ζῴοις προσπίπτει, φαντάσματα μόνον ἐστίν, ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς, ταῦτα κατὰ γένος καὶ κατ' εἶδος νοήματα.

93 Περὶ φαντασιῶν. [Plut. IV 12 1—6]

Χρύσιππός φησι διαφέρειν ἀλλήλων τέτταρα ταῦτα φαντασίαν φανταστὸν φανταστικὸν φάντασμα. φαντασία μὲν οὖν ἐστι πάθος ἐν τῇ ψυχῇ γινόμενόν καὶ ἐνδεικνύμενον αὐτό τε καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν ἴδωμεν τὸ λευκόν, ὅ ἐστι πάθος, ἐγένετο τῇ ψυχῇ ἐναλλακτικὸν τοῦ πεπονθότος· εἴρηται δὲ φαντασία ἐκ τοῦ φαίνεσθαι αὐτήν τε καὶ τὸ πεποιηκός, ὅπερ
306 ἐστὶ φανταστόν· | οἷον τὸ λευκὸν καὶ εἴ τι ἄλλο διὰ τῶν αἰσθήσεων δύναται κινεῖν τὴν ψυχὴν φανταστόν ἐστι, φανταστικὸν δὲ διάκενος ἑλκυσμὸς πάθος ἐν ψυχῇ ἀπ' οὐδενὸς φανταστοῦ ⟨ὡς⟩ σκιομαχοῦντος. φάντασμα δέ ἐστιν ἐφ' ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμόν· ταῦτα δὲ γίνεται ἐπὶ τῶν μελαγχολώντων ὥσπερ ἐπὶ Ὀρέστου καὶ τοῦ παρ' Ὁμήρῳ Θεοκλυμένου.

94 Περὶ τοῦ πῶς ὁρῶμεν. [Plut. IV 13 1. 2. (5.) 9. 11]

Δημόκριτος καὶ Ἐπίκουρος κατ' εἰδώλων εἴσκρισιν οἴονται τὸ
307 ὁρᾶν συμβαίνειν. ἕτεροι κατ' ἀκτίνων ἔκχυσιν, μετὰ | ⟨τὴν πρὸς⟩ τὸ προκείμενον ἔνστασιν πάλιν ὑποστραφείσης τῆς ὄψεως. Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνάς φησιν ἐφ' ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένου τοῖς πέρασιν αὐτῶν οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσαις τοῖς ἐκτὸς σώμασι τὴν αἴσθησιν πρὸς τὸ ὁρᾶν προσάγειν. Πλάτων κατὰ συναυγασμὸν τοῦ ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὅμοιον ἀέρα.

95 Περὶ κατόπτρων [Plut. IV 14 2. 3]

308 Δη|μόκριτος καὶ Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι

---

1 τῶν πληρώσεων AB || 2 λέγεται A: ἄγεται B || 4 ἐννοήματος δεῖται εἰληφὸς B: item A nisi quod εἰληφότος habet || νοὸς B || 5 μόνον B: μόνα A || 6 ταῦτα scripsi: τοῖς A: καὶ τοῖς B || κατ' om. B

8 τὰ τέτταρα B || 11 ἐναλακτικὸν A: om. B || 13 φανταστικόν B || ἄλλο ἐστὶ B || δύνασθαι B || 14 φανταστὸν δὲ B || διάκινος ἑλκύσματος A: διακενῶς, ἑλκύσματος B || 15 ἀφ' B || ὡς addidi omissum inter οὗ σ || σκιομαχοῦντος A: σκιο..... spatio octo litterarum servato B || 16 ἐφ' ᾧ A || κατὰ τὸ B || φανταστικὸν διελκυσμόν AB || 17 μελαγχολικόντων A: μελαγχολικῶντος superscripto τ̂ B || θεοκλυμένους B: θεοκλύμου A

21 τὴν πρὸς om. AB || 22 ἔνστασιν πάλιν om. B lacuna octo litterarum indicata || ἀποστραφείσης B || 23 nihil muto cf. Plut. § 9 || 25 προσάγει B || συμυγασμὸν B || 26 ἀπορρέοντα B

27 κατόπτρων B: κατόπτρου A || 28 κατοπτικὰς B

κατ' εἰδώλων ἐπιστάσεις, ἅτινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ ἀντιστροφήν. οἱ ἀπὸ Πυθαγόρου κατὰ τὰς ἀνταναχλάσεις τῆς ὄψεως. φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληγεῖσαν ὑποστρέφειν.

96 Εἰ ὁρατὸν τὸ σκότος. [Plut. IV 15 2. 3]

Οἱ Στωικοὶ ὁρατὸν εἶναι τὸ σκότος ὑπολαμβάνουσιν· ἐκ γὰρ τῆς ὄψεως ἐξικνεῖσθαι εἰς ⟨αὐτὸ⟩ αὐγήν. καὶ οὐ ψεύδεται ἡ ὅρασις· βλέπεται γὰρ ὑπ' αὐτῆς τὸ σκότος, προέρχονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες ὁμιχλώδεις· Τὸ μὲν σκότος συνάγει πως καὶ συγκρίνει τὴν ὅρασιν καὶ ἀμβλύνει, τὸ δὲ φῶς διακρίνει καὶ ποδηγεῖ τὴν ὅρασιν ἡμῶν ἐπὶ τὰ ὁρατὰ διὰ τοῦ μεταξὺ ἀέρος. διὰ τοῦτο μὴ ὁρᾶν ἡμᾶς ἐν τῷ σκότει ἀλλ' αὐτὸ μόνον | τὸ σκότος. 309

97 Περὶ ἀκοῆς. [Plut. IV 16 1. 2. 3. 5]

Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίγνεσθαι κατὰ ἔμπτωσιν τῶν πνευμάτων τῷ χονδρώδει, ὅπερ φησὶν ἐξηρτῆσθαι ἐκ τοῦ ὠτὸς κώδωνος τρόπον αἰωρούμενον καὶ τυπτόμενον. Ἀλκμαίων ἀκούειν ἡμᾶς φησι τῷ κενῷ τοῦ ὠτός. τοῦτο γὰρ εἶναι τὸ περιηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν· πάντα γὰρ τὰ κενὰ ἠχεῖν. Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου. Πλάτων πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὸ ἡγεμονικὸν καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

98 Περὶ ὀσφρήσεως. [Plut. IV 17 1. 2] 310

Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ φησὶν εἶναι τὸ ἡγεμονικόν· τούτῳ οὖν ὀσφραίνεσθαι ἔλκοντος διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεκκρίνεσθαι ὥσπερ ἐπὶ τῶν ῥευματιζομένων.

99 Περὶ γεύσεως. [Plut. IV 18 1. 2]

Ἀλκμαίων οἴεται τῷ ὑγρῷ τῷ ἐν τῇ γλώττῃ κρίνεσθαι τοὺς χυμούς.

---

1 μὲν om. B || ὑφ' AB || 2 οἷον ἐπὶ Π. AB || 3 ὄψιν om. B || τεταγμένην B || 4 πυκνῶς καὶ πάλιν πληγεῖσαν A: πυκνῶς καλεῖν πληγῆσαν B

7 αὐτὸ om. AB || 8 αὐτήν AB || 9 de Galeni additamento dixi Prol. p. 16 || συνάπτει corr. corrector Voss. ad Plutarchi locum cf. Prol. p. 38 || 9 συγκινεῖ AB: συγκρίνει corrector Voss. || 10 διὰ τὸ AB: correxit corrector Voss. || 11 τῷ om. B

13 πτῶσιν B || 14 χόνδρῳ δι' AB || φήσω A: om. sed lacuna decem litt. indicata B || 14 ὠτὸς ὡς τρόπον A: χρωτὸς κῶλον ὀςρότροπον B || 15 τυπούμενον B || τὸ κενὸν B: τὸ καινὸν A || δὲ τοῦ B || 17 τῆς om. A || 18 τυπουμένου B

μ/

21 ἀκ A || τούτου A: τοῦτο B || 22 ἔλκοντος A: ἔλκον B || διοκλῆς B || 23 πνεύματος corr. ex πνεύμονος B post quae adduntur καὶ τοῦ σώματος B

26 τὸ ὑγρὸν A: item post in τῶ ὑγρῶ correctum B || τὸ ἐν A

Διογένης τῇ ἀραιότητι καὶ διὰ τὸ συνάπτειν τὰς διὰ τοῦ σώματος εἰς αὐτὴν φλέβας διαχεῖσθαι τοὺς χυμοὺς ἑλκομένους εἰς τὴν αἴσθησιν καὶ τὸ ἡγεμονικὸν καθάπερ ἀπὸ σπογγιᾶς.

100 Περὶ φωνῆς. [Plut. IV 19 1. 4]

Πλάτων φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ διανοίας ἠγμένον καὶ πληγὴν ἀέρος διὰ τῶν ὤτων ἐγκε|φάλῳ καὶ στόματι μέχρι ψυχῆς διαδιδομένην. | Οἱ δὲ Στωικοί φασι τὸν ἀέρα μὴ συγκεῖσθαι ἀπὸ θραυσμάτων, ἀλλὰ συνεχῆ δι' ὅλου μηδὲ κενόν· ἐπειδὰν πληγῇ τῷ πνεύματι, κυματοῦται κατὰ κύκλους εἰς ἄπειρον, ἕως πληρώσῃ τὸν περικείμενον ἀέρα, ὡς τῆς χολυμβήθρας τῆς πληγείσης λίθῳ κινουμένης καὶ κυκλοειδῶς καὶ σφαιροειδῶς. Ἀναξίμανδρος τὴν φωνὴν γίνεσθαι πνεύματος ἐμπεσόντος μὲν στερεμνίῳ ἀέρι, τῇ δ' ὑποστροφῇ τῆς πλήξεως μέχρι τῶν ἀκοῶν προσενεχθόντος, καθὸ καὶ τὴν λεγομένην ἠχὼ γίγνεσθαι.

101 Εἰ ἀσώματος ἡ φωνὴ καὶ πῶς ἦχος γίνεται. [Plut. IV 20 1. 2]

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης ἀσώματον εἶναι τὴν φωνὴν ὑπολαμβάνουσιν. οὐ γὰρ τὸν ἀέρα, τὸ δὲ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν κατὰ ποιὰν πληγὴν γίνεσθαι φωνήν. | Οἱ δὲ Στωικοὶ σῶμα εἶναι τὴν φωνήν. πᾶν γὰρ τὸ δρῶν ἢ ποιοῦν σῶμα εἶναι· καὶ γὰρ ἡ φωνὴ καὶ δρᾷ καὶ ποιεῖ, ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης· πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστιν· κηλεῖ δὲ ἡμᾶς εὔμουσος φωνή.

102 Πόθεν αἰσθητικὴ γίνεται ἡ ψυχή. [Plut. IV 21 1—4]

Οἱ Στωικοὶ φασιν εἶναι τῆς ψυχῆς μέρος ἀνώτατον τὸ ἡγεμονικόν, | ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἐστί τινα τείνοντα ἐπὶ τὰ ἄλλα μέρη τῆς ψυχῆς, ἃ ποιεῖ τὴν αἴσθησιν ἐνεργεῖν· διόπερ ὅρασιν λέγουσι πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρι ὀφθαλμῶν, ἀκοὴν δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν ὤτων· τῶν δὲ λοιπῶν τὸ μὲν σπερματικόν, ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι, διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ * * * * * φωνητικόν, ὅπερ ἐστὶ τὸ

---

1 καὶ ἀποσυνάπτειν B || 2 φλέβας καὶ A || 3 ὑπὸ A

6 πληγὴν ἢ μέρος A: πληγῆς ἢ μέρος B || τῶν τῶ ἐγκεφάλω A || διαδιδομένης A: διαδιδόμενον B || 7 δὲ om. B || τὸν ἀέρα μὴ A: τὰ ἐν αὐτῇ B || θραύσματος AB || 8 ἅμα AB || τοῦ πνεύματος AB || 9 πληρώσει A: πληρώς B || 10 τῆς [om. A] πληγῆς AB || 11 μὲν om. A || 12 προενεχθόντων A

15 ἀριστοτέλης B || 16 τῶ δὲ A || παρὰ τῷ ἀέρα B: περὶ τῶ ἀέρι A || 17 γίνεσθαι πληγὴν τὴν B || δὲ om. B || 18 δρὸν ἢ ποιοῦν B: ποιοῦν καὶ δρὸν A || καὶ γὰρ καὶ ἡ A || 19 καὶ δρᾷ καὶ om. B || ποιεῖ, σῶμα ἄρα B || 20 κηλεῖ δὲ — φωνή om. B: καλίδης ἡμᾶς ɔɛμνούσ" φωνή A

21 ψυχή correxi: φωνή AB simili errore ac Porphyr. V. Pyth. 26, 16 N. || 22 μέρος τὸ A || 24 ἐνέργειαν B || ἀπὸ τοῦ B | 25 τῶν ὀφθαλμῶν B || ἀκοὴ A || τοῦ om. A || 26 καὶ μέχρι B || 27 τοῦ om. B || omissa sunt haec: μέχρι τῶν παραστατῶν, τὸ δὲ AB || ὅπερ — p. 639,1 ἡγεμονικοῦ om. B

πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης, | αὐτὸ δὲ τὸ 315
ἡγεμονικὸν εἶναι ἐν τῇ σφαιροειδεῖ κεφαλῇ.

103 Περὶ ἀναπνοῆς. [Plut. IV 22 2. 3] 317

Ἀσκληπιάδης αἰτίαν τῆς ἀναπνοῆς εἶναί φησι τὴν ἐν τῷ θώρακι λεπτομέρειαν, πρὸς ἣν τὸν ἔξωθεν ἀέρα ῥεῖν τε καὶ καθαίρεσθαι παχυμερῆ ὄντα, πάλιν δὲ ἀπωθεῖσθαι μηκέτι τοῦ θώρακος τοιοῦτόν τι ὑποστέγοντος. ὑπολειπομένου δέ τινος ἐν τῷ σώματι ὑπὸ λεπτομεροῦς ἀεὶ βραχέος (οὐ γὰρ ἅπαν ἐκκρίνεσθαι) καὶ πρὸς τοῦτο | πάλιν τὸ ὑποκείμενον ἡ βαρύτης 318
τοῦ ἐκτὸς ἀντεπιφέρεται· ταῦτα δὲ σικύαις ἀπεικάζει. τὴν δὲ κατὰ προαίρεσιν ἀναπνοὴν γίνεσθαι συναγομένων τῶν ἐν τῷ πνεύμονι πόρων· ταῦτα γὰρ τῇ ἡμετέρᾳ προαιρέσει ὑπακούειν. Ἡρόφιλος δὲ δύναμιν ἀπολείπει περὶ τὰ σώματα κινητικὴν ἐν νεύροις καὶ ἐν ἀρτηρίαις καὶ μυσί· τὸν οὖν πνεύμονα νομίζει προορέγεσθαι διαστολῆς τε καὶ συστολῆς. φυσικὴν ἐνέργειαν μὲν οὖν εἶναι τοῦ πνεύμονος τὴν ἔξωθεν τοῦ πνεύματος ὁλκήν, ὑπὸ δὲ τῆς πληρώσεως τῆς ἔξωθεν γιγνομένης ἐφέλκεσθαι μὴ δυνάμενον εἰς τὸν θώρακα τὸ περιττὸν ἀναπέμπειν, τὸν δὲ εἰς τὸν ἔξωθεν ἀέρα ἀπωθεῖν.

104 Περὶ παθῶν. [Plut. IV 23 1. 2] 319

Ἐπίκουρος τὰ πάθη καὶ τὰς αἰσθήσεις ἐν τοῖς πεπονθόσι τόποις, τὸ δὲ ἡγεμονικὸν ἀπαθὲς εἶναι νομίζει. Στράτων δὲ καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὰς αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ, οὐκ ἐν τοῖς πεπονθόσι τόποις, συνίστασθαι | * τῶν δεινῶν καὶ τῶν ἀλγεινῶν τὴν ἐνέργειαν. 320

105 Περὶ μαντικῆς. [Plut. V 1 1. 2. 3]

Πλάτων καὶ οἱ Στωικοὶ τὴν μαντικὴν εἰσάγουσι· καὶ γὰρ θεόπεμπτον εἶναι, ὅπερ ἐστὶν ἐνθεαστικὸν καὶ κατὰ τὸ θειότατον τῆς ψυχῆς, ὅπερ ἐστὶν ἐνθουσιαστικόν, καὶ τὸ ὀνειροπολικὸν καὶ τὸ ἀστρονομικὸν καὶ τὸ ὀρνεοσκοπικόν. Ξενοφάνης καὶ Ἐπίκουρος ἀναιροῦσι τὴν μαντικήν. Πυθαγόρας δὲ μόνον τὸ θυτικὸν οὐκ ἐγκρίνει. Ἀριστοτέλης καὶ Δικαίαρχος τοὺς ὀνείρους εἰσάγουσιν, ἀθάνατον μὲν τὴν ψυχὴν οὐ νομίζοντες, θείου δέ τινος μετέχειν.

---

1 post γλώττης repetit compend. ττης A

4 αἰτίας B || 5 καθέρεσθαι B. Plut. καὶ φέρεσθαι || 6 ὑποστέγον A || 8 ἐκκλίνεσθαι B || 9 ἐντὸς AB || ταῦτα δὲ .. ικταις [lacuna duarum litterarum relicta post δὲ] A: ταῦτα ἰκταῖς B || 10 ἀπηνῆ AB || 11 ὑπακούει B || δύναμιν om. B || ἀπολείπειν A || 12 γοῦν B || 13 προορέγεσθαι B: προσορέγεσθαι A cf. ad p. 413a10 || διὰ πολλ᾽ A || in φυσικὴν latet φυσικῶς· cf. p. 413a11 || 14 μὲν συνεῖναι AB || ὁλκὴν τοῦ πνεύματος B || ἀπὸ B || 15 γιγνόμενον AB

19 δὲ post τὸ om. B || 23 καὶ τὴν A || 24 ὥσπερ A || 25 ὀνειροπολιτικὸν B || 26 ὀρνιοσκοπικόν B || 27 δὲ om. A || πυτικὸν AB || οὐκ ἐνειρήνει A: spat. VIII litter. rel. B || ἀριστοτέλης δὲ A || δίαρχος AB ut p. 613,15 || 28 νομίζονται B

320 **106** Πῶς οἱ ὄνειροι γίνονται. [Plut. V 2 1. 2. 3]

Δημόκριτος ὀνείρους γίνεσθαι κατὰ τὰς τῶν εἰδώλων παρατηρήσεις.
321 Στράτων· ἄλλη τις φύσις τῆς διανοίας ἐν | τοῖς ὕπνοις αἰσθητικωτέρας μὲν τῆς ψυχῆς γινομένης, δι' αὐτὸ δὲ τοῦτο γνωστικῆς γινομένης. Ἡρόφιλος τῶν ὀνείρων τοὺς μὲν θεοπέμπτους κατ' ἀνάγκην γίγνεσθαι, τοὺς δὲ φυσικοὺς εἰδωλοποιουμένης τῆς ψυχῆς τὸ συμφέρον αὐτῇ καὶ τὸ πάντως ἐσόμενον· τοὺς δὲ συγκριματικοὺς αὐτομάτως κατ' εἰδώλων πρόσπτωσιν, ὅταν ἃ βουλόμεθα βλέπωμεν· * φιλούντων γίγνεται τὰς ἐρωμένας ἐρώντων ἐν ὕπνοις.

107 Περὶ οὐσίας σπέρματος. [Plut. V 3 1. 2. 3. 4. 5. 6]

Ἀριστοτέλης σπέρμα εἶναί φησι * * * κινεῖν ἑαυτὸ πρὸς τὸ ἀποτελέσαι τὸ τοιοῦτον, οἷόν ἐστιν ἐξ οὗ συνεκρίθη. Πυθαγόρας ἀφρὸν τοῦ χρηστοτάτου αἵματος ἢ περίττωμα τῆς τροφῆς. Ἀλκμαίων ἐγκεφάλου
322 μέρος. Πλάτων τοῦ νωτιαίου μυελοῦ ἀπόρροιαν. | Ἐπίκουρος ψυχῆς καὶ σώματος ἀπόσπασμα. Δημόκριτος ἀφ' ὅλων τῶν σωμάτων καὶ τῶν χυριωτάτων μερῶν οἷον τῶν σαρκικῶν ὀστῶν ἰνῶν.

108 Εἰ σῶμα τὸ σπέρμα. [Plut. V 4 1. 2. 3]

Λεύκιππος καὶ Ζήνων σῶμα εἶναι· ψυχῆς γὰρ εἶναι ἀπόσπασμα. Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης ἀσώματον μὲν εἶναι τὴν δύναμιν τοῦ σπέρματος, σωματικὴν δὲ ὕλην τὴν προχεομένην. Στράτων καὶ Δημόκριτος κατὰ δύναμιν εἶναι σωματικήν.

109 Εἰ καὶ αἱ θήλειαι προΐενται σπέρμα. [Plut. V 5 1. 2]

Πυθαγόρας καὶ Δημόκριτος καὶ Ἐπίκουρος καὶ τὸ θῆλυ προΐεσθαι σπέρμα. ἔχει γὰρ παραστάτας ἀπεστραμμένους. διὰ τοῦτο ὀρεκτικῶς ἔχει περὶ τὰς χρήσεις. Ἀριστοτέλης καὶ Ζήνων καὶ ὕλην μὲν ὑγρὰν προΐεσθαι καὶ ἀπὸ τῆς γυμνασίας ἱδρῶτας, οὐ μὴν σπέρμα πεπτικόν.

---

3 αἰσθητικωτέρα B || 4 δι' αὐτοῦ δὲ τούτου γνωστικὴ γινομένη B || 5 γίγνεσθαι κατ' ἀνάγκην B || 6 καὶ—7 αὐτομάτως om. A || 7 αὐτὸν ὅτι κατ' εἰδώλων ἐστὶ B: κατ' εἰδώλωσιν supra scripto super ωσ ea nota qua etiam ἐστὶ breviari solet A || ὅταν ἀπολλύμεθα βλέπομεν AB: in proximis intercidisse videtur ⟨ὡς ἐπὶ τῶν⟩ φιλούντων κτλ. || 8 γίγνεσθαι B || εἰς ὕπνους A

10 aut scribendum τὸ δυνάμενον κινεῖν aut τὸ κινοῦν || κινεῖν — τοιοῦτον om. B qui lac. IX litt. indicat || δ' αὐτὸ A || 11 τὸν A || ἀφρῷ A || 12 τι τῆς B || 15 σαρκινῶν A

17 γὰρ εἶναι om. B || 19 δὲ—20 σωματικὴν om. A || ὕλην τὴν παρεχομένην B

21 αἱ om. A || 23 γὰρ καὶ B || ἀποστρεμμένους AB || διὰ τότε ὀρεκτικῶς B || 25 ἱδρῶτος B

110 Πῶς αἱ συλλήψεις γίνονται. [Plut. V 6] 323

Ἀριστοτέλης ὑπολαμβάνει τὰς συλλήψεις γίγνεσθαι προελκομένης ὑπὸ τῆς καθάρσεως τῆς μήτρας, τῶν δὲ καταμηνίων ἐπισπωμένων ἀπὸ παντὸς τοῦ σώματος μέρος τι τοῦ καθαροῦ αἵματος, ὡς συμβαίνειν τὸν τοῦ ἄρρενος γόνον. μὴ γίγνεσθαι τὰς κυήσεις παρ' ἀκαθαρσίαν μήτρας ἢ ἐμπνευμάτωσιν ἢ φόβον ἢ λύπην ἢ ἀσθένειαν τῶν γυναικῶν ἢ δι' ἀτονίαν τῶν ἀνδρῶν.

111 Πῶς ἄρρενα γίνεται καὶ θήλεα. [Plut. V 7 1. 2. 7] 324

Ἐμπεδοκλῆς οἴεται καὶ Ἀσκληπιάδης ἄρρενα καὶ θήλεα γίγνεσθαι παρὰ θερμότητα καὶ ψυχρότητα· ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους ἄρρενας ἀπὸ ἀνατολῆς καὶ μεσεμβρίας γίγνεσθαι ἐκ τῆς γῆς, τὰ δὲ θήλεα πρὸς ταῖς ἄρκτοις. Παρμενίδης δ' ἀντιστρέφει, πρὸς ταῖς ἄρκτοις ἄρρενα γίγνεσθαι, τοῦ ⟨γὰρ⟩ πυκνοῦ μετέχειν πλείονος, τὰς δὲ πρὸς τὰς μεσημβρίας δι' ἀραιότητα. | Ἱππῶναξ δὲ εἰ μὲν ἡ γονὴ κρατήσειεν, ἄρρεν, εἰ δὲ ἡ ὕλη, 325 θῆλυ.

112 Πῶς τέρατα γίνεται. [Plut. V 8 1. 2. 3]

Ἐμπεδοκλῆς νομίζει σπέρματος ἔλλειμα παρὰ τὴν τῆς κινήσεως ταραχὴν ἢ παρὰ τὴν εἰς πλείω διαίρεσιν ἢ παρὰ ἀπόπνευσιν τέρατα γίγνεσθαι. Στράτων παρὰ πρόσθεσιν ἢ ἐμπνευμάτωσιν. Τῶν ἰατρῶν δέ τινες παρὰ τὸ διεστράφθαι τὴν μήτραν ἐμπνευματουμένην.

113 Διὰ τί πολλάκις γυνὴ συνουσιάζουσα οὐ συλλαμβάνει. [Plut. V 9 1—3]

Διοκλῆς ὁ ἰατρὸς παρὰ θερμασίαν ἢ παρὰ ψῦξιν ἢ ὑγρασίαν ἢ ξηρότητα ἢ πλεονασμὸν ἢ ἔνδειαν ἢ παράλυσιν τῶν μορίων. Οἱ Στωικοὶ παρὰ λοξότητα τοῦ | μορίου μὴ δυναμένου εὐθυβολεῖν τὸν γόνον, ἢ διὰ τὸ 326

---

2 προελκομένης — 5 γίγνεσθαι om. A || προελκομένου B || 3 τῆς μηνιαίας B || 4 συμβαίνει B || 5 τόνον B || μίγνεσθαι .... μὴ γίγνεσθαι τὰς κτλ. post μίγνεσθαι, quod est insequentium vocum corrupta scriptura, exstat lacuna quattuor litterarum B || κυήσεις A: κινήσεις B || περὶ καθαρσίαν AB || 6 ἀσέλγειαν B || ἀτόνειαν B: ἀγωνίαν A

8 καὶ θήλεα γίνεται B: γίνονται καὶ θήλεα A || 9 ἐμπεδοκλῆς οἴεται καὶ ἀ. A ex qua verborum collocatione Asclepiadem [exc. 114] postea additum esse probabile est: ἐμπεδ. καὶ ἀσκλ. οἴονται B || ἄρρενα καὶ θήλεα A: ordine mutato B || 10 πρὸς B || θερμότητος καὶ ψυχρότητος A || ἱστόρηται B || τοὺς μὲν πρὸς τοὺς AB || 11 ἐκ om. B || 12 τοῖς bis B || 13 post τοῦ om. γὰρ AB || τοῦ πλείστου μετέχειν πλείονος AB || 14 τὴν μεσημβρίαν A

16 γίνονται A || 17 σπέρματα A || παρὰ A: περὶ B || 18 περὶ B || 19 περὶ ..... ἢ ἐμπν. lacuna decem litt. relicta B || τινες δὲ A || διαστρέφθαι B || 20 ἐμπνευματωμένην A

21 γυνὴ πολλάκις B || 23 παρὰ post ἢ om. B || 25 περὶ B || τῶν μορίων B || μὴ—λ 642,1 ἀσύμμετρον om. B || εὐθύβο A

ἀσύμμετρον τῶν μορίων. Ἐρασίστρατος παρὰ τὴν μήτραν, ὅταν τύλους ἔχῃ ἢ σάρκας ἢ εὐρυτέρα ἢ μικροτέρα τυγχάνῃ οὖσα.

114 Πῶς δίδυμα γίνεται. [Plut. V 10 1. 2. 3. 4]

Ἐμπεδοκλῆς οἴεται δίδυμα καὶ τρίδυμα γίγνεσθαι κατὰ πλεονασμὸν καὶ περισχισμὸν τοῦ σπέρματος. Ἀσκληπιάδης παρὰ τὴν τῶν σπερμάτων διαφορὰν ὥσπερ τὰς κριθὰς τὰς διστίχους καὶ τριστίχους. Ἐρασίστρατος διὰ τὰς ἐπισυλλήψεις γίνεσθαι. Οἱ Στωικοὶ παρὰ τοὺς ἐν τῇ μήτρᾳ τόπους· ὅταν γὰρ πρῶτον καὶ δεύτερον ἐμπέσῃ τὸ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ διδύμους καὶ τριδύμους.

115 Πόθεν γίνονται τῶν γονέων ὁμοιώσεις καὶ τῶν προγόνων. [Plut. V 11 1 (2) 3. 4]

Ἐμπεδοκλῆς ὁμοιότητα οἴεται γίγνεσθαι κατ' ἐπικράτειαν τῶν σπερμάτων, ἀνομοιότητα δέ, ὅταν μὲν ἀπὸ τῶν δεξιῶν μερῶν τῆς μήτρας τὸ σπέρμα ἀποκριθῇ τοῖς πατράσιν, ὅταν δὲ ἀπὸ τοῦ ἀριστεροῦ ταῖς μητράσιν. Οἱ Στωικοὶ ἀπὸ τοῦ σώματος ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὸ σπέρμα καὶ τὰς ὁμοιομερείας ἀναπλάττεσθαι ἐξ αὐτῶν τοὺς τύπους καὶ χαρακτῆρας, ὡς ζωγραφία ἀπὸ τῶν ὁμοίων χρωμάτων, ὁμοιότητα τοῦ τικτομένου. προίεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα, κἂν ἐπικρατῇ ⟨τὸ⟩ τῆς γυναικός, ὅμοιόν ἐστι τῇ μητρί.

116 Πῶς ἄλλοις ὅμοια γίνεται τὰ γεννώμενα. [Plut. V 12 1. 2. 3]

Οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν τυχικῶς καὶ ἐκ τοῦ αὐτομάτου, ὅταν διαψυγῇ τὸ σπέρμα καὶ τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικός, ἀνόμοια γίνεσθαι. Ἐμπεδοκλῆς τῇ κατὰ τὴν σύλληψιν ὄψει τε καὶ φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη· πολλάκις γὰρ ἀνδρίαντων καὶ εἰκόνων ἠράσθησαν καὶ ὅμοια τούτοις τετόκασιν. Οἱ Στωικοὶ κατὰ συμπάθειαν τῆς διανοίας καὶ ῥευμάτων καὶ ἀκτίνων εἴσκρισιν γίγνεσθαι τὰς ὁμοιότητας.

---

1 περὶ B || ἔχει B || 2 σάρκα A || τυγχάνει οὖσα AB

3 γίνονται A || 4 γίγνεται A: om. B || καὶ παρασχισμὸν A: om. B || 5 περὶ B || τοῦ σπέρματος B || 6 κύθρας A: κιθάρας B || 7 περὶ B || 8 ὅτε ὡ πρῶτον B || τὸ om. B || 9 τοὺς ἐπισυλλήψει διδύμους καὶ τριδύμους B

10 πόθεν γίνεται τῶν γονέων A: πῶς γίνονται γονέων B || ὁμοίωσις A || καὶ τῶν προγόνων om. B || 12 οἴεται A: εἴωθε B || τοῦ σπέρματος B || 13 ὅτε AB item 14 || 14 σπέρμα προστιθῇ AB || τοῦ om. A || 15 τοῦ om. B || τῆς om. B || 16 αὐτοῦ A || τόπους AB || 18 τὸ addidi

22 τὸ τοῦ ἀνδρὸς A: τῷ ἀνδρὶ B qui statim καὶ τῇ γυναικὶ ἀνόμοιον || 23 δὲ τῇ κατὰ τὴν σύλληψιν B || τὴν post κατὰ om. A || 24 γὰρ B: οὖν A || 25 τετόκαν AB || στωικοὶ δὲ B || 26 ῥεύματος A

117 Πῶς στεῖραι γίνονται γυναῖκες καὶ ἄνδρες ἄγονοι. [Plut. V 13 1—3]

Οἱ ἰατροὶ στείρας φασὶ γίγνεσθαι παρὰ τὸ τὴν μήτραν στενωτέραν εἶναι ἢ ἀραιοτέραν ἢ διάστροφον ἔχειν τὸν σχηματισμὸν ἢ παρὰ τὸ παρέπεσθαι δυσκρασίαν μοχθηράν. Διοκλῆς δι' ἀτονίαν τῶν ἀνδρῶν ἢ διὰ τὸ μηδ' ὅλως προΐεσθαι γονὴν ἢ παρὰ τὸ ἔλαττον εἶναι τοῦ δέοντος ἢ παρὰ τὸ ἄγονον εἶναι καὶ καθάπερ ἔκλυσιν τῶν μορίων. Οἱ Στωικοὶ αἰτιῶνται τὰς συμφύτους εἰς ἑκάτερον τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας. 329

118 Διὰ τί αἱ ἡμίονοι στεῖραι. [Plut. V 15 1. 2. 3]

Ἀλκμαίων τῶν ἡμιόνων τοὺς ἄρρενας ἀγόνους παρὰ τὴν λεπτότητα τῆς σαρκὸς καὶ ψυχρότητα, τὰς δὲ θηλείας παρὰ τὸ ἄνω μὴ ἀνακύπτειν τὰς μήτρας. Ἐμπεδοκλῆς δὲ διὰ τὴν σμικρότητα καὶ στενότητα τῆς μήτρας ἀπεστραμμένως προσπεφυκυίας τῇ σαρκί. Διοκλῆς δὲ μαρτυρεῖ λέγων πολλάκις ἑωρακέναι τοιαύτην μήτραν ἐν ταῖς ἀνατομαῖς τῶν ἡμίονων καὶ ἐνδέχεσθαι διὰ τὰς τοιαύτας αἰτίας καὶ τὰς γυναῖκας στείρας εἶναι.

119 Εἰ τὸ ἔμβρυον ζῷον. [Plut. V 15 1. 2 (3. 4) 5]

Πλάτων ζῷον εἶναι τὸ ἔμβρυον ὑπείληφε· καὶ γὰρ καὶ κινεῖσθαι ἐν τῇ γαστρὶ καὶ τρέφεσθαι καὶ αὔξεσθαι. Οἱ Στωικοὶ μέρος εἶναι γαστρὸς 330 τὸ ἔμβρυον καὶ ἄπνουν εἶναι ἐν τῇ γαστρί. πρώτην δὲ ἀναπνοὴν τοῦ ζῴου γίγνεσθαι κατὰ τὴν ἀποκύησιν τῆς μὲν περὶ τοῖς βρέφεσιν ὑγρασίας ἀποχωρούσης, τῇ δὲ ἐπεισόδῳ τοῦ ἐκτὸς ἀέρος γινομένου εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων. διὸ τίκτεσθαι μὲν τὰ βρέφη ἐνθερμανθέντος τοῦ ἐμφύτου θερμοῦ, εὐθέως προχυθέντος τοῦ βρέφους τὸ ψυχρὸν εἰς τὸν πνεύμονα ἐφέλκεσθαι. Ἡρόφιλος· κίνησις ἀπολείπεται φυσικὴ ἐν τοῖς ἐμβρύοις τοῦ πνευματικοῦ, τῆς δὲ κινήσεως αἴτια τὰ νεῦρα τοῦ ζῴου γίνεσθαι, ὅταν προχυθέντα προσλάβῃ τοῦ ἀέρος.

120 Πῶς τρέφεται τὰ ἔμβρυα. [Plut. V 16 1. 2]

Δημόκριτος καὶ Ἐπίκουρος διὰ τοῦ στόματος τρέφεσθαι· εὐθὺς 331 γοῦν ἐπὶ τὸν μαζὸν φέρεσθαι τῷ στόματι· εἶναι γὰρ καὶ ἐν τῷ σώματι

---

1 γίνονται om. B || 2 στείραν AB || 6 αἰτιῶν A || 7 εἰ B || ἑκάτερα A

λ

9 ἀτόνους A || περὶ B || 10 θῆ A || 11 τῆς μήτρας A || Ἐμπεδοκλῆς — μήτρας om. A || 12 ἀπεστραμμένη AB || προσπεφυκυῖα B || μαρτυρῶν λέγει, om. πολλάκις B || 14 τὰς αἰτίας ταύτας A

17 τὰς πρὸς τὸ ἔμβρυον AB || 18 πρώτην B: πρῶτον A || 19 περὶ τὰ βρέφη B || 20 γινόμενον B || παραχθέντα A: παροιχθέντα B || 21 αἰτίων AB || διὸ AB: Plut. Διογένης || ἐνθερμανθέντος B || 22 εὐθὺ A || 23 διεφέλκεσθαι B || 24 αἰτιᾶται τὰ AB || 25 προσβῇ AB

28 καὶ ἐν τῷ σόματι B

θηλὰς ἐπινενεμημένας καὶ στόματα, δι' ὧν τρέφεσθαι. Οἱ Στωικοὶ διὰ τοῦ χορίου καὶ ὀμφαλοῦ· ὅθεν τοῦτον εὐθὺς ἀποδεῖν, ἵνα διὰ τοῦ στόματος αἰσθητῶς τρέφηται.

121 Τί πρῶτον τελειοῦται τοῦ βρέφους. [Plut. V 17 1. 2. 3. 4. 5. 6]

Οἱ Στωικοὶ ἅμα ὅλον γίνεσθαι νομίζουσιν. Ἀριστοτέλης πρῶτον τὴν ὀσφὺν ὥσπερ τρόπιν νεώς. Ἀλκμαίων τὴν κεφαλήν, ἐν ᾗ ἐστι τὸ ἡγεμονικόν. Οἱ ἰατροὶ τὴν καρδίαν, ἐν ᾗ καὶ φλέβες καὶ ἀρτηρίαι· οἱ δὲ τὸν μέγαν δάκτυλον τοῦ ποδός· οἱ δὲ τὸν ὀμφαλόν.

122 Διὰ τί τὰ ἑπταμηνιαῖα γόνιμα. [Plut. V 18 4. 5. 6. 3. 2]

332 Ἀριστοτέλης καὶ Ἱπποκράτης οἴεται, ἐὰν πληρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησί, ταύτην προκύπτειν καὶ τότε γόνιμα γίνεσθαι, ἐὰν δὲ προκύψῃ μὲν ἡ μήτρα, † φαίνηται ἀσθενήσαντος τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτὰ
333 γίγνεσθαι * * * | ἐὰν δὲ μείνῃ ἐννέα μῆνας ἐν τῇ μήτρᾳ [ποιεῖ], προκῦψαν τότε ὁλόκληρόν ἐστιν. Πόλυβος ἐν ἑκατὸν ὀγδοήκοντα δύο ἡμέραις γίγνεσθαι γόνιμα τὰ ἔμβρυα. τὰ δὲ ὀκτάμηνα μὴ ζῆν, ὅταν προκύψῃ μὲν τὸ βρέφος τῆς μήτρας, ἐπὶ πλέον δὲ ὁ ὀμφαλὸς βασανισθῇ διατεινόμενος· ἄτροφον γὰρ γίνεσθαι τὸ ἔμβρυον· τοῦ τρέφοντος αἴτιος ὁ ὀμφαλός. Οἱ δὲ μαθηματικοὶ τοὺς ὀκτὼ μῆνάς φασιν ἑστερῆσθαι πάσης γενέσεως, τοὺς δὲ ἑπτὰ συνδετικούς. τὰ δὲ ἀσύνδετα ζῴδια ἔχειν τοὺς οἰκοδεσποτοῦντας φαύλους τῶν ἀστέρων· ἂν γάρ τις τούτων τὴν ζωὴν καὶ τὸν βίον κληρώσῃ, δυστυχεῖς ἔσεσθαι σημαίνει. ἀσύνδετα δέ ἐστι ζῴδια ὀκτὼ ἀριθμούμενα·
334 κριὸς παρθένος, ἀσύνδετοι δὲ δίδυμοι πρὸς σκορπίον καὶ καρκίνος πρὸς ὑδροχόον, ζυγὸς πρὸς ἰχθύας. Διοκλῆς καὶ Ἐπίκουρος καὶ τὸν ὄγδοον μῆνα εἶναι γόνιμον, ἀτονώτερον δέ. Τίμαιος καὶ δωδεκάμηνά φησί τινα κύεσθαι παρὰ τὴν ἐπίσχεσιν τῶν καταμηνίων τὰ πρὸ τῆς συλλήψεως, οὕτω καὶ ἑπτάμηνα νομίζεσθαι οὐκ ὄντα προγεγενημένης τῆς συλλήψεως, δυναμένης δὲ τῆς μήτρας εἰς καταμήνια καὶ μετὰ σύλληψιν.

---

1 ἐπινενοημένας AB: correxi ἐπινενεμημένας mammas dispersas per corpus || στόμα AB || 2 χωρίου AB || τοῦτο A || 3 τρέφεσθαι A

5 πρῶτον om. B || 6 ὀσφὴν et τρόπον B || 8 post ὀμφαλόν in mrg. recens legitur scholion: ὁ δὲ γαληνὸς αὐτὸς τὸ ἦπαρ· ἐκ τῶν θρεπτικῶν δυνάμεων καὶ τῶν ἐμμηνίων, καθὰ φησὶν οὗτος εἰς τὸ περὶ δυσπλάσεως (!) ἐμβρύων [περὶ κυουμένων διαπλάσεως IV 658 sqq. K.]

9 ἑπταμηναῖα B: ἑπτάμηνα A || 10 ἡ μήτρα post μησὶ collocat B || 11 τοῦτο προκύπτει καὶ τὸ γόνιμον γίνεται A: τοῦ (superscripsit τ) προκύπτειν καὶ τότε γόνιμα γίνεσθαι B || προκύψεν ἡ B || 12 φαίνεται B. μὴ τρέφηται Plut., unde μὴ τρέ haustum videtur praecedente μήτρα || ἀσθενήσαντος B: ἀσθενήσαντα A || 13 ποιεῖ AB || προκύψαντα A || 14 πολύβιος B: τὸ λύκιος A || 15 οἷον προκύψαν AB || μὲν om. B || 16 τὸ βρέφος repetitum post βρέφος B || τε AB || ἐβασανίσθη AB || 17 γίνεσθαι B: γίνεται A || 18 ὑστερεῖσθαι B || 19 δὲ post τὰ om. B || ζῶα A || οἰκοδεσπότας B || 20 πληρώσῃ A: πληρώσει B || δυστυχὴς B: δυστυχῆ A || 21 haec quae secuntur confusa sunt || 23 ἰχθύν A || 24 τί (superscr. μ) A || 24. 25 κύεσθαί τινα B || παρά τε A: περί τε B || 25 τὰ πρὸ τῆς nolo mutare, cum de Plutarcho non constet

123 Πῶς ἐγένετο τὰ ζῷα καὶ εἰ φθαρτά. [Plut. V 19 1. 2. 3.]

Ἐπίκουρος· εἰ ἐγένετο ὁ κόσμος, γενητὰ καὶ τὰ ζῷα καὶ εἰ φθαρτὰ * * * γενητός, ἐκ μεταβολῆς τῆς ἀλλήλων γίγνεσθαι. μέρη γὰρ εἶναι τοῦ κόσμου ταῦτα, ὡς Ἀναξαγόρας καὶ Εὐριπίδης· 'θνήσκει δ' οὐδὲν τῶν γιγνομένων, διακρινόμενον δὲ ἄλλο πρὸς ἄλλο μορφὰς ἑτέρας ἐπέ|δειξεν'. 335
Δημόκριτος γεγενημένα εἶ|ναι τὰ ζῷα συστάσει † εἰ δὲ ἓν ἄστρον πρῶτον 336
τοῦ ὑγροῦ ζῳογονοῦντα.

124 Πόσα γένη ζῴων. [Plut. V 20 1. 4]

Πλάτων καὶ Ἀριστοτέλης τέσσαρα εἶναι ζῴων γένη λέγουσι χερσαῖα ἔνυδρα πτηνὰ οὐράνια· καὶ γὰρ τὰ ἄστρα ζῷα εἶναι· καὶ αὐτὸς ὁ κόσμος ζῷον λογικὸν ἀθάνατον. Πυθαγόρας καὶ Πλάτων λογικὰς μὲν εἶναι καὶ [τὰς] τῶν ἄλλων ζῴων τῶν ἀλόγων τὰς λεγομένας ψυχάς, οὐ μὴν λόγῳ ἐνεργεῖν διὰ τὴν δυσκρασίαν τῶν σωμάτων καὶ διὰ τὸ μὴ μετέχειν τοῦ φραστικοῦ λόγου, ὥσπερ ἐπὶ τῶν πιθήκων καὶ κυνῶν· νοοῦσι μέν, οὐ δύνανται δὲ φράζειν ἃ νοοῦσιν.

125 Ἐν πόσῳ χρόνῳ μορφοῦνται τὰ βρέφη. [Plut. V 21 1] 337

Ἐμπεδοκλῆς ἐπὶ μὲν τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ τῆς ἕκτης τριακοστῆς ἡμέρας, τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ πεντηκοστῆς μιᾶς. Ἀσκληπιάδης δὲ ἐπὶ μὲν τῶν ἀρρένων διὰ τὸ θερμοτέραν εἶναι τὴν κρᾶσιν, τὴν διάρθρωσιν γίγνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς, πληροῦσθαι δὲ ἀπὸ τῆς πεντηκοστῆς. τῶν δὲ θηλέων ἐν διμήνῳ γίνεσθαι τὴν διάρθρωσιν διὰ τὸ ἐνδεὲς τοῦ θερμοῦ.

126 Ἐκ ποίων στοιχείων συνίσταται ἕκαστον τῶν ἐν ἡμῖν μορίων. [Plut. V 22]

Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γίγνεσθαι τῇ ἰσοκρατείᾳ τῶν τεττάρων στοιχείων. τὰ δὲ νεῦρα ἐκ πυρὸς καὶ γῆς | ὕδατος διπλασίων μιχθέντων. 338

---

1 καὶ ἡ φθορά AB || 2 καὶ τὰ ζῷα γενητά A || ἡ φθορὰ A: εἰ φθαρτὰ B voluit fortasse καὶ φθαρτά, εἰ δ' ἀγένητος || 4 θνήσκει Plutarchus: αἰλῆσ B quod videtur ex maiuscula litterarum forma ΘΝΗCκει corruptum: ἕλις A, unde ὅλως coniecerat Nauck || 5 διακρινόμενα A || δὲ ἄλλοσε B || πρὸς ἄλλο B: πρὸς ἄλλον A || 6 συστάσει—ζῳογονοῦντα om. B: de vocabulis his sensu carentibus vid. Plut. p. 431 n[a] 29 Prol. 16. 16[2] 189

11 μὲν om. B || 12 τὰς delevi || τῶν ἀλόγων vera lectio mendosae τῶν ἄλλων substituenda videtur || 13 ἐνεργ^ A || τῶν φραστικῶν λόγων B

16 ζωογοῦνται τὰ βρέφη καὶ μορφοῦνται B || 17 ἐπὶ τῆς τῶν AB || διαρθώσεως om. artic. B || 18 πεντήκοντα μίας A: ν̄α B || 19 θερμότερον B || 21 θή A: θηλείων B || δίμηνα A: τετάρτῳ μηνὶ B

24 μερῶν A || 25 τῇ ἰσοκρατείᾳ ex τὴν ἰσοκράτειαν correctum B: τῆς ἰσοκρατείας A || 26 ὕδατι διπλάσιον B || μιχθεν AB

τοὺς δὲ ὄνυχας γίγνεσθαι τοῖς ζῴοις ἐκ τῶν νεύρων, καθ' ὃ τῷ ἀέρι συνέτυχε ψυχθέντων τῶν λοιπῶν στοιχείων. ἱδρῶτα καὶ δάκρυον γίνεσθαι τηκομένου τοῦ αἵματος καὶ παρὰ τὸ λεπτύνεσθαι διαχεομένου.

127 Πότε ἄρχεται τῆς τελειότητος ὁ ἄνθρωπος. [Plut. V 23 1]

Ἡράκλειτος καὶ οἱ Στωικοὶ ἄρχεσθαι ἡμᾶς τῆς τελειότητος περὶ τὴν δευτέραν ἑβδομάδα, περὶ ἣν ὁ σπερματικὸς κινεῖται πόρος· καὶ γὰρ τὰ δένδρα τελειοῦται, ὅταν ἄρχηται καρπὸν φέρειν. Ἀριστοτέλης δὲ κατὰ τὴν πρώτην ἑβδομάδα, καθ' ἣν ἔννοια γίνεται καλῶν τε καὶ αἰσχρῶν καὶ διδασκαλίας ἀρχή. Ἕτεροι δὲ νομίζουσι τελειοῦσθαι ἡμᾶς τῇ τρίτῃ ἑβδομάδι, ὅταν καὶ γένεια σχῶμεν καὶ τῇ ἰσχύι χρώμεθα.

339 **128** Πῶς ὕπνος γίνεται καὶ θάνατος. [Plut. V 24 1. 2. 4]

Ἀλκμαίων ἀναχωρήσει τοῦ αἵματος εἰς τὰς αἱμορροούσας φλέβας ὕπνον γίγνεσθαι, τὴν δὲ παντελῆ ἀναχώρησιν διὰ τῆς ψύξεως θάνατον φέρειν. Ἐμπεδοκλῆς τὸν μὲν ὕπνον κατάψυξιν τοῦ ἐν τῷ αἵματι θερμοῦ σύμμετρον ....., τὴν δὲ παντελῆ θάνατον. Πλάτων καὶ οἱ Στωικοὶ τὸν μὲν ὕπνον γίγνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ πνεύματος, ὅταν δὲ παντελὴς γένηται ἀναισθησία τοῦ αἰσθητικοῦ πνεύματος, θάνατον συμβαίνειν.

129 Πότερον ὁ ὕπνος τοῦ σώματος ἢ τῆς ψυχῆς. [Plut. V 25 1. 2]

Ἀριστοτέλης τὸν ὕπνον σώματος εἶναι καὶ ψυχῆς· αἴτιον δὲ αὐτοῦ
340 τὸ ἀναθυμιαθὲν ἀπὸ τοῦ θώρακος ὑγρὸν | εἰς τοὺς περὶ κεφαλὴν τόπους ἐκ τῆς ὑποκειμένης τροφῆς. θάνατον δὲ γίγνεσθαι διὰ τῆς παντελοῦς καταψύξεως. Ἀναξαγόρας κατὰ κόπον τῆς σωματικῆς ἐνεργείας γίγνεσθαι τὸν ὕπνον· σωματικὸν γὰρ εἶναι τὸ πάθος· εἶναι δὲ καὶ τῆς ψυχῆς θάνατον κατὰ χωρισμόν.

130 Πῶς αὔξεται τὰ φυτὰ καὶ εἰ ζῷα. [Plut. V 26 1. 2. (3) 4]

Θαλῆς καὶ Πλάτων τὰ φυτὰ ἔμψυχα ζῷα· φανερὸν δὲ ἐκ τοῦ σα-
341 λεύεσθαι καὶ ἐν ταῖς συναγωγαῖς ἥκειν | μετὰ βίας καὶ πάλιν σφοδρῶς

---

1 καθὸ τῷ μέρει συνέτυχε B: καθὰ τοῖς ζώοις συνέτυχε τῷ μέρει A || 2 ἱδρῶτα δὲ δάκρυ B || 3 διὰ τὸ B

5 φασι περὶ τὴν εὐδομάδα B || 7 δὲ om. A || 8 καὶ καλῶν A || καὶ post αἰσχρῶν om. A || 10 ὅτε AB || γέ A || ἀσκοῦμεν AB

11 γίνεται post θάνατος ponit B || 12 ἀναχώρησιν B || αἱμορρυούσας AB || 14 κατὰ ψύξιν A || τοῦδε ἐν B || θερμῷ AB || 15 post σύμμετρον lacunam IX litterarum indicat B. intercidit γίγνεσθαι || τὴν δὲ παντελῆ] τὴν ἐπαγγελίαν AB || 16 αἵματος B || 17 γίγνηται A

18 τοῦ σώματος ὁ ὕπνος A || 20 ἀναθυμιασθὲν AB

24 καὶ τὰ B || 26 ἥκειν AB cf. ad Plut. ||

ἀναχαλᾶσθαι, ὥστε καὶ συνέλκειν βάρη. Ἀριστοτέλης ἔμψυχα μέν, οὐ μὴν ζῷα * * * ὁρμητικὰ εἶναι καὶ αἰσθητικά, ἔνια δὲ * * * ἔμψυχα. πᾶσαν γὰρ ψυχὴν ὁρμητικὴν εἶναι * * * αὐτομάτως γεγενῆσθαι δίχα ψυχῆς. Ἐμπεδοκλῆς τὰ δένδρα πρῶτα τῶν ζῴων ἐκ τῆς γῆς ἀναφῦναι, ⟨πρὶν⟩ ἥλιον περιπολεῖν, διὰ δὲ ἀμετρίαν τῆς κράσεως τὸν τοῦ ἄρρενος καὶ θήλεος περιέχειν λόγον. αὔξεσθαι δὲ ὑπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρούμενα, ὥστε γῆς εἶναι μέρη· καὶ γὰρ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας εἶναι μέρη. τοὺς δὲ καρποὺς περιττώματα εἶναι τοῦ ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός. καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα | τὸ ὑγρὸν ἐξικμαζομένου τούτου τῷ θέρει 342
φυλορροεῖ, τὰ δὲ τέλειον παραμένει ἀεὶ φύλλοις τεθηλότα ὥσπερ ἐπὶ τῆς δάφνης καὶ τῆς ἐλαίας. τὰς διαφορὰς τῶν χυμῶν παραλλαγὰς γίγνεσθαι τῆς πολυμερείας καὶ τῶν φυτῶν διαφόρως ἑλκόντων τὰς ἀπὸ τοῦ τρέφοντος ὁμοιομερείας ὥσπερ ἐπὶ τῶν ἀμπέλων· οὐ γὰρ αἱ διαφοραὶ τούτων ποιοῦσι τὸν οἶνον διαλλάττειν, ἀλλὰ τοῦ τρέφοντος ἐδάφους.

131 Πῶς γίνεται πυρετὸς καὶ ἐπιγίνεται. [Plut. V 29 1. 2. 3]

Ἐρασίστρατος ὁρίζεται τὸν πυρετὸν κίνημα αἵματος παρεμπεπτωκότος εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα ἀπροαιρέτως | γινόμενον καθάπερ ἐπὶ τῆς θα- 343
λάττης, ὅταν μηδὲν αὐτὴν κινῇ πνεῦμα, ἠρεμεῖ. Διοκλῆς ἐπιγέννημα εἶναι τὸν πυρετόν· ἐπιγίνεται δὲ τραύματι καὶ βουβῶνι. Ἡρόδοτός φησιν ἐνίοτε μηδεμιᾶς αἰτίας προηγησαμένης πυρέττειν τινάς.

132 Περὶ νόσων. [Plut. V 30 2. 3]

Διοκλῆς αἰτίας πλείστας τῶν νόσων δι' ἀνωμαλίαν γίνεσθαι τῶν ἐν 344
τῷ σώματι στοιχείων καὶ τοῦ καταστήματος ἀέρος. Στράτων διὰ πλῆθος τροφῆς γίνεσθαι τὰς νόσους.

---

1 post ἀναχαλᾶσθαι lacunam XIV litt. nescio qua de caussa indicat B || βαρεῖ A || μὲν οὖν ζῶα AB. de lacunis cf. Plut. || 2 καὶ om. B || 3 ὁρμητικὴν ψυχὴν B || intercidit enuntiati aliquantum haud dubie propter homoeoteleuton ὁρμητικήν — λογικήν cf. Plut. || 4 πρῶτον B || ἐκ ζώων ἀναφύονται ὀλίγον περιπολεῖν B: τῶν ζώων ἐκ τῆς γῆς ἀναφῦναι ὀλίγον περὶ πολύ A || 5 τὸν om. B || 6 ἔχειν B || τῶν ἐν τῇ γῇ θερμῶν A || 9 ἐλλειπὲς A || ἐξηκμαζομένου AB || 10 φυλλοφορεῖν B || τέλειον B quod πλεῖον propius est cf. Plut.: τέ A || παραμένει A || 12 διαφόρων A || τῶν τρεφόντων A || 13 τῶν om. B || 14 διαλλάττοντα A

15 πῶς πυρετὸς γίνεται inscribit B || 18 κινῇ αὐτὴν πνεῦμα A: αὐτὴν πνεῦμα κινεῖ B || 19 ἐπιγίνεται γὰρ πράγματι B || Ἡρόδοτος immo Ἡρόφιλος cf. Prol. p. 39 || ἐνίοτε om. B || 21 titulum om. B || 23 τοῦ ἀέρος B || ἀέρος. Στράτων ex nomine Ἐρασίστρατος nescio an a Galeno effictum sit. in fine capitis addit Charterius Πυθαγόρας φησὶ τὰς νόσους γίνεσθαι κτλ. quode cf. Prol. p. 240²

133 Περὶ γήρως. [Plut. V 30 s. 6]

Οἱ Στωικοὶ καὶ οἱ ἰατροὶ παρὰ τὴν τοῦ θερμοῦ ὑπονόστησιν. Ἀσκληπιάδης δέ φησι τοὺς Αἰθίοπας λέγειν γηρᾶναι διὰ τὸ [ψύχεσθαι] * τὰ σώματα ὑπὸ τοῦ ἡλίου διαφλεγόμενα, τοὺς δὲ ἐν τῇ Βρεττανίᾳ ἑκατὸν
345 εἴκοσιν ἐτῶν γηρᾶν διὰ τὸ στέγειν ἐν αὐτοῖς τὸ πυρῶδες. τὰ μὲν | γὰρ τῶν 5
Αἰθιόπων σώματα ἀραιότερα διὰ τὸ κεχαλάσθαι ὑπὸ τοῦ ἡλίου, τὰ δὲ ὑπὸ τὴν ἄρκτον πεπυκνῶσθαι καὶ διὰ τοῦτο πολυχρόνια.

---

1 γήρους B || 2 καὶ οἱ om. B || καὶ οἱ ἰατροὶ fictum est ex Plutarchi male excerpto συμφώνως || 3 δὲ om. B || λέγειν [i. e. λ̄ ἐτῶν (vel corrupte ἔτει) cf. ad Plut. locum p. 433ª 17] γηρᾶν καὶ διὰ τὸ ψύχεσθαι AB nisi quod B λέγειν omisit || 3 ψύχεσθαι ex inferiore loco (cf. Plut. διὰ τὸ κατεψῦχθαι μὲν τοὺς τόπους) delatum; intercidit ὑπερθερμαίνεσθαι || 4 διαφλεγόμενον AB || 5 στέλλειν A || αὐτοὺς om. ἐν B || 7 τὸν ἄρκτον A || 7 subscribitur in A γαληνοῦ περὶ τοῦ παρ' ἱπποκράτει κώματος: —

ΕΡΜΕΙΟΥ ΔΙΑΣΥΡΜΟΣ ΤΩΝ ΕΞΩ ΦΙΛΟΣΟΦΩΝ

NOTARUM INDEX

V	Vindobonensis philos. et phil. gr. XIII Ness., XX Lamb. s. XIV vel XV
M	Monacensis DXII s. XV
O	Ottobonianus gracc. CXCI s. XV
L	Leidensis XVI Qu. 486 s. XV

ΕΡΜΕΙΟΥ ΦΙΛΟΣΟΦΟΥ
διασυρμὸς τῶν ἔξω φιλοσόφων.

1 Παῦλος ὁ μακάριος ἀπόστολος τοῖς τὴν Ἑλλάδα τὴν Λακωνικὴν παροικοῦσι Κορινθίοις γράφων, 'ὦ ἀγαπητοί,' ἀπεφήνατο λέγων· 'ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ,' οὐκ ἀσκόπως εἰπών· δοκεῖ γάρ μοι τὴν ἀρχὴν εἰληφέναι ἀπὸ τῆς τῶν ἀγγέλων ἀποστασίας. δι' ἣν αἰτίαν οὔτε σύμφωνα οὔτε ὁμόλογα οἱ φιλόσοφοι πρὸς ἀλλήλους λέγοντες ἐκτίθενται τὰ δόγματα.

2 Οἱ μὲν γάρ φασιν αὐτῶν ψυχὴν εἶναι τὸ πῦρ, οἱ δὲ τὸν ἀέρα [οἱ Στωικοί], οἱ δὲ τὸν νοῦν, οἱ δὲ τὴν κίνησιν, [Ἡράκλειτος] οἱ δὲ τὴν ἀναθυμίασιν, οἱ δὲ δύναμιν ἀπὸ τῶν ἄστρων ῥέουσαν, οἱ δὲ ἀριθμὸν κινητικόν [Πυθαγόρας], οἱ δὲ ὕδωρ γονοποιόν [Ἵππων], οἱ δὲ στοιχεῖον ἀπὸ στοιχείων οἱ δὲ ἁρμονίαν [Δείναρχος], οἱ δὲ τὸ αἷμα [Κριτίας], οἱ δὲ τὸ πνεῦμα, οἱ δὲ τὴν μονάδα [Πυθαγόρας], καὶ † οἱ παλαιοὶ τὰ ἐναντία. πόσοι λόγοι περὶ τούτων, ἐπιχειρήσεις πόσαι, πόσαι δίκαι σοφιστῶν ἐριζόντων μᾶλλον ἢ ταληθὲς εὑρισκόντων;

3 Ἀλλὰ γὰρ ἔστω· στασιάζουσι μὲν περὶ τῆς ψυχῆς * * * τὰ δὲ λοιπὰ περὶ αὐτῆς ὁμονοοῦντες ἀπεφήναντο· † καὶ ἄλλοι τὴν ἡδονὴν αὐτῆς ὁ μέν τις ἀγαθὸν καλεῖ, ὁ δέ τις κακόν, ὁ δ' αὖ μέσον ἀγαθοῦ καὶ κακοῦ, τὴν δὲ φύσιν αὐτῆς, οἱ μὲν ἀθάνατόν φασιν, οἱ δὲ θνητήν, οἱ δὲ πρὸς ὀλίγον ἐπιδιαμένουσαν, οἱ δὲ ἀποθηριοῦσιν αὐτήν, οἱ δὲ εἰς ἀτόμους διαλύουσιν,

---

1 Ἑρμείου τοῦ φιλοσόφου Darmarius || 3 τὴν Ἑλλάδα — παροικοῦσι delevit cum Menzelio Otto, sed cf. Clem. Strom. VI p. 826 P. τοῖς Ἑλλαδικοῖς ἐκείνοις γράφων Κορινθίοις. τὴν Λακωνικὴν Ἑλλάδα a potiore nominat Peloponnesum. παροικοῦσι ut littoris accolis cf. Isocr. 4, 162 || 4 Κορινθίοις γράφων I 3 19 || 5 οὐκ — ἀποστασίας suspecta Menzelio, sed cf. Neander allgem. Gesch. d. chr. Relig. u. Kirche ³ t. I 2 p. 923. 1162 || 7 οὐδὲ — οὐδὲ ante Wolfium

9 οἱ μὲν — γονοποιόν ex [Iustin.] coh. ad gent. c. 7 p. 8 CD cf. Prol. p. 261 || πῦρ, οἱ δὲ Menzel: πῦρ οἷον atque δημόκριτος supra τὸ πῦρ positum VMO. inde in continuum recentiores codd. receperunt. Menzelius nomina huius capitis omnia resecuit addita a scholiasta ex Nemesii c. 2 p. 67 || οἱ Στωικοὶ om. cod. Anglic.: articulum om. L || 12. 13 οἱ δὲ δ̄ στοιχείων ἁρμονίαν Menzel, similiter οἱ δὲ τῶν τεττάρων στ. ἁ. Otto [cf. Aetii Placit. IV 2 7]. at cf. Prol p. 261 ubi στοιχεῖον πρὸ στοιχείων conieci || 13 Δείναρχος pro Δικαίαρχος, errore a scholiasta ex Nemesio p. 68 tralato || οἱ δὲ τὴν μονάδα interpolatori vindicat Menzel || καὶ ἄλλοι αὖ τὰ ἐναντία Menzel post Galeum, καὶ ἄλλοι πολλοὶ αὖ τὰ ἐναντία sive καὶ ἄλλοι πάλιν τὰ ἐναντία post Maranum Otto, quod laudo si scribatur πάλιν αὖ cf. p. 653,7 || 15 δίκαι Usener: δὲ καὶ vulgo || σοφιστικῶν V

17 περὶ τῆς οὐσίας τῆς ψυχῆς Menzel: post ψυχῆς intercidisse puto τί ἐστιν || 18 ναί, ἀλλά coniecit Usener, οὐ μὴν ἀλλὰ Menzel, Seiler καὶ μὴν ἄλλοι cf. p. 653, 26. desidero καίτοι τ. ἡ. || 21 οἱ δὲ ἀποθηριοῦσιν Pythagorei ut apud Epiphanium III 8 p. 590, 12 μεταβαίνειν τὴν ψυχὴν εἰς πολλὰ ζῷα Porphyr. V. P. 19. sed fortasse Platonis quoque meminit (e. g. Tim. 42 c Republ. X p. 618 sq.), cuius sunt proxima.

οἱ δὲ τρὶς ἐνσωματοῦσιν, οἱ δὲ τρισχιλίων ἐτῶν περιόδους αὐτῇ ὁρίζουσιν. καὶ γὰρ οἱ μηδὲ ἑκατὸν ἔτη ζῶντες περὶ τρισχιλίων ἐτῶν μελλόντων ἐπαγγέλλονται.

4 Ταῦτα οὖν τί χρὴ καλεῖν; ὡς μὲν ἐμοὶ δοκεῖ, τερατείαν ἢ ἄνοιαν ἢ μανίαν ἢ στάσιν ἢ ὁμοῦ πάντα. εἰ μὲν ταληθὲς εὑρήκασιν, ὁμονοησάτωσαν ἢ συγκατατιθέσθωσαν, κἀγὼ τότε ἄσμενος αὐτοῖς πεισθήσομαι, εἰ δὲ ἀντισπῶσι τὴν ψυχὴν καὶ ἀνθέλκουσιν ἄλλος εἰς ἄλλην φύσιν, ἕτερος δὲ εἰς ἑτέραν οὐσίαν, ὕλην δὲ ἐξ ὕλης μεταβάλλουσιν, ὁμολογῶ ὑπεράχθεσθαι τῇ παλιρροίᾳ τῶν πραγμάτων. νῦν μὲν ἀθάνατός εἰμι καὶ γέγηθα, νῦν δ' αὖ θνητὸς γίνομαι καὶ δακρύω· ἄρτι δὲ εἰς ἀτόμους διαλύομαι, ὕδωρ γίνομαι, [καὶ] ἀὴρ γίνομαι, πῦρ γίνομαι· εἶτα μετ' ὀλίγον οὔτε ἀὴρ οὔτε πῦρ, θηρίον με ποιεῖ, ἰχθύν με ποιεῖ, πάλιν οὖν ἀδελφοὺς ἔχω δελφῖνας. ὅταν δὲ ἐμαυτὸν ἴδω, φοβοῦμαι τὸ σῶμα καὶ οὐκ οἶδα ὅπως αὐτὸ καλέσω, ἄνθρωπον ἢ κύνα ἢ λύκον ἢ ταῦρον ἢ ὄρνιν ἢ ὄφιν ἢ δράκοντα ἢ χίμαιραν· εἰς πάντα γὰρ τὰ θηρία ὑπὸ τῶν φιλοσοφούντων μεταβάλλομαι, χερσαῖα ἔνυδρα πτηνὰ πολύμορφα ἄγρια τιθασσὰ ἄφωνα εὔφωνα ἄλογα λογικά· νήχομαι ἵπταμαι [πέτομαι] ἕρπω θέω καθίζω. ἔτι δὲ ὁ Ἐμπεδοκλῆς καὶ θάμνον με ποιεῖ.

5 Ὅπου τοίνυν τὴν ἀνθρώπου ψυχὴν ὁμογνωμόνως εὑρεῖν οὐχ οἷόν τε τοῖς φιλοσοφοῦσι, σχολῇ γ' ἂν περὶ τῶν θεῶν ἢ περὶ κόσμου δύναιντο ταληθὲς ἀποφήνασθαι. καὶ γὰρ ταύτην ⟨τὴν⟩ ἀνδρείαν ἔχουσιν, ἵνα μὴ τὴν ἐμπληξίαν εἴπω. οἱ γὰρ τὴν ἰδίαν ψυχὴν εὑρεῖν οὐ δυνάμενοι, [οὐ] ζητοῦσι τὴν τῶν θεῶν αὐτῶν, καὶ οἱ τὸ ἴδιον σῶμα οὐκ εἰδότες τὴν τοῦ κόσμου φύσιν περιεργάζονται.

6 Πάνυ γοῦν περὶ τὰς ἀρχὰς τῆς φύσεως ἀνθίστανται ἀλλήλοις. ὅταν μὲν Ἀναξαγόρας παραλάβῃ με, ταῦτα παιδεύει· ἀρχὴ πάντων ὁ νοῦς καὶ οὗτος αἴτιος καὶ κύριος τῶν ὅλων καὶ παρέχει τάξιν τοῖς ἀτάκτοις καὶ κίνησιν τοῖς ἀκινήτοις καὶ διάκρισιν τοῖς μεμιγμένοις καὶ κόσμον τοῖς ἀκόσμοις. ταῦτα λέγων Ἀναξαγόρας ἐστί μοι φίλος καὶ τῷ δόγματι πείθομαι. ἀλλ' ἀνθίσταται τούτῳ Μέλισσος καὶ Παρμενίδης. ὅ γε μὴν Παρμενίδης καὶ ποιητικοῖς ἔπεσιν ἀνακηρύσσει τὴν οὐσίαν ἓν εἶναι καὶ ἀίδιον καὶ ἄπειρον καὶ ἀκίνητον καὶ πάντῃ ὅμοιον. πάλιν οὖν εἰς τοῦτο τὸ

---

1 τρισενσωματοῦσαν VMO(L)^{1}: corr. Seiler. significatur Plato Phaedr. p. 249 A || 2 οἱ δὲ τρισχιλίων idem ibid.

5 τι ἀληθὲς vulgo: correxi cf. v. 20 et p. 651, 16 || 7 ἄλλως codices: corr. Seiler || 8 μεταβάλλουσαν VMOL: corr. Wolf || γὰρ ἀχθεσθαι codd.: corr. Menzel || 11 καὶ ante ἀήρ del. Menzel || θηρίον με ποιεῖ κτλ. cf. Aen. Gaz. p. 14. 15 [Prol. p. 262^{1}] || 17 πέτομαι eiecit Menzel, ὑπερίπταμαι est p. 656, 12 || ἔστι δὲ ὁ codices: corr. Menzel. ἔστι δὲ ὅτε Wolf || 17 Ἐμπεδοκλῆς v. 380 K. 384 St. cf. p. 558, 22 Tertull. d. anima c. 32 cf. Karsten p. 274

19 τοῦ κόσμου suadet Otto || 20 τὴν add. Menzel || 21 εἰ γὰρ codices: corr. Seiler || οὐ del. Worth: Seiler ἐκζητοῦσι. Menzel ἀναζητοῦσι

25 τῶν πάντων coni. Otto cf. p. 653, 10 || 29 ἀνθίσταται VMOL: ἀνθίστανται cod. Anglicanus || τούτου codices: corr. Wolf || 30 ποιητικοῖς inducebat Worth. huic scriptori condonandum || 31 παντὶ codd.: corr. Wolf

δόγμα οὐκ οἶδ' ὅπως μεταβάλλομαι· ὁ Παρμενίδης τὸν Ἀναξαγόραν τῆς ἐμῆς ⟨γνώμης⟩ ἐξήλασεν.

7 Ἐπειδὰν δὲ ἡγήσωμαι δόγμα ἔχειν ἀκίνητον, Ἀναξιμένης ὑπολαβὼν ἀντικέκραγεν· ἀλλ' ἐγώ σοί φημι· τὸ πᾶν ἐστιν ἀήρ, καὶ οὗτος πυκνούμενος καὶ συνιστάμενος ὕδωρ καὶ γῆ γίνεται, ἀραιούμενος δὲ καὶ διαχεόμενος αἰθὴρ καὶ πῦρ, εἰς δὲ τὴν αὑτοῦ φύσιν ἐπανιὼν ἀήρ [† ἀραιός, εἰ δὲ καὶ πυκνωθῇ, φησίν, ἐξαλλάσσεται]. καὶ πάλιν αὖ τούτῳ μεθαρμόζομαι καὶ τὸν Ἀναξιμένην φιλῶ.

8 Ὁ δὲ Ἐμπεδοκλῆς ἄντικρυς ἔστηκεν ἐμβριμώμενος καὶ ἀπὸ τῆς Αἴτνης μέγα βοῶν· ἀρχαὶ τῶν πάντων ἔχθρα καὶ φιλία, ἡ μὲν συνάγουσα ἡ δὲ διακρίνουσα· καὶ τὸ νεῖκος αὐτῶν ποιεῖ τὰ πάντα. ὁρίζομαι δὲ αὐτὰ καὶ ὅμοια καὶ ἀνόμοια, καὶ ἄπειρα καὶ πέρας ἔχοντα, καὶ ἀίδια καὶ γινόμενα. Εὖ γε ὦ Ἐμπεδόκλεις, ἕπομαί σοι καὶ μέχρι τῶν κρατήρων τοῦ πυρός.

9 Ἀλλ' ἐπὶ θάτερα Πρωταγόρας ἑστηκὼς ἀνθέλκει με φάσκων· ὅρος καὶ κρίσις τῶν πραγμάτων ὁ ἄνθρωπος καὶ τὰ μὲν ὑποπίπτοντα ταῖς αἰσθήσεσιν ἔστιν πράγματα, τὰ δὲ μὴ ὑποπίπτοντα οὐκ ἔστιν ἐν τοῖς εἴδεσι τῆς οὐσίας. τούτῳ τῷ λόγῳ κολακευόμενος ὑπὸ Πρωταγόρου τέρπομαι, ὅτι τὸ πᾶν ἢ τὸ πλεῖστον τῷ ἀνθρώπῳ νέμει.

10 Ἀλλαχόθεν δέ μοι Θαλῆς τὴν ἀλήθειαν νεύει ὁριζόμενος ὕδωρ τοῦ παντὸς ἀρχήν. καὶ ἐκ τοῦ ὑγροῦ τὰ πάντα συνίσταται καὶ εἰς ὑγρὸν ἀναλύεται, καὶ ἡ γῆ ἐπὶ ὕδατος ὀχεῖται. διὰ τί τοίνυν μὴ πεισθῶ Θαλῆ τῷ πρεσβυτάτῳ τῶν Ἰώνων; ἀλλ' ὁ πολίτης αὐτοῦ Ἀναξίμανδρος τοῦ ὑγροῦ πρεσβυτέραν ἀρχὴν εἶναι λέγει τὴν ἀίδιον κίνησιν καὶ ταύτῃ τὰ μὲν γεννᾶσθαι, τὰ δὲ φθείρεσθαι. καὶ δὴ τοίνυν πιστὸς Ἀναξίμανδρος ἔστω.

11 Καὶ μὴν οὐκ εὐδοκιμεῖ Ἀρχέλαος ἀποφαινόμενος τῶν ὅλων ἀρχὰς θερμὸν καὶ ψυχρόν; ἀλλὰ καὶ τούτῳ πάλιν ὁ μεγαλόφωνος Πλάτων οὐχ ὁμολογεῖ λέγων ἀρχὰς εἶναι θεὸν καὶ ὕλην καὶ παράδειγμα. νῦν μὲν καὶ δὴ πέπεισμαι. πῶς γὰρ οὐ μέλλω πιστεύειν φιλοσόφῳ τῷ τὸ Διὸς ἅρμα πεποιηκότι; κατόπιν δὲ αὐτοῦ μαθητὴς Ἀριστοτέλης ἕστηκε ζηλοτυπῶν τὸν διδάσκαλον τῆς ἁρματοποιίας. οὗτος ἀρχὰς ἄλλας ὁρίζεται τὸ ποιεῖν καὶ

---

1 γνώμης ex p. 655, 4 addidit Menzel. Platonica ellipsis ut κατά γε τὴν ἐμήν et ἡ γ' ἐμὴ νικᾷ ab Ottone male excusatur

3 ἡγήσομαι ante Wolfium || 5 καὶ γῆ V: καὶ ἀὴρ ceteri libri || 6 ἀραιός—ἐξαλλάσσεται delevi periphrasin sic fere restituendam ἀραιωθεὶς δὲ καὶ πυκνωθείς, φησίν, ἐξάλλάσσεται || 7 φῇ i. e. φησίν codd.: φύσιν Wolf || 8 αὐτῷ τούτῳ V: αὐτῷ τοῦτο vulgo: corr. Menzel

9 ἐμβριμούμενος ante Menzelium || 11 καὶ τὸ νεῖκος κτλ. cf. Karsten Emped. p. 379 intercidit fortasse στοιχείων mentio ante καὶ

19 νέμει VMOL: deteriores μένει

20 μηνύει Gale. poeticum verbum non movendum est || 21 ἀρχή Menzel distinguens ante ὕδωρ || 22 πεισθῶ V: πείθω ante Seilerum || 23 πρεσβυτέρᾳ ante Menzelium qui conferri iubet [Iustin.] l. l. c. 5 p. 6 B ὁ πρεσβύτατος τῶν κατ' αὐτοὺς ἁπάντων Θαλῆς || τοῦ ὑγροῦ cf. Prol. p. 263 [1]

26 εὐδοκιμεῖν codd.: corr. Seiler || 27 τούτου codd.: corr. Seiler || μεγαλόφωνος ex [Iustino] coh. ad gent. c. 31 p. 30 c. indidem cetera usque ad πεποιηκότι cf. Prol. p. 262 || 29 τῷ τοῦ vulgo: correxi || 31 τὸ ποιεῖν καὶ τὸ πάσχειν categoriarum intempestive meminit, sed ex proximis cum Menzelio scribendum videtur τὸ ποιοῦν καὶ τὸ πάσχον

τὸ πάσχειν. καὶ τὸ μὲν ποιοῦν ἀπαθὲς εἶναι τὸν αἰθέρα, τὸ δὲ πάσχον ἔχειν ποιότητας τέσσαρας, ξηρότητα ὑγρότητα θερμότητα ψυχρότητα· τῇ γὰρ τούτων εἰς ἄλληλα μεταβολῇ πάντα γίνεται καὶ φθείρεται.

12 Κεκμήκαμεν ἤδη μεταβαλλόμενοι ἄνω καὶ κάτω τοῖς δόγμασι. πλὴν ἐπί γε τῆς Ἀριστοτέλους γνώμης στήσομαι καὶ μηκέτι μοι μηδὲ εἰς λόγος ὀχλείτω. ἀλλὰ τί δῆτα πάθοιμ' ἄν; νευροσπαστοῦσι γάρ μου τὴν ψυχὴν ἀρχαιότεροι τούτων γέροντες. Φερεκύδης μὲν ἀρχὰς εἶναι λέγων Ζῆνα καὶ Χθονίην καὶ Κρόνον· Ζῆνα μὲν τὸν αἰθέρα, Χθονίην δὲ τὴν γῆν, Κρόνον δὲ τὸν χρόνον· ὁ μὲν αἰθὴρ τὸ ποιοῦν, ἡ δὲ γῆ τὸ πάσχον, ὁ δὲ χρόνος ἐν ᾧ τὰ γινόμενα. ζηλοτυπία τοίνυν τῶν γερόντων πρὸς ἀλλήλους. ταῦτα γάρ τοι πάντα ὁ Λεύκιππος λῆρον ἡγούμενος ἀρχὰς εἶναί φησι τὰ ἄπειρα καὶ ἀεικίνητα καὶ ἐλάχιστα· καὶ τὰ μὲν λεπτομερῆ ἄνω χωρήσαντα πῦρ καὶ ἀέρα γενέσθαι, τὰ δὲ παχυμερῆ κάτω ὑποστάντα ὕδωρ καὶ γῆν.

13 Μέχρι ποῦ τὰ τοσαῦτα διδάσκομαι μηδὲν ἀληθὲς μανθάνων; πλὴν εἰ μή τί γε Δημόκριτος ἀπαλλάξει με τῆς πλάνης ἀποφαινόμενος ἀρχὰς τὸ ὂν καὶ τὸ μὴ ὄν, καὶ τὸ μὲν ὂν πλῆρες, τὸ δὲ μὴ ὂν κενόν. τὸ δὲ πλῆρες ἐν τῷ κενῷ τροπῇ ἢ ῥυθμῷ ποιεῖ τὰ πάντα· ἴσως ἂν πεισθείην τῷ καλῷ Δημοκρίτῳ καὶ βουλοίμην ἂν σὺν αὐτῷ γελᾶν, εἰ μὴ μετεπείθοι με Ἡράκλειτος κλαίων ὁμοῦ καὶ λέγων· ἀρχὴ τῶν ὅλων τὸ πῦρ, δύο δὲ αὐτοῦ πάθη ἀραιότης καὶ πυκνότης, ἡ μὲν ποιοῦσα ἡ δὲ πάσχουσα, ἡ μὲν συγκρίνουσα ἡ δὲ διακρίνουσα. ἱκανῶς ἔχει μοι καὶ ἤδη μεθύω ταῖς τοσαύταις ἀρχαῖς.

14 Ἀλλά με παρακαλεῖ κἀκεῖθεν Ἐπίκουρος μηδαμῶς ὑβρίσαι τὸ καλὸν αὐτοῦ δόγμα τῶν ἀτόμων καὶ τοῦ κενοῦ. τῇ γὰρ τούτων συμπλοκῇ πολυτρόπῳ καὶ πολυσχηματίστῳ τὰ πάντα γίνεται καὶ φθείρεται. οὐκ ἀντιλέγω σοι βέλτιστε ἀνδρῶν Ἐπίκουρε· ἀλλ' ὁ Κλεάνθης ἀπὸ τοῦ φρέατος ἐπάρας τὴν κεφαλὴν καταγελᾷ σου τοῦ δόγματος καὶ αὐτὸς ἀνιμᾷ τὰς ἀληθεῖς ἀρχὰς θεὸν καὶ ὕλην. καὶ τὴν μὲν γῆν μεταβάλλειν εἰς ὕδωρ, τὸ δὲ ὕδωρ εἰς ἀέρα, τὸν δὲ ἀέρα ⟨ἄνω⟩ φέρεσθαι, τὸ δὲ πῦρ εἰς τὰ περίγεια χωρεῖν, τὴν δὲ ψυχὴν δι' ὅλου τοῦ κόσμου διήκειν, ἧς μέρος μετέχοντας ἡμᾶς ἐμψυχοῦσθαι.

15 Τούτων τοίνυν τοσούτων ὄντων ἄλλο μοι πλῆθος ἀπὸ Λιβύης ἐπιρρεῖ, Καρνεάδης καὶ Κλειτόμαχος καὶ ὅσοι τούτων ὁμιληταὶ πάντα τὰ

---

1 τὸν αἰθέρα obelo notavit Menzel cf. v. 8 || 2 ἔχον codd.: corr. Menzel || τὰ πάντα Otto || 3 γίνεσθαι καὶ φθείρεσθαι Menzel, sed cf. v. 25 et p. 653, 22

4 μεταμελλόμενοι VMOL: corr. post Galeum Menzel || 5 ἔτι codd.: corr. Seiler || 6 ἐνοχλείτω Menzel || νευροκοποῦσι codd.: correxit Usener || 7 τούτου malit Menzel || μὲν sc. νευροσπαστεῖ || 10 ζηλοτυπία VM(O): ζηλοτύποι L: ζηλοτυπούντων οὖν γερόντων πρὸς ἀλλήλους, ταῦτά γέ τοι πάντα κτλ. Menzel || 11 φασι V || 12 ἀκίνητα ante Galeum cf. Hippol. ref. I 12 1 [supra p. 564, 27] ἄπειρα εἶναι καὶ ἀεὶ κινούμενα Laert. IX 30

14 ποῦ MVO(L) cf. p. 656, 15: τοῦ Menzel || 17 ῥυθμῷ retinui cf. p. 314 b 5: ῥυσμῷ Seiler || ποιεῖν coni. Wolf, sed cf. v. 3 || 19 μὲν codd.: με corr. Seiler || 21 κἂν codd.: corr. Menzel ex Selleri versione

25 γίνεσθαι καὶ φθείρεσθαι Menzel, sed cf. v. 3. 17 || 26 φρέατος cf. Diog. VII 168 || 27 ἀνιμᾷ VMO: ἀνιμῶ (L?) || 28 μεταβαλεῖν vulgo: correxi || 29 ἄνω addidit Worthium secutus Menzel

33 ἐπιρρεῖ ex Platonis [Phaedr. p. 229 D] imitatione

τῶν ἄλλων δόγματα καταπατοῦντες, αὐτοὶ δὲ ἀποφαινόμενοι διαρρήδην ἀκατάληπτα εἶναι τὰ πάντα καὶ ἀεὶ τῇ ἀληθείᾳ φαντασίαν [ἀεὶ] παρακεῖσθαι ψευδῆ. τί τοίνυν πάθω τοσούτῳ χρόνῳ ταλαιπωρήσας; πῶς δέ μου τῆς γνώμης ἐχχέω τὰ τοσαῦτα δόγματα; εἰ γὰρ μηδὲν εἴη καταληπτόν, ἀλήθεια μὲν ἐξ ἀνθρώπων οἴχεται, ἡ δὲ ὑμνουμένη φιλοσοφία σκιομαχεῖ μᾶλλον ἢ τὴν τῶν ὄντων ἐπιστήμην ἔχει.

16 Ἄλλοι τοίνυν ἀπὸ τῆς παλαιᾶς φυλῆς Πυθαγόρας καὶ οἱ τούτου συμφυλέται σεμνοὶ καὶ σιωπηλοὶ παραδιδόασιν ἄλλα μοι δόγματα ὥσπερ μυστήρια, καὶ τοῦτο δὴ τὸ μέγα καὶ ἀπόρρητον [τό] αὐτὸς ἔφα· ἀρχὴ τῶν πάντων ἡ μονάς. ἐκ δὲ τῶν σχημάτων αὐτῆς καὶ ἐκ τῶν ἀριθμῶν τὰ στοιχεῖα γίνεται. καὶ τούτων ἑκάστου τὸν ἀριθμὸν καὶ τὸ σχῆμα καὶ τὸ μέτρον οὕτω πως ἀποφαίνεται· τὸ μὲν πῦρ ὑπὸ τεσσάρων καὶ εἴκοσι τριγώνων ὀρθογωνίων συμπληροῦται τέσσαρσιν ἰσοπλεύροις περιεχόμενον. ἕκαστον ⟨δὲ⟩ ἰσόπλευρον σύγκειται ἐκ τριγώνων ὀρθογωνίων ἓξ. ὅθεν δὴ καὶ πυραμίδι προσεικάζουσιν αὐτό. ὁ δὲ ἀὴρ ὑπὸ τεσσαράκοντα ὀκτὼ τριγώνων συμπληροῦται περιεχόμενον ἰσοπλεύροις ὀκτώ. εἰκάζεται δὲ ὀκταέδρῳ, ὃ περιέχεται ὑπὸ ὀκτὼ τριγώνων ἰσοπλεύρων, ὧν ἕκαστον εἰς ἓξ ὀρθογώνια διαιρεῖται, ὥστε γίνεσθαι τεσσαράκοντα ὀκτὼ τὰ πάντα. τὸ δὲ ὕδωρ ὑπὸ ἑκατὸν εἴκοσι ⟨τριγώνων συμπληροῦται, ἴσοις καὶ ἰσοπλεύροις εἴκοσι⟩ περιεχόμενον, εἰκάζεται δὲ εἰκοσαέδρῳ, ὃ δὴ συνέστηκεν ἐξ ἴσων καὶ ἰσοπλεύρων τριγώνων εἴκοσι καὶ ἑκατόν. ὁ δὲ αἰθὴρ συμπληροῦται δώδεκα πενταγώνοις ἰσοπλεύροις καὶ ὅμοιός ἐστι δωδεκαέδρῳ. ἡ ⟨δὲ⟩ γῆ συμπληροῦται ἐκ τριγώνων μὲν ὀκτὼ καὶ τεσσαράκοντα περιέχεται δὲ καὶ τετραγώνοις ἰσοπλεύροις ἓξ. ἔστι δὲ ὁμοία κύβῳ. ὁ γὰρ κύβος ὑπὸ ἓξ τετραγώνων περιέχεται, ὧν ἕκαστον εἰς ὀκτὼ τρίγωνα ⟨διαιρεῖται⟩, ὥστε γίνεσθαι τὰ πάντα ὀκτὼ καὶ τεσσαράκοντα.

17 Τὸν μὲν δὴ κόσμον ὁ Πυθαγόρας μετρεῖ. ἐγὼ δὲ πάλιν ἔνθεως γενόμενος τῆς μὲν οἰκίας καὶ πατρίδος καὶ τῆς γυναικὸς καὶ τῶν παιδίων καταφρονῶ καὶ τούτων οὐκέτι μοι μέλει. εἰς δὲ τὸν αἰθέρα αὐτὸν αὐτὸς ἀνέρχομαι καὶ τὸν πῆχυν παρὰ Πυθαγόρου λαβὼν μετρεῖν ἄρχομαι τὸ πῦρ. οὐ γὰρ ἀπόχρη μετρῶν ὁ Ζεύς, ἀλλ' ⟨εἰ⟩ μὴ καὶ τὸ μέγα ζῷον τὸ μέγα σῶμα ἡ μεγάλη ψυχὴ αὐτὸς εἰς τὸν οὐρανὸν ἀνέλθοιμι καὶ μετρήσαιμι τὸν αἰθέρα, οἴχεται ἡ τοῦ Διὸς ἀρχή. ἐπειδὰν δὲ μετρήσω καὶ ὁ Ζεὺς παρ' ἐμοῦ μάθῃ, πόσας γωνίας ἔχει τὸ πῦρ, πάλιν ἐξ οὐρανοῦ καταβαίνω καὶ φαγὼν ἐλαίας καὶ σῦκα καὶ λάχανα τὴν ταχίστην ἐπὶ τὸ ὕδωρ στέλλομαι καὶ κατὰ πῆχυν καὶ δάκτυλον καὶ ἡμιδάκτυλον μετρῶ τὴν ὑγρὰν οὐσίαν καὶ τὸ βάθος αὐτῆς ἀναμετρῶ, ἵνα καὶ τὸν Ποσειδῶνα διδάξω, πόσης ἄρχει

---

2 fortasse τῇ ἀληθεῖ φαντασίᾳ || alterutrum ἀεὶ abundare vidit Seiler || 3 τοσοῦτον χρόνον Menzel: tuetur vulgatam Otto || 4 μηδέν ἐστι malit Menzel, sed cf. v. 30 || 5 σκιαμαχεῖ Menzel

9 τό· αὐτὸς ἔφη libri: correxit Otto. ἀπόρρητον αὐτὸς ἔφα τό Menzel || 14 δὲ inseruit Seiler || 19 τριγώνων — εἴκοσι inseruit secundum Worthium Otto || 21 εἴκοσι $\bar{\varsigma}$ δὲ $\bar{\kappa}$ $\overline{\rho\eta}$ codd.: restituit Worth || πενταγώνοις V: πενταγωνίοις vulgo || 22 δὲ addidit Menzel || 25 εἰς δ΄ τρίγωνα ὥστε codd.: corr. Worth || γίνεσθαι VOL: vulgo γίνεται || πάντα $\kappa\bar{\delta}$ codd.: corr. Worth

26 οὕτω μετρεῖ Seiler || 30 ἀλλὰ μὴ codd.: corr. Seiler || 32 δὲ πάλιν μ. deter. codd.

θαλάσσης. τὴν δὲ γῆν ἅπασαν ἡμέρᾳ μιᾷ περιέρχομαι συλλέγων αὐτῆς τὸν ἀριθμὸν καὶ τὸ μέτρον καὶ τὰ σχήματα. πέπεισμαι γὰρ ὅτι τοῦ κόσμου παντὸς οὐδὲ σπιθαμὴν παρήσω τοιοῦτος καὶ τηλικοῦτος ὤν. οἶδα δὲ ἐγὼ καὶ τῶν ἀστέρων τὸν ἀριθμὸν καὶ τῶν ἰχθύων καὶ τῶν θηρίων καὶ ζυγῷ τὸν κόσμον ἱστὰς εὐκόλως τὸν σταθμὸν αὐτοῦ δύναμαι μαθεῖν.

18 Ἀμφὶ μὲν δὴ ταῦτα μέχρι νῦν ἐσπούδακεν ἡ ψυχή μου τῶν ὅλων ἄρχειν. προκύψας δέ μοί φησιν Ἐπίκουρος· σὺ μὲν δὴ κόσμον ἕνα μεμέτρηκας, ὦ φιλότης, εἰσὶ δὲ κόσμοι πολλοὶ καὶ ἄπειροι. πάλιν οὖν ἀναγκάζομαι μετρεῖν οὐρανοὺς ἄλλους αἰθέρας ἄλλους, καὶ τούτους πολλούς. ἄγε δὴ μηκέτι μέλλων ἐπισιτισάμενος ὀλίγων ἡμερῶν εἰς τοὺς Ἐπικουρείους κόσμους ἀποδημήσω. τὰ μὲν οὖν πέρατα Τηθὺν καὶ Ὠκεανὸν εὐκόλως ὑπερίπταμαι. εἰσελθὼν δὲ εἰς κόσμον καινὸν [καὶ] ὥσπερ εἰς ἄλλην πόλιν μετρῶ τὰ πάντα ὀλίγαις ἡμέραις. κἀκεῖθεν ὑπερβαίνω πάλιν εἰς τρίτον κόσμον, εἶτα εἰς τέταρτον καὶ πέμπτον καὶ δέκατον καὶ ἑκατοστὸν καὶ χιλιοστὸν καὶ μέχρι ποῦ· ἤδη γάρ μοι σκότος ἀγνοίας ἀπαντᾷ καὶ ἀπάτη μέλαινα καὶ ἄπειρος πλάνη καὶ ἀτελὴς φαντασία καὶ ἀκατάληπτος ἄνοια. πλὴν τί μέλλω καὶ τὰς ἀτόμους αὐτὰς ἀριθμεῖν, ἐξ ὧν οἱ τοσοῦτοι κόσμοι γεγόνασιν, ἵνα μηδὲν ἀνεξέταστον παραλείπω μάλιστα τῶν οὕτως ἀναγκαίων καὶ ὠφελίμων, ἐξ ὧν οἶκος καὶ πόλις εὐδαιμονεῖ;

19 Ταῦτα μὲν τοίνυν διεξῆλθον βουλόμενος δεῖξαι τὴν ἐν τοῖς δογμασιν οὖσαν αὐτῶν ἐναντιότητα καὶ ὡς εἰς ἄπειρον αὐτοῖς καὶ ἀόριστον πρόεισιν ἡ ζήτησις τῶν πραγμάτων καὶ τὸ τέλος αὐτῶν ἀτέκμαρτον καὶ ἄχρηστον, ἔργῳ μηδενὶ προδήλῳ καὶ λόγῳ σαφεῖ βεβαιούμενον.

---

1 τὴν μὲν codd.: καὶ τὴν μὲν Wolf et Menzel: correxi || παρέρχομαι ante Menzelium || 3 πάντα codd.: corr. Maranus || οἶδα κτλ. cf. oraculum Delphicum Herod. I 47 || 5 ἐπὶ ζυγῷ Wolf

7 προσκύψας codd.: corr. Seiler || 9 εἰπεῖν codd.: μετρεῖν corr. Menzel. in mentem veniebat ἐπιέναι || οὐρανοὺς πολλοὺς vulgo: correxi || 10 μέλλ' VL: μέλλων ceteri || ἐπισιτισάμενος VM: ἐπισιτιασάμενος vulgo ||

11 ἀποδήμησον libri: correxi || πέρατα meminit Homeri Ξ 200 || 12 καὶ delevi || 13 εἰς γ' κόσμον sic MVOL: εἰς κόσμον ante Menzelium || 15 ἀνοίας L || ἅπαντα codd.: corr. Wolf || 16 ἄνοια VM(O)L cf. p. 652,4: vulgo ἄγνοια || 17 εἰ μέλλω codd.: correxi || καὶ Seiler: κατὰ codd. || 16 οὕτως ἀριθμεῖν L et duo codd. Marani (VO): αὐτὰς C || 19 εὐδαιμονᾷ ante Seilerum

INDICES

SCRIPTORUM SIGLA

A	Aëtii Placita
D	Arii Didymi Epitomes fragm. phys.
ThO	Theophrasti Physicorum Opinionum fragm.
ThS	eiusdem de Sensibus fragm.
C	Ciceronis de Deorum natura I ecloga
Ph	Philodemi de Pietate I ecloga
Hi	Hippolyti Philosophumena (Refutat. I)
Pl	Plutarchi qui ferebantur Stromateon fragm.
E	Epiphanii III eclogae
G	Galeni quae fertur Historia philosopha
He	Hermiae gentilium philosoph. Irrisio

Numeri uncinis inclusi priores huius editionis paginas, posteriores versiculos indicant. litterulae sublimes [a] et [b] singularum paginarum dextram laevamque partem significant, litterae n adnotationis, t testimoniorum numeros praecedunt, qui ad ipsorum (non contextus) versiculos spectant. locorum indicatorum quantumcunque spatium est, primus tantum versus notatur.

I INDEX NOMINUM

Abulfaragius in hist. dynast. num Plutarchi Placitis utatur 28

Academia Hi 23 1 (572, 20) Academiae quot numerentur 173. 245 G 3 (599, 4)

Academici unde dicti Hi 23 1 (572, 20) G 4 (602, 6) in Aëtii Placitis rari 185 Academici antiqui semper humanum genus fuisse existimaverunt 187 (Academici cum Platone) de animarum post mortem statu 199 Academia vetus divinationem probavit 224 (Academici) sensus neque καταλήψεις neque συγκαταθέσεις esse A IV 8 13 (396 b 5) cf. 185 quomodo visus fiat A IV 13 2 (403 b 8 cf. a 5 b 5) sapientem λόγῳ percipere A IV 9 18 (398 b 24) sensus sanos, sed minime accuratos A IV 9 1 (396 b 17) (Academici quidam) de nulla re sententiam ferendam Hi 23 3 (572, 26) τὸ οὐ μᾶλλον et τὸ τοιόνδε dicebant Hi 23 3 (573, 1)

Achaia crebris terrae motibus nota D 13 (454, 2)

Achilles falso Statius vel Tatius apellatus 17 commentarium in Aratum scripsit, cuius excerpta exstant 18 quando vixerit 18 Stoicam disciplinam ex Diodoro Alexandrino per Eudorum transvexit 19sqq., placita ex Plutarcho parum accurate excerpsit 22sqq. loci corriguntur 20. 22. 26. 231

Adrastea. etymologia D 29 (465, 2) apud Platonem Hi 19 19 (569, 21)

Adrastus Aphrodisiensis 18

Africa A IV 1 6 (385, 28) 490, 6 He 15 (654, 32)

Aegira fluctibus mersa 490, 3. 5 cf. 108

Aegospotamoe. aërolithus qui illic decidit a Diogene memoratur A II 13 9 (342 a 3 b 12, t b 8)

Aegyptus A IV 1 1 (384, 21) 4 (385, 13) 5 (385, 23) 6 (385, 26) Thales inde Miletum profectus A I 3 1 (276 a 10) pyramides intus quater vel quinquies vocis imaginem reddunt A IV 20 2 (410 a 20) Aegyptii sacerdotes et astrologi Hi 13 1 (565, 6) de Nilo 228 A IV 1 7 (386 a 1) numeros mensurasque Pythagoram docuerunt Hi 2 18 (558, 10) de principatus sede 204 ab ariete zodiacum incipiunt 196[3]

Aelius nescio quis de iride 231[3]

Aenesidemus. sceptica ei ratio vindicatur 210sq. num veri falsique normam statuerit 211 aëra animae substantiam dixit 210 κατὰ Ἡράκλειτον de animae sede opinatus 209 apud Photium excerptus 211 a Sexto compilatus 209sqq.

Aeschylus de Nilo 228 (bis)

Aethalides. Pythagoras ante Troica Aethaliden fuisse se dixit Hi 2 11 (557, 6)

Aether et Dies Noctis apud Hesiodum liberi Hi 26 2 (575, 7)

Aethiopia A IV 1 3 (385 a 6)

Aethiopes mature senes A V 30 6 (443 a 16)

Aëtius. quot sint Aëtii 49. Περὶ ἀρεσκόντων liber 47sqq. 241[1] a Theodoreto 45, Nemesio 49, Plutarcho Stobaeoque excerptus 50 de exemplaris pravitate 50 Placita vetusta transcripsit 181 sqq. 129 quae fuerit ordinandi ratio 66 sq. num prooemia ab Aëtio sint profecta 56 sq. 178 Placita quomodo composita sint 178 sqq. infeliciter excerpta 63 Aëtius a sectarum censura alienus 99 eclecticus Peripateticorum scholis eruditus 100 quando fuerit 100 scholastico colore scripsit 178 falso *idiotismos latinos* adhibuisse accusatur 101[1] iudicia philosophorum unde hausta sint 180 Aristotele usus 217 Stoico de fato libello usus 178 atomorum doctores male noverat 219 biographum arcessivit 180 Aëtii Placita eduntur p. 267—244

AËTIUS RHETOR a Philippo Thessalonicensi elogio honoratus 49 [1] Placita non scripsit 100

AETNA mons He 8 (653, 10)

AGAMEMNO Homericus iniusta passi hominis exemplum A I 7 [10] (301ª11)

AGATHARCHIDES Cnidius Heraclidis Lembi anagnosta epitomen mirabilium confecit 149 de Nilo 227. 228

AGATHENOR Xenocratis pater A I 7 30 (304ᵇ1)

AIDONEUS Empedoclis 88. 90 A I 3 [20] (287ª9)

ALCINOI (rectius Albini) Platonicorum dogmatum isagoge ex Ario excerpta 76

